BIBL. NAZ
Vitt. Emanuele III
166
G
30
NAPOLI

1729

Di Giac.o Soranzo

De Origine Papæ confutatio Auctore Beatissimo, et Sapientissimo Nectario Magnæ, et Sanctæ Civitatis Jerusalem Patriarcha, contra Theses à Religiosis Fratribus Jerusalem propositas, et nominatim à Petro Mectori. Impressum Jassi Moldaviæ per Metrophanem Hieromonachum 1672 -

107
C
15

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΚΑΙ ΣΟΦΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΤΗΣ ΜΕΓΑΛΗΣ

Καὶ ἁγίας πόλεως Ἱερουσαλὴμ κυρίου
Νεκταρίου πρὸς τὰς προτεθεί-
μένας θέσεις παρὰ τῶν

ἘΝ ἹΕΡΟΣΟΛΥΜΟΙΣ ΦΡΑΤΟΡΩΝ

ΔΙᾺ ΠΕΤΡΟΥ

ΤΟΥ ἈΥΤΩΝ ΜΑΪΣΤΟΡΟΣ

περὶ τῆς ἀρχῆς τοῦ πάπα

ἈΝΤΙΡΡΗΣΕΙΣ.

Τυπωθεῖσαι νῦν πρῶτον ἐν τῇ σεβασμίᾳ Πατριαρχικῇ καὶ αὐθεν-
τικῇ μονῇ τῶν ἁγίων ἐνδόξων καὶ πρωτοκορυφαίων
Ἀποστόλων, τῇ καλουμένῃ Τζετατζούϊα
κατὰ τὸ: αχπβ: ἔτος τὸ
σωτήριον. ἐν μηνὶ Ἰουλίῳ.

Ἐν Ἰασίῳ τῆς Μολδαβίας.

B. R. NEAPOLIS

ἘΠΙΓΡΑΜΜΑ ΕἸΣ ΤῸΝ ΤΎΠΟΝ

Ηὔχετ' ὀφρῦς δυτικὴ σοφίη μέγ' ἐν Ἑλλάδι πρώην.
Ἔν τε τύπῳ βιβλίων, ἀντολικῶν προφέρειν.

Ἀμφοτέρων δ' ἀνέτειλε τέως χάρις ἐνθάδε πιστῆς·
Ταῦτα κλέος κείνων, ἀντολικῶν ἦ θεός.

ΕἸΣ ΤῊΝ ΒΊΒΛΟΝ.

Νεκταρίου σοφίης πόμα λάψατε ἀρχιερῆος,
Ρεῖθρον θεολογίης, καὶ ὀρθοσύνης νάματα.

ἝΤΕΡΟΝ ΕἸΣ ΤῸΝ ΑΥ̓ΤΌΝ.

Μηκέτι τοξοφόρων ψαύει βέλεα ξυνωρίης
καὶ ἀντιγνωμόνων αὖ, ἤτοι θεολόγων.

Ὅτι κε Νεκτάριος νῦν, τάξατο τείχεα πιστῆς.
Εὐσεβίης πύργους, καὶ ἔγχεα τῆς σοφίης.

Πέτρου Ἐπισ: κεφ: α΄. ἐδαφ: ϛ΄.

Οὐκ ἐν σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν.

Ἰακώβου: κεφ: γ΄. ἐδαφ: ιδ΄.

Εἰ δὲ ζῆλον πικρὸν καὶ ἐρίθειαν ἔχετε ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας. οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος ψυχικὴ καὶ δαιμονιώδης.

Πρὸς ῥωμ: κεφ: ις΄. ἐδαφ: ιζ΄.

Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ σκοπεῖν τοὺς τὰς διχοστασίας, καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχὴν, ἣν ὑμεῖς ἐμάθετε ποιοῦντας, καὶ ἐκκλίνατε ἀπ' αὐτῶν. οἱ γὰρ τοιοῦτοι τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ, καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων.

Κολασ: κεφ: α΄. ἐδαφ: ιη΄.

Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, ὅς ἐστι πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων.

Κεφαλ: β΄.

Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ χριστόν.

Πρὸς κορινθ: β΄. κεφ: ια΄. ἐδαφ: ιγ΄.

Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. καὶ οὐ θαυμαστόν. αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. οὐ μέγα οὖν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

Πρὸς γαλατ: κεφ: α΄. ἐδαφ: η΄.

Ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα, ἀνάθεμα ἔστω. ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω. εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

Χρυσόστομ: ὁμιλ: α΄. τῆς αὐτοῦ ἐπιστολῆς.

Καὶ μὴν μίαν φησὶν εἰσῆγον, ἢ δευτέραν ἐντολὴν, τὴν τῆς περιτομῆς καὶ τῶν ἡμερῶν μόνον καινοτομοῦντες. ἀλλὰ δεικνὺς ὅτι καὶ μικρὸν παραποιηθὲν, τὸ ὅλον λυμαίνεται, εἶπε τὸ εὐαγγέλιον ἀνατρέπεσθαι. καθάπερ γὰρ ἐν τοῖς βασιλικοῖς νομίσμασιν, ὁ μικρόν τι τοῦ χαρακτῆρος περικόψας, ὅλον τὸ νόμισμα κίβδηλον εἰργάσατο. οὕτω καὶ ὁ τῆς ὑγιοῦς πίστεως τὸ γοῦν βραχύτατον ἀνατρέψας, τῷ παντὶ λυμαίνεται, ἐπὶ τὰ χείρονα προϊὼν ἀπὸ τῆς ἀρχῆς. Καὶ μετά τινα. Ποῦ νῦν εἰσὶν οἱ φιλονεικίας ἡμᾶς κρίνοντες ἕνεκα τῆς πρὸς τοὺς αἱρετικοὺς διαστάσεως, καὶ λέγοντες μηδὲν εἶναι μέσον ἡμῶν τε κἀκείνων, ἀλλ' ἀπὸ φιλαρχίας τὴν διαφορὰν γίνεσθαι. ἀκουέτωσαν τί φησιν ὁ Παῦλος, ὅτι τὸ εὐαγγέλιον ἀνέτρεψαν, οἱ μικρόν τι καινοτομοῦντες. Λατῖνοι δὲ τοσαῦτα καὶ τηλικαῦτα καινοτομοῦντες, τίνες ἂν εἶεν.

ΤΟΙ͂Σ ἘΝΤΕΥΞΟΜΈΝΟΙΣ ὈΡΘΟΔΌΞΟΙΣ ΣΩΤΗΡΊΑΝ ΠΑΡᾺ ΘΕΟΥ͂.

Μέγα ὄντως καὶ πάλαι ἦν, καὶ νῦν οὐχ ἧττον ἐστὶ τοῦ πανολεθρίου πνεύματος, καὶ τῷ θείῳ φωτὶ ἀντιτείνοντος εἰδεχθὲς βλάβος· ᾧ τὴν ἀήττητον ἐκκλησίαν οἱ τοῦ ἀντικειμένου φρονήματος ὑπερασπισταὶ καταπτωσάσειν πειρῶνται. καὶ τὸ ἐμμελὲς τῆς πνευματικῆς ὑγείας εἶδος, εἰς ἐκμελές τε καὶ ἄχορδον νόσημα καταστῆσαι προάγονται. παύδεινον δῆτα τυγχάνει τὸ βλάβος, ὅτι καὶ κεφαλῆς αὐτῆς θιγγάνειν πειρῶνται. ἀλλ' αὐτοὶ τοῦ ὄφεως ἐξεναντίας ζηλώσαντες, τὴν κεφαλὴν ἑαυτῶν τηρήσωμέν τε καὶ περιποιησώμεθα τὸν ἐνόντα τρόπον. τὸ δέ γε σῶμα παραλείψωμεν αὐτοῖς. εἰς μικρὰ ὡς ἂν αὐτοὶ βούλονται κατακερματιζέσθω. γόνιμος δὲ ἡ διάνοια πρὸς τὰ κρείττω γνωριζέσθω. εἰς ὦτα λαλῶμεν ἀκουόντων. καιρός φησι τῷ παντὶ πράγματι, ὅπως ἐντὸς τῆς ἡμετέρας γενώμεθα σωτηρίας. Τοιγαροῦν τοῖς τοιούτοις τῶν ἀντιπάλων, καὶ πρότερον μὲν ἐχρῆν εἰς χεῖρας ἐλθεῖν καὶ προσμάχεσθαι, πάλαι καὶ ἀνέκαθεν πρὸς ἡμᾶς ἐχθρωδῶς διακειμένοις. ἐξ ὅτου δηλαδὴ καινῶν ἐπειλημμένοι δογμάτων τῆς ἀμωμήτου καὶ καθολικῆς ἀπέστησαν ἐκκλησίας. καὶ τῆς πατρικῆς ἐξεκύμηναν φάλαγγος. αἰσχραῖς τε καὶ λελωβημέναις ἑαυτοὺς συγκατέζευξαν δόξαις, παντοίου ψεύδους ἐκκρεμαννύμενοι. ἔδει μὲν φημὶ πρότερον τοῖς τοιούτοις προσπλέκεσθαι. ἔμπης γε μὴν νῦν φασι τῆς μάχης ὡρικῶς ἡμᾶς ἐπειλῆφθαι, ὅτι καὶ παρὰ τῆς πλεκταίνης τῶν ἀντικειμένων λόγων κίνδυνος περιγίνεται, μὴ μυστοῖς προσκαταλλαγῶσιν οἱ τἀναντία φρονήσαντες, ὅτι καὶ τοὺς λογικοὺς ἀγῶνας τῶν σφῶν πονημάτων οἱ ἡμέτεροι λιπόντες οἴχονται. ὅτι καὶ ἀνυποστόλως τε καὶ ἀπονενοημένως ἡμῶν οἱ ἀντιδοξοῦντες κατακαυχῶνται, ὡς δῆθεν ἐκλιπούσης παρὰ τοῖς ἀνατολικοῖς τῆς ἐντέχνου καὶ χαμαὶ ἐρχομένης σοφίας, δι' ἧς οἱ νεώτεροι τῶν δυτικῶν ἀθεεὶ θεολογοῦσι, καὶ ἡμῖν νῦν μὲν αὐτοπροσώπως, νῦν δ' ἐξ ἀφανῶν ἐπεμβαίνειν πειρῶνται. καὶ ὅτε τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς ᾄδομεν ἀλλοτρίας, καὶ τῶν ἑπτὰ πληγῶν ἡμῖν χαλεπώτερα τὰ δεινὰ συμπίπτει. ἐπειδὴ καὶ τὸ ἀπαράλλακτον κἀπὶ τῆς τῶν καιρῶν ζάλης τὴν εὐσέβειαν ἐτηρήσαμεν, βασκαίνει μᾶλλον ἡμῖν ὁ τῆς ἀληθείας πολέμιος, καὶ πονηροτέροις μᾶλλον ἢ πρότερον καθ' ἡμῶν ὀργάνοις χρῆται. τὸν δόλον ἐπικρυπτόμενος. εἴδατε τὴν τέχνην, ἣν λατῖνοι καθ' ἡμῶν μὲν συνέγραψαν, τοῖς δὲ τῆς ψυχῆς αὐτῶν ἐτεκτήναντο. καὶ ὅσα λατίνων παῖδες καὶ γραικολατῖνοι πανταχοῦ γῆς προθυμούμενοι κατὰ τῆς ἐκκλησίας ἐπιτίθενται τῶν ὀρθοδόξων. τελευταῖον δὲ ὥσπερ κολοφῶνα τῶν καινοτομιῶν, καὶ παντὸς αὐτῶν ψεύδους θεμέλιον διὰ φρατρίας τινὸς ἐλάλησαν ἡμῖν φιλίαν δῆθεν, ὥσπερ ὁ δόλιος ὄφις τῇ εὔᾳ τὸν ἰὸν ἐνέσταξε λανθανόντως τῆς παραβάσεως, ὥστε δυοῖν θάτερον, ἢ παρασαλεῦσαι τῶν ὀρθῶν δογμάτων τινὰς τῶν ἀκεραιοτέρων, ἢ ὥστε δοκεῖν μὴ ἔχειν τὸν ἀντιλέγοντα, ἢ γοῦν τελευταῖον, τῶν ὀρθοδόξων κατακαυχᾶσθαι ὡς νενικήκασιν, ὡς ἔθος αὐτοῖς περὶ τὰ τοιαῦτα σχολάζειν. ἀλλ' οὐ παρόψεται τῆς ἐκκλησίας αὐτοῦ ὁ νυμφίος τῆς ἐκκλησίας, οὐδὲ κατισχύσουσιν αὐτῆς αἱ τοῦ ᾅδου πύλαι. ὑπερασπίζει καὶ τὸ αὐτῆς ὁ δεσπότης, καὶ τοὺς καιροὺς διανίστησι τοὺς ἀνθεξομένους τῆς ὀρθοδόξου ὁμολογίας, καὶ διαλύσοντας ὡς ἱστὸν ἀράχνης τὰ τοῦ πονηροῦ πνεύματος μηχανήματα. ἐνθέντοι καὶ νῦν ἐξήγειρε

τὸ

τὸ σύνταγμα τοῦ περὶ μικροῦ πρὸς Κύπρον ἐνδημήσαντος, μακαριωτάτου τε, καὶ τῷ
ὄντι ἁγιωτάτου Πατριάρχου τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, κυρίου κυρίου Νεκτα-
ρίου, ὥστε περιφανεστέρας τῆς δεξιοσόφου καὶ καινοφανοῦς τούτου φιλοπόνου ἐργασ-
ίας, ὡς εἰκὸς τῇ σοφίᾳ τοῦ συντάγματος, καθάπερ οἱ ἐντυγχάνοντες οἴ-
σεσθε τὴν τοῦ πανιέρου τούτου ἀνδρὸς ἐν τοῖς τοιούτοις μεγαλοφυΐαν τε καὶ σο-
φίαν. Ἀλλ' ἡμεῖς ἵνα δὴ καὶ τῆς οἰκουμένης ἁπανταχοῦ τουτὶ τὸ ἐκείνου βι-
βλίον διασπαρείη, τῇ τοῦ Χριστοῦ χάριτι τύποις (ὃν ἐκ νέου κατεσκευά-
σαμεν) ἐξεδώκαμεν, εἰς δόξαν θεοῦ, καὶ ὑμῶν τῶν πιστῶν χρῆ-
σιν. εἰ δὲ καὶ τῶν ἐσχάτων ἀγαθῶν τῷ φύσει ἡμῶν ἡ κα-
τασκευὴ τοῦ τύπου, ἀλλ' ἡμεῖς ὃ ὀφείλομεν πεποι-
ήκαμεν. Θεῷ δὲ τῷ ἐνεργοῦντι τὰ πάν-
τα ἐν πᾶσιν, ἡ χάρις ἀνατιθέσθω.
οὗ βοηθείᾳ, καὶ ἕτερ' ἀνέκδο-
τα τύπῳ μέχρι τοῦ
νῦν τῶν πα-
τέρων
ἡμῶν βιβλία, περὶ τῆς ὀρθοδόξου
ἡμῶν ὁμολογίας καὶ πίστεως,
καὶ κατὰ παντὸς σχίσματος
καὶ αἱρέσεως, εἰς
τοὐπιὸν τύπῳ
θήσο-
μεν.

ΤΩ͂ ἘΚΛΑΜΠΡΟΤΆΤΩ, ΕΥ̓ΣΕΒΕΣΤΆΤΩ, ΓΑΛΗΝΟΤΆΤΩ ΤΕ ΚΑῚ ἘΝΔΟΞΟΤΆΤΩ ΑΥ̓ΘΈΝΤῌ ΚΑῚ ἩΓΕΜΌΝΙ ΚΥΡΊΩ ΚΥΡΊΩ ἸΩΆΝΝῌ ΔΟΎΚΑ͂ ΒΟΕΒΌΝΔΑ͂ ΠΆΣΗΣ ΜΟΛΔΟΒΛΑΧΊΑΣ, ΜΕΓΑΛΟΠΡΕΠΕΣΤΆΤΩ ΤΕ ἈΡΧΗΓΩ͂ ΚΑῚ ΤΟΠΆΡΧῌ ΠΆΣΗΣ ΟΥ̓ΚΡΑΪ́ΝΗΣ, ΚΑῚ ΤΩ͂Ν ΠΈΡΙΞ ΑΥ̓ΤΩ͂Ν, ΣΩΤΗΡΊΑΝ ΠΑΡᾺ ΘΕΟΥ͂.

Νικῶντι Φιλίππῳ τῷ μακεδόνων βασιλεῖ, καὶ μείζονα ποιουμένῳ τὴν κατ' αὐτὸν ἀρχήν, ἐδυσχέραινεν ὁ Ἀλέξανδρος· πάντα προλήψεται φησὶν ὁ πατήρ, ἐμοὶ δὲ οὐδὲν καταλείψει ἔργον ἀποδείξασθαι. ἄκαιρος δ' ἦν ἡ φιλοτιμία, περὶ γὰρ ματαίων ἦν, ἅπερ ἀεὶ τοῦ δρασθῆναι φεύγει, καὶ τοῦ συγχεθῆναι ἀπέχεται. σοῦ δὲ ἡ μεγαλόνοια οὐ μόνον τὴν ἐπὶ τὸ εὖ εἶναι μετὰ Θεὸν πατρός σου μακαρίτου καὶ ἀοιδίμου Βασιλείου βοεβόνδα ἀρχὴν ἐκληρώσω νομίμως, μηδὲν ἐκείνῳ παντάπασιν ἐπιφθονήσας, ἀλλ' εὐαγγελικὴν ἐντολὴν ἀποπληρῶν, καλῶς καὶ προθύμως ἐξυπηρέτησας, καὶ τῶν ἐκείνου κατὰ ψυχὴν χαρισμάτων, πολλαπλάσια τὰ ὑμέτερα (τὰ γὰρ πνευματικὰ παρεχόμενα πληθύνεται, καὶ πλεονεκτούμενα, ἄφθονα γίνεται, καὶ ὑπερεκπερισσεύεται) ἐξ ὧν ταυτὶ καὶ μόνον ἀρκεῖ εἰς εὐφημίαν ἀΐδιον, ἐκεῖνος γὰρ θεοφιλὴς ὤν, σπουδῇ καὶ προθυμίᾳ τοπικὴν σύνοδον συναθροίσας ἐν Γιασίῳ, τὰ ἐν τῇ μικρᾷ ῥωσίᾳ τέως κατὰ τῆς ἀποστολικῆς πίστεως ἐπιφυέντα σκάνδαλα κατεσίγασε, καὶ τὰς τῶν καλουΐνων διὰ τῶν λεγομένων Κυρίλλου κεφαλαίων συκοφαντίας φανερῶς διεσκέδασε. σὺ δὲ ὡς ὁ Ἐλισσαῖε διπλοῦς παρὰ Θεοῦ τῆς θεοσεβείας τοὺς τρόπους λαβὼν, καὶ καλλυνόμενος ὁσιότητι καὶ σωφροσύνῃ, συνυπερμαχήσας, καὶ κατὰ τὸν ζῆλον τοῦ Ἡλιοὺ ἐφιλοτιμήσω εἰς τὴν τοῦ ἑλληνικοῦ τύπου κατασκευὴν, οὐ μόνον ῥώσων τοὺς ὀρθοδόξους ῥυθμίζων, οὐδὲ συκοφαντίας μερικῆς ἀπαλλάττων τὴν ἐκκλησίαν, ἀλλὰ παντὶ ὀρθοδοξοῦντι διδόντι φῶς τῆς εὐαγγελικῆς πίστεως, καὶ τῶν ἀποστολικῶν καὶ πατρικῶν παραδόσεων τῶν ἁγίων τὰ συγγράμματα ἐκτιθέμενος, καὶ κατὰ παντὸς σχίσματος, καὶ αἱρέσεως ὅπλον ἀήττητον χρηματίζων. τοῦτό ἐστι τῆς ὀρθοδοξίας εἰλικρινὲς τεκμήριον, τοῦτό ἐστι τῶν ἀρετῶν τὸ κεφάλαιον. καὶ ἔνδειξις τοιαύτη τῆς πρὸς σὲ τοῦ Κυρίου εὐνοίας. καὶ ἐν τῷ παρόντι ἔσῃ διαφρουρούμενος ἀπὸ παντὸς ἐναντίου, ἕως γήρως, καὶ πρεσβείου, καὶ ἐν τῷ μέλλοντι τάξῃ τῆς οὐρανίου μακαριότητος.

Δοσίθεος ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, καὶ εὐχέτης τῆς ὑμετέρας ἐκλαμπρότητος.

Τῶν κατὰ τὸν ἀοίδιμον Ἱεροσολύμων πατριάρχην κύριον Νεκτάριον ὡς ἐν συντόμῳ διήγησις.

Νεκτάριος ὁ ἀοίδιμος πατριάρχης Ἱεροσολύμων τῆς περιφήμου Κρήτης ἦν γέννημα καὶ ἀνατροφή. ὥρμητο δὲ ἀπὸ κώμης τινὸς ἀσήμου, κειμένης παρὰ τὸν Χάνδακα. πατρὸς Γεωργίου τοὐπίκλην Πελοπίδου, ἀπὸ τῆς Πελοποννήσου καταγομένου εἶχε τὸ γένος. ἐμαθήτευσε δὲ τὰ ποιητικὰ παρὰ τῷ ἱερομονάχῳ Μελετίῳ τῷ μακρῇ καὶ διδασκάλῳ τοῦ κατὰ τὸν Χάνδακα ποτὲ μετοχίου τῶν Σιναϊτῶν, ἐπ' ὀνόματι τιμωμένου τῆς ἁγίας Αἰκατερίνης. ἐν νεανίσκοις δὲ τελῶν, ἀπετάξατο. καὶ ἀπελθὼν εἰς τὸ Σίναιον ὄρος, τὴν ἀσκητικὴν ἐπαιδεύθη ζωήν, χρηστὸς καὶ ἀγαθὸς γενόμενος, οὐ μόνον ἑαυτῷ, ἀλλὰ καὶ τοῖς ἐκεῖσε πατράσι. Τεσσαρακοντα δὲ καὶ πέντε ἔτη τελῶν τῆς ἡλικίας αὐτοῦ, Θεοφίλῳ τῷ Κορυδαλλεῖ φιλοσόφῳ περιπατητικῷ συνεγένετο, τὰ λογικὰ καὶ φιλοσοφικὰ ἀκροώμενος Ἀθήνησιν, ἐλεημοσύνης ἕνεκα τοῦ Σιναίου ὄρους τότε ἐκεῖσε καὶ ἐν Πελοποννήσῳ διατρίβων. πεντηκονταετὴς δ' ὢν παρεγένετο δὶς καὶ τρὶς πρὸς τὸν Βασίλειον Βοεβόνδα Μολδοβλαχίας, πρὸς σωφρονισμὸν τοῦ Ἀλεξανδρείας Ἰωαννικίου, κωλύοντος τοὺς Σιναΐτας ἱερουργεῖν ἐν τῷ μετοχίῳ, ὃ εἶχον ἐν Αἰγύπτῳ. καὶ ἠπληθεὶς, εἰς Σινώπην ζητείας χάριν ἀπῆλθε. κἀκεῖθεν ἐπανελθὼν εἰς τὸ Σίναιον, συνέγραψε τὸ περὶ ἀρχαιότητος τῆς Αἰγυπτίων βασιλείας, ἕως καὶ τοῦ τὴν ἀραβικὴν καταλύσαντος ἀρχὴν Σουλτὰν Σελήμ. τὸν βίον δὲ τοῦ ἐπισκόπου Σιναίου ὄρους Ἰωάσαφ ἐν γήρᾳ βαθεῖ καταστρέψαντος ἐν Αἰγύπτῳ, ἐκοιμήθη ἐν Κυρίῳ καὶ ὁ Ἱεροσολύμων κὺρ Παΐσιος, παρά τινι λιμένι ἀναμέσον κειμένῳ Μυρῶν καὶ Καστελορίζου. ἐν Κωνσταντινουπόλει δὲ εὑρισκομένων τῶν δοκούντων τότε ἁγιοταφιτῶν, καὶ Βασιλείου Βοεβόνδα, καὶ τοῦ μεγάλου ἑρμηνέως τῆς βασιλείας Παναγιώτου, καὶ πολλῶν ὅσων ἐγκρίτων, καὶ λογίων ἀρχόντων, πατριαρχοῦντος τοῦ πρώην Προύσης κὺρ Παρθενίου, καὶ γενομένης σκέψεως περὶ χρησίμου πατριάρχου Ἱεροσολύμων, καὶ δὴ ὑπὸ πάντων ἐκλεχθέντος τοῦ κυρίου Νεκταρίου, καὶ τοῦ ἀπὸ Λίνδου Γαβριὴλ Φιλιππουπόλεως μητροπολίτου πεμφθέντος κοινῶς εἰς χειροτονίαν αὐτοῦ, εἰς τὸν πατριαρχικὸν τῶν Ἱεροσολύμων θρόνον, νεύσει Θεοῦ καὶ οἱ Σιναῗται εἰς ἐπίσκοπον καὶ ἡγούμενον αὐτὸν ἐξελέξαντο. Καὶ δὴ μὴ εἰδὼς τὰ κατὰ τὸν κὺρ Παΐσιον καὶ τὰ καθ' αὐτόν, ὁ κὺρ Νεκτάριος, ἐρχόμενος εἰς Ἱεροσόλυμα κατὰ τὴν ἄνωθεν κανονικὴν συνήθειαν χειροτονηθῆναι ἐπίσκοπος Σιναίου ὄρους, καὶ ἄκων χειροτονεῖται πατριάρχης Ἱεροσολύμων. εὑρὼν δὲ χρέος βαρύτατον ἐν τῷ ἀποστολικῷ ἐκείνῳ θρόνῳ, ἔμεινεν ἐνιαυτὸν ὁλόκληρον ἰδεῖν καὶ μαθεῖν τούς τε πατέρας, καὶ τὴν τοῦ τόπου ἐκείνου συνήθειαν. διδάξας δὲ ὡς ἦν δυνατὸν κοινοβιακὴν τάξιν, καὶ παροτρύνας τοὺς νέους γραμμάτων ἀντέχεσθαι καὶ ἀρετῆς, διὰ τῆς Ἰταλίας ἀφίκετο εἰς Κωνσταντινούπολιν. ὅτε καὶ τὴν ἐν τῇ ὀρθοδόξῳ λεγομένῃ ὁμολογίᾳ φερομένην αὐτοῦ ἐπιστολὴν συνεγράψατο. εἶτα κατὰ τὸ : αχξδ : εἰς Μολδοβλαχίαν ἀπεδήμησεν, ἐπὶ Ἰωάννου Εὐστρατίου Δαμπίζα Βοεβόνδα. καὶ τὰ ἐκεῖσε μοναστήρια τοῦ ἁγίου τάφου διαθετήσας καὶ φιλοξενηθεὶς ἀρκούντως, ὑπὸ πάντων μεγίστης ἔτυχεν ἐπιμελείας, καὶ προσδοχῆς παρὰ τοῦ τότε μεγάλου Βεστιαρίου ἄρχοντος Δούκα, τοῦ ὕστερον ἐκεῖσε ἡγεμονεύσαντος

μεγα-

μεγαλοπρεπῶς, καὶ ἤδη ἡγεμονεύοντος. Εἶτα τὸν μάρτιον ἀπῆλθεν εἰς οὐγκροβλα-
χίαν, ἐπὶ Γρηγορίου βοηβόνδα, καὶ ἢ μηδὲν, ἢ μικρὸν ἀπονάμενος τῆς ἐκείνου
βοηθείας, διαπεράσας τὸν Δούναβιν καὶ τὰς περὶ αὐτὸν κωμοπόλεις περιερχόμενος
ἐλέους χάριν, φθάσας τὸν δεκέμβριον εἰς τὸ τούρνωβον, καὶ συσχεθεὶς ὑπὸ κα-
λικῆς διαθέσεως ἀπῆλθεν εἰς ἀδριανούπολιν, ὄντος τότε τοῦ βασιλέως ἐκεῖ. κἀ-
κεῖθεν εἰς Κωνσταντινούπολιν. ἔνθα καὶ ἀπελθὼν εἰς τὸ ἁγίασμα τῆς ζωοδόχου πη-
γῆς, τὸ κείμενον ἔξω τῆς πύλης συληβρίας ἀπηλλάχθη τῆς νόσου. τὸν ἰούλιον δὲ
ἐμβὰς εἰς πλοῖον καλλιουπολίτικον ἀπῆλθεν εἰς μιτυλήνην, καὶ σμύρναν, καὶ χῖ-
ον. κἀκεῖθεν διὰ νηὸς φορτάδος ἀπῆλθεν εἰς ἱεροσόλυμα. ἐνασχολούμενος μά-
λιστα ἐν καλλωπισμοῖς διαφόροις τοῦ πολυφώτου οὐρανοῦ τοῦ ναοῦ τῆς ἁγίας Χριστοῦ
τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως, καὶ εἰς ἀνακαίνισιν πάσης σχεδὸν τῆς μονῆς, καὶ νέων
τειχῶν οἰκοδομὴν τῆς λαύρας τοῦ ἁγίου Σάββα ἐν τῇ ἐρήμῳ. καὶ ἐκ βάθρων ξε-
νῶνας καὶ κατοικίας τῶν προσκυνητῶν ὀρθοδόξων ἐν ῥάμελ πόλει τῆς παλαιστίνης.
καὶ μετὰ δύο χρόνους ἐπανελθὼν διὰ θαλάσσης εἰς Κωνσταντινούπολιν. καὶ παραι-
τησάμενος διὰ γῆρας καὶ ἀσθένειαν, ἐπανῆλθεν εἰς ἱεροσόλυμα ἐπιτροπεύων, καὶ
μετὰ τὸ ἐπιτροπεῦσαι ἡσύχαζε γηροτροφούμενος ἐν τῇ μονῇ τοῦ ἀρχαγγέλου, ὅτε
καὶ τὴν παροῦσαν πραγματείαν παροξυνόμενος ὑπὸ τῶν φρατόρων συνέγραψεν.
ἀπελθόντος δ' εἰς ἱεροσόλυμα τοῦ πρέσβεως τῶν γάλλων Δενοϊντε προσκυνήσεως,
ὑπὲρ προσκυνήσεως χάριν, καὶ ἀποκτεινάντων τῶν ἐκεῖ φρατόρων τινὰς τῶν ὀρθοδό-
ξων μοναχῶν θάρρει τῷ πρὸς ἐκεῖνον ὁ κὺρ Νεκτάριος ἐπαπειλούμενος κακῶς πα-
θεῖν, ὡς μὴ ὑπαντιάσας ἐκείνῳ σωματικῶς, ὀλιγοψυχήσας, ἀπέδρα εἰς τὸ σί-
ναιον, ἔνθα καὶ ἐκστατικὸς γεγονὼς, καὶ ἀπειληθεὶς τὰ πάνδεινα, ὡς μὴ ποιήσας
καλῶς ἀφεὶς τὰ ἱεροσόλυμα, ἐπανῆλθεν διὰ τοῦ πλουσίου δρομαίως. καὶ ἡσυχά-
ζων αὖθις ἐν τῇ τοῦ ἀρχαγγέλου μονῇ, οὐκ ἐστερήθη τῆς ἧς ἐφίετο παρακλήσεως.
ἰδὲ γὰρ τοὺς ὀρθοδόξους ἱερουργοῦντας τὴν ἀναίμακτον θυσίαν ἐπὶ τοῦ κυριακοῦ μνή-
ματος. καὶ μετὰ μῆνας πέντε τῆς παρακλήσεως, ἀνορεκτήσας, οὐδενὸς ἐγεύε-
το, πλὴν ἄρτου ὀλίγιστου μετ' οἴνου κεκραμένου ἕως ἡμερῶν πεντήκοντα, καὶ τῇ δε-
κάτῃ πέμπτῃ τοῦ ἰουλίου λαλήσας μετὰ τῶν πατέρων τὰ πρόσφορα, καὶ παρα-
γγείλας ἐπιμένειν γενναίως τοῖς δειοῖς τούτου, καὶ ὑπεραγωνίζεσθαι τοῦ οἴκου καὶ
τῆς πόλεως τοῦ Θεοῦ ἡμῶν, καὶ μικρὸν ἐπιρριγώσας, ἐκταθεὶς ἐπὶ τῆς κλίνης αὐτοῦ
καὶ προσευχόμενος ὡς ὁ Πατριάρχης Ἰακὼβ, ἐξέλιπε. λύπην οὐ τὴν τυχοῦσαν
ἀφεὶς τοῖς μετ' αὐτοῦ γενομένοις, ἢ μᾶλλον εἰπεῖν μνημόσυνον αἰώνιον, δι' ὧν εἶπε,
καὶ δι' ὧν ἔπραξε τῇ καθολικῇ τοῦ χριστοῦ ἐκκλησίᾳ καταλιπών.

ΠΙΝΑΞ ΚΑΘΟΛΙΚΟΣ
ΤΗΣ ΟΛΗΣ ΒΙΒΛΟΥ

σταν

τῷ

ΠΙΝΑΞ ΕΙΔΙΚΩΤΕΡΟΣ

ΤΗΣ ΒΙΒΛΟΥ ΤΑΥΤΗΣ

Βρε-

Θε-

Καθ-

τῷ

Οἰκου-

οἰκειω-

Πνεῦ-

ΟΣΙΩΤΑΤΕ ΚΑΙ ΛΟΓΙΩΤΑΤΕ ΜΑΙΣΤΩΡ

ΚΥΡΙΕ ΠΕΤΡΕ ΥΓΙΑΙΝΩΝ ΕΙΗΣ ΕΝ ΧΡΙΣΤΩ, ΜΕΤΑ ΠΑΝΤΩΝ
τῶν παρὰ σοί

Αἰτησαμένου σου πολλάκις μεθ' ἡμῶν διαλεχθῆναι, ἡμεῖς πο-
λλῶν ἕνεκα οὐκ ἀπεδεχόμεθα, δυοῖν δὲ μάλιστα τουτωνί. Τοῦ μὲν
ὅτι δι' ἑρμηνέως διαλέξεις ποιεῖν δυσχερὲς ἄγαν ἐδόκει, τοῦ δ', ὅτι
οὐδὲν ὄφελος ἐκ τῆς διαλέξεως ταύτης ἐπακολουθήσειν ἠλπίζομεν, ὅτι μὴ
5 φωνὰς μόνον, ἀέρα δερούσας ἐξακούεσθαι. Σοῦ δὲ ἐπικειμένου, καὶ πρὸς ἀγῶνα
λόγων ἀεὶ προσκαλουμένου ἡμᾶς, δεδήλωται σοι, εἴ τι προτείνειν ἔχεις, ἐγ-
γράφως ἡμῖν ἐπιδοῦναι. δυοῖν τούτοιν θάτερον προσδοκήσαντες, ἢ παῦσαί σε
τὸ περίεργον, ἢ κἂν γοῦν ὀλίγ' ἄττα γράψαι, σὺ δὲ ῥύμην καθ' ἡμῶν φερόμενος,
περὶ ἑνὸς μόνου προβλήματος, βίβλον ὅλην συντεταχὼς προσεκόμισας.
10 Τίνας οὖν ἡμᾶς ἔδει γενέσθαι; σιωπῆσαι μὲν οὐκ ἦν, εἰς ἀγῶνα πίστεως
προσκαλουμένους. ἀπαντῆσαι δὲ ὡς ἐχρῆν; ἀλλ' ἐμποδὼν εὑρίσκομεν τὸ γῆ-
ρας καὶ τὴν συνοικοῦσαν ἡμῖν νόσον κατατρύχουσαν. Ὅθεν τὴν αὐτοαλήθειαν
χριστὸν ἐπικαλεσάμενοι, τὸν τὰς ἀνειμένας χεῖρας ἐνισχύοντα, καὶ τὰ παρα-
λελυμένα γόνατα παρακαλοῦντα, πρὸς ἀπάντησιν χωρεῖν διανοηθέντες, ἐν-
15 τεῦθεν ἀρχόμεθα προοιμιάζοντες.

Καλῶς ὁ θεολόγος γλῶσσα τοῦ ναζιανζηνοῦ πατρὸς γρηγορίου, τοὺς ἐν λόγοις
περιττοὺς, τοῖς ἐν τοῖς θεάτροις τὰ παλαίσματα δημοσιεύουσιν ἀπεικάζει.
καὶ τῶν παλαισμάτων, οὐχ ὅσα πρὸς νίκην φέρει φησὶν, ἀλλ' ὅσα τὴν ὄψιν
κλέπτει τῶν ἀμαθῶν. τοῦτ' αὐτὸ γὰρ, καὶ ταῖς παρὰ σοῦ, ἄνερ τίμιε, προενε-
20 χθείσαις θέσεσιν ἔστιν ἀτεχνῶς ἐνορᾶν. καταφρυαττομένῳ γὰρ ἔοικας. καὶ ὡς πάν-
τη ἀπείροις ἡμῖν ἐφώρμησας, προσκομίζων τὴν συγγραφεῖσάν σοι ταύτην
βίβλον, ἣν καὶ διατριβὴν δογματικὴν ἐπιγράφειν οὐκ ὤκνησας, κατατρι-
βὴν μᾶλλον οὖσαν, ἢ καὶ παρατριβὴν, ὡς ἂν ἀνὴρ ἐπίβολος εἰπὼν οὐχ ἁμάρτοι.
περιέχει γὰρ ἐν ἀπεραντολογίᾳ ὅτι μάλιστα πλείστῃ ταῦτα δὴ τὰ κατατετριμμένα
25 καὶ παρὰ πολλῶν μὲν, πρὸ πολλοῦ τῶν δυτικῶν ὑμῶν προβεβλημένα, λόγοις τε καὶ
συγγράμμασι, παρὰ πλειόνων δὲ τῶν ἀνατολικῶν ἀνατετραμμένα.

Οὐκ οἴδαμεν δ' ὦ βέλτιστε, τὸ σὸν ὅ, τι καὶ βούλεται νῦν. ἢ ἀποπειρᾶν τινα
λαβεῖν ἡμῶν βούλει, ἢ ὑπ' ἀπειρίας τοιαῦτα προτείνεις, ἢ ἔκ τινων προλή-
ψεων ἐνσημανθεισῶν σου τῇ ψυχῇ, καὶ ἀνεξαλείπτων μενουσῶν, καὶ μὴ διδου-
30 σῶν χώραν ἐγχαραχθῆναι παρὰ σοὶ τὴν ἀλήθειαν, ἐγκυψαμένῳ τοῖς τῶν παλαι-
ῶν διδασκάλων λόγοις, καὶ ταῖς τῶν ἁγίων συνόδων ἀποφάσεσιν, ᾧ καὶ μᾶλλον συν-
τίθεμαι. Τίς γὰρ οὐκ οἶδεν, ὅτι τῶν νεωτερικῶν σχολαστικῶν λεγομένων, καὶ σῶν
διδασκάλων, ταῦτα εἰσὶν ἐφευρέματα, λεγόντων τὰ ἀπὸ ὁμιλίας αὐτῶν, καὶ
τοὺς σφῶν ἀκροατὰς μὴ ἐώντων ἀνατρέχειν πρὸς τοὺς ἀρχαίους τῶν διδασκάλων
35 καὶ τὰς ἀποφάσεις τῶν ἱερῶν συνόδων καταμανθάνειν, εἰδέπω καί τινα κανόνα

θεολόγ. λ. ἐγκω-μίῳ

σχολαστικῶν λατί-νων περὶ καὶ ὅπου θέλουσι τὰ ῥητὰ

συ

συνεθισμὸν ἢ ῥῆσιν ἁγίου τινὸς διδασκάλου παρενείρωσι τοῖς αὐτῶν συγγράμμασιν, ἀλλὰ καὶ τοῦτον, ἢ παρακεχαραγμένον, καὶ νενοθευμένον, ἢ κατακεκερματισμένον, ὡς δείξομεν. ἢ τοίνυν μὲν οὐκ ἔγνως, ὅτι τοῖς τοιούτοις σου καὶ ὁμοίοις λόγοις, πᾶσα παρ' ὑμῖν τοῖς δυτικοῖς ἀγορὰ περιβομβεῖται, καὶ πᾶν συμπόσιον ἀποκναίεται τῇ ἀηδίᾳ, συνεχῶς τούτων αὐτῶν λεγομένων; καὶ ὅτι ἅπας ὑμῶν σύλλογος τῆς καινοφωνίας ταύτης, καὶ ἀντιθέσεσι κατακροτεῖται, λογομαχούντων τῶν ὑμετέρων, καὶ πρὸς οὐδὲν ἄλλο χρήσιμον ἀποβλεπόντων (καίτ' αὐτὸν τὸ ἱερὸν φάναι γενητόριον) εἰ μὴ ὅτι δήσωσι, καὶ λύσωσι τῶν προτεθειμένων. Καίτοι τούτων ὁ τὴν γλῶσσαν εὔστροφον ἔχων, καὶ τῶν ἄλλων μᾶλλον δεινὴν ἐπιδείξασθαι τὴν ἀλήθειαν, ἀπέρχεται δοκῶν δόξαν μεγίστην ἀπενέγκασθαι.

Τῆς τοιαύτης οὖν ἄρα δόξης, καὶ αὐτὸς ὦ 'γαθὲ ὀρεγόμενος, παρὰ τῶν πρὸς ἡμᾶς σου τυχεῖν λόγων, πᾶσαν ἀπεφορτίσω ἣν καθ' ἡμῶν τῶν ἀνατολικῶν ὠδίνας, ὡς δοκεῖς δυσφημίαν. Ὤναιο τοίνυν τ' ἀνδραγαθήματος. οὐ γὰρ μόνον ὡς ἐβούλου τὰ σὰ προὔτεινας, καὶ ἀναποδείκτως ταῦτα δεικνὺς, ἀλλ' ὥσπερ ἐκφοβῶν ἡμᾶς, εἰς ἐκτόπους ὕβρεις ῥέπων τυγχάνεις, ἀφιεὶς γλῶσσαν ὕβρεως ἀναξίαν τοῦ σοῦ σχήματος, καὶ τοῦ διδασκαλικοῦ σου (ὡς οἴει) ἐπαγγέλματος ἀλλοτρίαν. οὐ γάρ σοι τὸ τοῦ λόγου αἰδέσιμον πρὸς τοιαύτην ἡμῶν ἐκκλησίαν ἐξοπλιζόμενος, καὶ πρὸς ἡμᾶς αὐτοὺς, πολλῷ τῷ μέτρῳ ὑπερκειμένους τ' ἀξιώματι τῶν πολλῶν· ἀλλ' ὡς εἴπομεν, ἢ ὑπ' ἀπειροκαλίας ταῦτά σοι πέπλασαι, ἢ πρὸς ἀγῶνα ὕβρεων ἀπαυθαδιαζόμενος, ἡμᾶς ἀναγκάζεις ἀποδύεσθαι. καὶ εἰ μὲν τὸ πρῶτον συγγνωστέον σοι παρ' ἡμῶν, εἰ δὲ τὸ δεύτερον, ἵλεως ἔστω σοι θεός.

Ἐχρῆν τοιγαροῦν ἡμᾶς σιωπῇ χρησαμένους, πρὸς οὐδὲν ὅλως ἀπαντῆσαι τῶν ἀλαζονευμάτων σου, ἤδη δὲ τὴν σιωπὴν εἰδότες συγκατάθεσιν εἶναί τινα οὖσαν, ἐν ὀλίγοις πρὸς πολλὰ τὰ παρὰ σοῦ ἀπαντήσομεν, πρῶτον εἰπόντες τὸ ἀπὸ τῆς γραφῆς. Ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν, οὐχ ὡς ὑβρίζοντες. τοῦτο γὰρ σοὶ μόνῳ ἀποκεκλήρωται, ἡμῖν δὲ τὸ σεμνὸν τοῦ λόγου ἀείποτε ἀφωσίωται.

Διχῇ τοιγαροῦν γενικώτερον διελόντες τὰ παρὰ σοῦ, ὡς ἀνωτέρω εἴπομεν, τὰς μὲν ἀποδείξεις περὶ τῆς τοῦ πάπα ἀρχῆς (εἰς τοῦτο γὰρ λήγει, τὰ τῆς ἀληθοῦς σου ἐκκλησίας προθεωρήματα) ἀναποδείκτους εὕρομεν, τὰ δὲ εἰς ὕβρεις δραματουργούμενα φαίνονται. Πρὸς μὲν δὴ τὸ πρῶτον, τὸν ἐνόντα τρόπον ἀπαντήσομεν, τῶν ἐκεῖσοι λεχθέντων τὰ πλεῖστα ἐάσαντες. Πρὸς δὲ τὸ δεύτερον, ὡς ἄλλου ἡρακλέους δεόμενον, τὴν αὐγείου κόπρον ἐκκαθαίροντος, ἐπὶ μισθῷ οὐκ ἐπαινετῷ, οὐδ' ὅλως ἐγγίσομεν. Οὐ γὰρ καθίεμεν ἑαυτοὺς εἰς τοιοῦτον ἀγῶνα.

ἡρακλῆς τὴν αὐγείου κόπρον.

Ἀλλ' ἐρήσομαί σε ὦ βέλτιστε, σὺ δέ μοι συνετῶς ἀποκρίθητι. Τί δήποτε ὑμεῖς, τὰς ἄλλας ἀφέντες διαφορὰς, τὰς μεταξὺ ἀνατολικῶν, καὶ δυτικῶν, ἐπὶ τὴν τοῦ πάπα ἀρχὴν μάλιστα ὡς πρὸς κρησφύγετον καταφεύγετε; ὧν πρῶτος ὁ καλὸς καὶ σὸς Βελλαρμῖνος, σὺ μετ' ἐκεῖνον, καὶ μὴν σοῦ πολλοὶ ἕτεροι πολλὴν τῶν λόγων σπουδὴν καταβάλλετε, ἐπὶ συστάσει δῆθεν τῆς

τοῦ

τοῦ πάπα ἀρχῆς. ἢ γὰρ ὡς ἡμεῖς ξυνίεμεν ὑμῶν, τοιοῦτον ὑμῶν ἐστὶ τὸ ἐφεύρεμα. ἐλεγχόμενοι γὰρ πολλάκις παρὰ τῶν ἀνατολικῶν καὶ τοῖς ὅλοις πρὸς ἀπολογίαν ἀμηχανοῦντες, πρὸς τὰς ὀνειδιζομένας καινοτομίας, ἐπὶ τὴν τοῦ πάπα ἀρχὴν καὶ ἐξουσίαν καταφεύγετε. ἐξαρτῶντες ἐντεῦθεν τὰ πρυμνήσια πάντων τῶν ἐκκλησιαστικῶν δογμάτων, καὶ ὡς βάσιν καὶ θεμέλιον τῆς πίστεως ταύτην δογματίζοντες, καὶ ὅ,τι ἂν ἐκεῖνος ἀποφήνηται, τοῦτο δόγμα πίστεως εἶναι ἀναντίρρητον βούλεσθε. ὅθεν κἀν τοῖς σοῖς προοιμίοις ἐν τούτῳ δὴ τῷ κεφαλαίῳ ἔλεγες, Ὅτι ἐν τῷ δόγματι τῆς ἀρχῆς τοῦ Πάπα, περιέχεται πάντα τὰ τῆς πίστεως ζητήματα, ὧν χρῶνται οἱ ὑμέτεροι κατὰ λουθήρου, καὶ καλουΐνου, καὶ ὅτι ἐν τούτῳ τὰς μεταξὺ τῶν ἀνατολικῶν καὶ δυτικῶν ἔρεις, τοσαύτας οὔσας, καὶ καθ' ἡμέραν ἐπαυξομένας, διαλύειν ἀναγκαῖόν σοι ἔδοξεν. Ἀλλ' ὅταν φανῇ παρασαλευόμενον καὶ ὑπόσαθρον τοῦτο ὑμῶν τὸ θεμέλιον, ἀπὸ λεπτοῦ μίτου ἔσονται κρεμάμενα πάντα τὰ παρ' ὑμῶν καινοτομούμενά τε, καὶ δραματουργούμενα. καιρὸς τοιγαροῦν χωρῆσαι καὶ πρὸς αὐτάς σου τὰς θέσεις.

λατῖνοι εἰς τὴν τοῦ πάπα ἀρχὴν καταφεύγοντες.

ΘΕΣΙΣ Α.

Ἄρθρον πίστεως ἐστὶ τὸ τὴν ἀληθῆ τοῦ θεοῦ ἐκκλησίαν, μίαν μόνην εἶναι, καὶ οὐ πλείους.

Ταύτην τὴν θέσιν συσκιάζειν δοκεῖς, ἐλλιπῶς περιβαλλόμενος. Ἐχρῆν γάρ σε εἰπεῖν ὀρθῶς ὁριζόμενον, ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, ὡς ἐν τῷ ἱερῷ συμβόλῳ παρὰ τῶν πατέρων ὥρισται. νῦν δὲ ταῦτα σιωπήσας, περιανακρούεις τὴν ῥωμαϊκὴν μόνην εἶναι ἀληθῆ ἐκκλησίαν. ἣν ὁ Πάπας διέπειν ἔλαχε. Τοῦτο δὲ καὶ πάνυ συνήθες ὑμῖν τοῖς δυτικοῖς, ἢ προστιθέναι τοῖς ὅροις ἢ ἀφαιρεῖν, καὶ ποτὲ μὲν πλεονάζοντας, ποτὲ δὲ ἐλλειπεῖς τούτους παράγειν. Ἀμφότερα δὲ κακία ὁρισμοῦ. δῆλον δὲ, ὅτι σὺ μὲν ταυνῦν τὴν ἐκκλησίαν ὁριζόμενος, ἐλλειπῆ τὸν ὅρον πεποίηκας. ὁ δὲ σὸς διδάσκαλος Βελλαρμῖνος (ὡς ἐν τοῖς πρὸς τοῦτον ἀντιῤῥητικοῖς τοῦ σοφοῦ κορεσίου εὕρομεν) πλεονάζοντα ἐκδέδωκε. Προστίθησι γὰρ ἐκεῖνος τῷ ὅρῳ, τὸ Πάπας ὄνομα, καὶ τὸ, Βικάριος Χριστοῦ. Ἕτεροι δὲ τῶν παρ' ὑμῖν, εἰπεῖν ἐτόλμησαν, μίαν καθολικὴν ἐκκλησίαν ῥωμαϊκήν.

λατίνων συνήθεια ἢ προστιθέναι, ἢ ἀφαιρεῖν τοῖς ὅροις.
Βελλαρμῖνος προστιθεὶς τῷ ὅρῳ τῆς ἐκκλησίας.

Φὴς τοιγαροῦν μίαν μόνην εἶναι ἀληθῆ ἐκκλησίαν. εἰ μὲν τὴν καθόλου λέγεις, ἥτις ἐστὶ καθ' ἡμᾶς, εἶναι ὡς οἱ πατέρες διατρανοῦσιν, ἡ οἰκουμενικὴ σύνοδος, σύμφημι. εἰ δ' ἄλλην τινὰ μερικὴν, οἵαν ὑμεῖς τὴν ῥωμαϊκὴν φαντάζεσθε, ἀπόφημι. καὶ εἰ μὲν οὐ πλείους καθόλου, ἀληθές. εἰ δὲ μίαν μόνην μερικὴν ἀληθῆ λέγεις, οὐκ ἀποδεκτέος. πολλαὶ γὰρ ἀνὰ πᾶσαν τὴν οἰκουμένην αἱ κατὰ μέρος ἅγιαι ἐκκλησίαι, καὶ πᾶσαί γε ἀληθεῖς, ἔστ' ἂν τῷ τῶν ὀρθῶν δογμάτων κανόνι στοιχῶσι, καὶ τῇ τῆς καθολικῆς ἐκκλησίας ἑπόμεναι πίστει, ἥτις ἐστὶν ἡ οἰκουμενικὴ σύνοδος. οὐ γὰρ εἰπεῖν

ἐκκλησία καθολικὴ ἡ οἰκουμενικὴ σύνοδος.

ἔχεις μερικήν τινα ἐκκλησίαν ὀρθόδοξον, κἂν ὅτι μάλιστα σμικροτά-
τη τυγχάνῃ γε οὖσα, ὅτι οὐκ ἔστιν ἀληθὴς ἐκκλησία. Ὅτι δὲ πολλαὶ αἱ
κατὰ μέρος ἅγιαι ἐκκλησίαι, καὶ ἀληθεῖς, ὀρθόδοξοι εἰσὶν, ἀποδείξεως δεῖ-
ται οὐδὲ μιᾶς, τῷ καὶ μικρὸν ἐγκύψαντι ταῖς τῶν μακαρίων ἀποστόλων
ἐπιστολαῖς, τοῖς τε κανόσι τῶν ἱερῶν συνόδων, καὶ τοῖς τῶν διδασκάλων 5
συγγράμμασι. καὶ ἵνα μὴ πολλούς σοι παρέξω μάρτυρας, ἀντὶ πολλῶν,
εἷς μόνος ἀρκέσει σοι, ὁ τῆς ῥώμης δηλαδὴ πρόεδρος ἱερὸς κελεστῖνος,
πρὸς γὰρ τὸν νεστόριον γράφων οὗτος, τοιάδε φησίν.

Κελεστῖνος, ὅτι » πολλαὶ αἱ κατὰ » μέρος ἐκκλη- » σίαι, καὶ ὅτι μία » ἡ ἐκ τούτων συνη- » θροισμένη κα- » θολική. »

Ἴσθι ταύτην ἡμῶν εἶναι τὴν ἀπόφασιν, ὡς ἐὰν μὴ περὶ χριστοῦ ταῦτα κη-
ρύξῃς, ἅπερ καὶ ἡ ῥωμαίων, καὶ ἀλεξανδρέων, καὶ πᾶσα ἡ καθολικὴ ἐκκλη- 10
σία κατέχει, καὶ ὡς ἡ ἁγία κατὰ τὴν μεγάλην κωνσταντινούπολιν ἐκκλησία,
ἕως σοῦ κάλλιστα κατεῖχεν, ἀπὸ πάσης τῆς καθολικῆς ἐκκλησίας ἐκβέβλη-
σαι. Ὁρᾷς ὅτι πολλαὶ αἱ κατὰ μέρος ἐκκλησίαι, καὶ ὅτι καὶ ἡ ῥώμη συγκατα-
ριθμεῖται ταῖς μερικαῖς, καὶ ὅτι μία ἡ καθολικὴ ἡ συγκροτουμένη παρὰ τῶν
μερικῶν, ἥτις ἐστὶν ἡ οἰκουμενικὴ σύνοδος. 15

ΘΕ΄ΣΙΣ Β΄

Πίστεως ἄρθρον ἐστὶ, τὴν ἀληθῆ ἐκκλησίαν τοῦ θεοῦ ἐν τοῖς
περὶ πίστεως μὴ ἁμαρτάνειν δύνασθαι.

Καὶ πρὸς ταύτην τὴν θέσιν κατὰ τὰ ἐν τῇ πρὸ ταύτης ἀποκρινόμεθα, ὅτι
εἰ μὲν ἀληθῆ ἐκκλησίαν, τὴν οἰκουμενικὴν σύνοδον ἐννοεῖς, καλῶς 20
ἔχει. εἰ δ᾽ ἄλλην τινὰ μερικήν, οὐκ ἔρρωται τὸ λεγόμενον.

ΘΕ΄ΣΙΣ Γ΄

Ἔξω ταύτης τῆς ἀληθοῦς ἐκκλησίας, οὐκ ἔστι
σωτηρία. 25

περὶ τῆς καθόλου ἐκκλησίας ὅτι δί- χα τῆς εἰς αὐτὴν πί- στεως οὐκ ἔστι σω- τηρίας τυχεῖν.

Ἀρκέσει καὶ πρὸς ταύτην τὰ ἐν ταῖς πρὸ αὐτῆς εἰρημένα, καὶ ἡμεῖς γὰρ αὐ-
τὸ τοῦτο λέγομεν, καὶ πιστεύομεν, ὅτι δίχα τοῦ πιστεύειν τινὰ εἰς
μίαν ἁγίαν καθολικὴν καὶ Ἀποστολικὴν ἐκκλησίαν, οὐκ ἔστι σωτηρίας τυ-
χεῖν. αὕτη γὰρ τὴν ὀρθόδοξον διδάσκει πίστιν, αὕτη βαπτίζει, καὶ υἱοὺς τοῦ θεοῦ
καθίστησι δι᾽ ὕδατός τε, καὶ Πνεύματος, αὕτη σφραγίζουσα διὰ τοῦ θείου μύ- 30
ρου, διΐστησιν ὀρθοδόξων ἑτεροδόξους, τῇ σφραγῖδι τοῦ Πνεύματος. Αὕτη
ἐκτρέφει μεταδιδοῦσα τοῖς ἑαυτῆς τέκνοις τοῦ ἁγιασμοῦ, καὶ τῆς χάριτος
τῶν ἱερῶν μυστηρίων, καὶ τέλος συσσώμους ποιοῦσα χριστῷ, τῇ μεταλήψει
τῆς ἀληθοῦς αὐτοῦ σαρκὸς, καὶ τοῦ αἵματος. καὶ πῶς ἔστι δίχα ταύτης σω-
θῆναι; ἔστι δὲ αὕτη καθ᾽ ἡμᾶς ὡς εἰρήκαμεν, ἡ καθόλου καὶ οἰκουμενικὴ σύ- 35
νοδος ἁπασῶν τῶν κατὰ μέρος ἐκκλησιῶν, καὶ μάλιστα τῶν τεσσάρων ἁ-
γιωτάτων, καὶ Ἀποστολικῶν Πατριαρχικῶν θρόνων, τοῦ κωνσταντινουπόλεως,
τοῦ ἀλεξανδρείας, τοῦ ἀντιοχείας, καὶ τοῦ ἱεροσολύμων, μεθ᾽ ὧν, καὶ τοῦ ῥώ-
μης ἀρχιερέως, ὅταν μὴ τυγχάνῃ ὢν ἀποκεχωρισμένος τούτων, διά τι-

να

σα νεωτερίσματα, ἢ ἄλλην τινὰ αἵρεσιν, τότε γὰρ καὶ συνεδρεύζει τοῖς λοιποῖς ὡς ὁμοταγὴς, καὶ προκαθεζόμενος καρποῦνται παρὰ τῶν ἄλλων πᾶσαν τιμὴν προεδρίας καὶ τάξεως, καὶ τοῦτο ὡς εἴπομεν καθ᾽ ἡμᾶς τοὺς ἀνατολικοὺς, ἑπομένους τῇ ἀρχαίᾳ τῶν ἐκκλησιῶν τάξει. σὺ δὲ φρόνει καὶ λέγει καὶ ὑπεραναβίβαζε τῶν λοιπῶν ἁπάντων, τὸν ῥώμης Ἐπίσκοπον. Καὶ λέγει τοῦτον μὴ προκαθέζεσθαι, ἀλλ᾽ ἐπικαθέζεσθαι τῶν ἄλλων ἁπάντων. Οὗτινος τὸ ἄχθος μὴ δυνάμενοι φέρειν τινὲς, ἀποσεισάμενοι ἔφυγον, τινὲς δὲ (ὡς καὶ ἡμεῖς) ὅλως βαστάσαι, δικαίως οὐκ ἠνέχοντο.

ΘΕ΄ΣΙΣ Δ

Α῎υτη ἡ ἀληθὴς τοῦ Θεοῦ ἐκκλησία τοῖς ἀρχαίοις μάλιστα
Καὶ πολλοῖς μετὰ Χριστὸν χρόνοις, τοσοῦτον ἠλαττωκή, ὅσον καὶ ἐπὶ τῶν γραικῶν, καὶ τὴν πίστιν συμφώνως συμπεριεφέροντο.

Ἐνταῦθα ζωγραφεῖν γράφεις χρονολογίας ἀπὸ Χριστοῦ μέχρι χιλίων διακοσίων ἐτῶν, πειρώμενος δεικνύειν τὴν συμφωνίαν τῶν ἐκκλησιῶν, καὶ λέγων τετηρῆσθαι ταύτην ἀπὸ Χριστοῦ, μέχρις ὀκτακοσίων ἐτῶν, ἀπ᾽ ἐντεῦθεν δὲ λαβεῖν ἀρχὴν τὴν ἀσυμφωνίαν, καὶ τὸ σχίσμα. Πραγματεύεται δέ σοι ἐν τούτοις, οὐ τοσοῦτον (ὡς φῂς) τὴν συμφωνίαν δεῖξαι τῶν ἐκκλησιῶν, ὅσῳ μᾶλλον ἀποδεικνύειν ὑπολανθανόντως τὰ τῆς ἐκκλησίας ἅπαντα προσβαίνειν καὶ ἐξουσίαν τῷ Πάπᾳ. Ἀλλὰ τὸ μὲν περὶ τῆς συμφωνίας τῶν ἐκκλησιῶν οὐκ ἐν πᾶσιν ἀληθές. Τὸ δ᾽ ἕτερον πάνυ που πόρρω τῆς ἀληθείας καθέστηκεν.

Ἡμεῖς γὰρ πραγματικώτερον τοῖς πράγμασιν ἐπιβάλλοντες, πρὸς μὲν τὸ πρῶτον φαμὲν, ὅτι εἰ καὶ συμφώνως εἶχον αἱ ἐκκλησίαι περὶ τὴν πίστιν, πολλαὶ μέντοιγε ἔριδες κατὰ καιροὺς περὶ ἑτέρων ἄλλων ἐκκλησιαστικῶν πραγμάτων ἀνεφύοντο, καὶ τούτων αἱ πλεῖσται παρ᾽ ὑμῶν τῶν λατίνων κινούμεναι μὲν, μὴ μέντοιγε δυνάμεναι διάστασιν καὶ σχίσμα ποιῆσαι, ἢ τὴν ὁμόνοιαν καὶ εἰρήνην τῶν ἐκκλησιῶν διαβλάψαι, ὡς αἱ ὕστερον ἐπινοηθεῖσαι λατίνοις καινοφωνίαι πεποιήκασιν.

λατίνων ἔριδες ἐξ ἀρχῆς.

ἙΚΑΤΟΝΤΑ῀Σ Α΄

Ἀρχόμενοι δ᾽ ἀπ᾽ αὐτῆς τῆς πρώτης (ἣν σὺ παρέλιπες) ἑκατονταετηρίδος μετὰ τὴν τοῦ κυρίου ἀνάληψιν, περὶ τὸ ρκ, ἔτος εὑρίσκομεν τὴν διαφορὰν τοῦ ἀζύμου ἐν ταύτῃ γεγονέναι, ὡς πολλοὶ τῶν λατίνων ἱστορικοὶ λέγουσι. καὶ ὁ πλατίνας, ὅτι ἀλέξανδρος ὁ πρῶτος ταῦτα πρῶτον τῇ ἐκκλησίᾳ παρεισήγαγε τὸ δὲ λέγειν, ὅτι ἐβίωνος αἱρετικοῦ ἦν τὸ ἐφεύρεμα, ἑκὼν ὑπερβέβηκα. Αὐτὸς γὰρ οὗτος κατ᾽ ἐπιφάνιον αἱρέσει τριακοστῇ, δι᾽ ἀζύμων ἱερουργεῖν ἐδίδασκε, καὶ ἐν ῥώμῃ διέτριψεν. Ὅτι δὲ πάντες ἐντεῦθεν οὐκ ἠκολούθησαν τῷ ἀλεξάνδρῳ, ἀληθὲς ὄν, οὐ παρείημι. Ἀνατολικοὶ γὰρ καὶ δυτικοὶ δι᾽ ἐνζύμων τὴν θυσίαν ἐπετέλουν, καὶ τούτου πολλοὶ μάρτυρες, καὶ ὁ ἔνρικος ἰησουΐτης, ὡς παρὰ κορεσίῳ ἐστὶν ἰδεῖν βιβλίῳ: η΄, περὶ εὐχαριστίας.

ἀζύμων ἀνατολικοὶ πώποτε ἤρξαντο. καὶ ὅτι οἱ ἀνατολικοὶ οὐδέποτε ταῦτα ἐδέξαντο.

ἙΚΟΝΤΟΝΤΆΣ Β΄

Ἐν τῇ δευτέρᾳ ἑκατοντάδι πάλιν, διέρχομαι τοὺς ἀνατολικοὺς μετὰ τῶν δυτικῶν διαφερομένους, περὶ τῆς ἡμέρας τοῦ πάσχα. Ἐφ᾽ ᾧ καὶ ὁ πολύκαρπος ἀπὸ σμύρνης εἰς ῥώμην γενόμενος, περὶ τούτου μετὰ τοῦ Πάπα ἀνικήτου διελέχθη, ἀλλ᾽ οὐ συνεφώνησαν κατὰ τὰς ἐκκλησιαστικὰς ἱστορικὰς, καὶ τὸν βαρώνιον. Ἀπηλλάγησαν ὅμως ὥς φασιν ἀπ᾽ ἀλλήλων εἰρηνικοί. Σημειωτέον ἐνταῦθα, ὅτι οὔθ᾽ ὁ Πάπας ἀνίκητος, οὔτ᾽ ἄλλος τις τῶν τότε ἐξουσίαν εἶχεν αὐτοκρατορικὴν, ὥστε χρησάμενος ταύτῃ πεῖσαι ἠδυνήθη τὸν πολύκαρπον. καὶ οἶδας μὲν λέγειν, ὅτι ἐν τῇ αὐτῇ δευτέρᾳ ἑκατοντάδι, ὁ Πάπας βίκτωρ πανταχοῦ ἐπέστελλε γράμματα κατὰ μέρος, συνόδους γίνεσθαι, εἰς διάσκεψιν τοῦ πράγματος παρακελεύων, καὶ ὅτι τῶν ἐκκλησιῶν αἱ πλεῖσται συνεφώνησαν, ἵνα τὸ πάσχα ἐν κυριακῇ τελῆται. ὅτι δὲ αἱ ἀσιάτιδες ἐκκλησίαι, τὰ τοῦ βίκτωρος οὐκ ἐδέξαντο διατάγματα, ἑκὼν ὑπερβαίνεις. ὅτι δὲ τοῦθ᾽ οὕτως ἔχει, δῆλον ὅτι ὁ Πάπας βίκτωρ μὴ πεισθείσας τὰς ἐκκλησίας ταύτας ἀφώρισε, καὶ ὅτι τούτου ἕνεκα τοῦ ἀφορισμοῦ, εἰρηναῖος ὁ λουγδούνων ἐπίσκοπος, πολλὰ τῷ Πάπᾳ βίκτωρι ἐν οἷς ἔγραφε ἐπιμέμφεται, σκληρῶς οὕτως ἀποφηναμένῳ περὶ τῶν ἀσιατίδων ἐκκλησιῶν, πολλῶν ὑπαρχουσῶν. ὅρα δὲ κἀνταῦθα, ὅτι οὔτε τοῖς ἐπιτάγμασιν, οὔτε τοῖς ἀφορισμοῖς τοῦ Πάπα βίκτωρος ἐπείσθησαν αἱ ἐκκλησίαι, περὶ τῆς τοῦ Πάσχα ἡμέρας, καίπερ ὀρθὰ φρονοῦντος. ἀλλ᾽ ὅτε τῇ οἰκουμενικῇ ἁγίᾳ πρώτῃ συνόδῳ ἀνενεχθὲν τὸ πρᾶγμα ἐξητάσθη τε καὶ διωρίσθη, τότε δὴ καὶ πᾶσαι αἱ ἐκκλησίαι αἱ μὴ πρότερον πειθόμεναι τῷ Πάπᾳ (μόνῳ κελεύοντι) τῷ κοινῷ κριτηρίῳ τῆς οἰκουμενικῆς συνόδου ἀσπασίως ὅτι μάλιστα καὶ εὐπειθῶς καθυπετάγησαν, καὶ μέχρι τοῦδε ὁ διορισμὸς ἐκεῖνος τοῦ πάσχα τὸ κῦρος ἔχει, εἰ καὶ οἱ δυτικοὶ ἐτόλμησαν, καὶ τοῦτον κατὰ πολλὴν περιεργίαν μετὰ ταῦτα παραλλάξαι.

ἙΚΑΤΟΝΤΆΣ Γ΄

Ἐν ταύτῃ τῇ τρίτῃ ἑκατοντάδι, μακρηγορῶν λέγεις, τὴν ἀνατολικὴν ἐκκλησίαν πρὸς τὴν ῥωμαϊκὴν διαλλαγῆναι, περὶ τοῦ δεῖν ἀποδέχεσθαι τοὺς παραπεπτωκότας ἐν τῷ διωγμῷ, καὶ ἀναβαπτίζειν τοὺς αἱρετικούς. φαμὲν καὶ ἡμεῖς πρὸς τοῦτο. εἰ διηλλάγησαν τότε, πρόδηλον ὅτι ἔρις προϋπῆρχεν αὐτοῖς. τί δ᾽ ἂν εἴη ἔρις, ὅτι μὴ ἀσυμφωνία, μὴ μέντοι γε σχίσμα γεννῶσα. Ἅπαντες γὰρ τὰς ἔρεις, καὶ τὰς διαφωνίας ἁπάσας, οὐ τῷ Πάπᾳ ἀλλὰ τῷ οἰκουμενικῷ κριτηρίῳ ἀνετίθεσαν. διὸ καὶ ὁ κυπριανὸς γενναίως ἀντέλεγε τοῖς τότε Πάπαις στεφάνῳ καὶ κορνηλίῳ, περὶ τῶν ἀναβαπτιζομένων, ὡς ἐν τῇ ὑπ᾽ αὐτῶν συνόδῳ φέρεται. ἔλεγε ἱερὸς αὐγουστῖνος, βιβλίῳ τρίτῳ, περὶ βαπτίσματος, ἔξεστι φησὶν τῷ κυπριανῷ ἀντιλέγειν τῷ Πάπᾳ, ἕως ἂν μὴ γένηται τῆς οἰκουμενικῆς συνόδου περὶ τούτου ὅρος. ἔλαθεν ὡς ἔοικε τὸν ἱερὸν αὐγουστῖνον, τοῦθ᾽ ὅπερ σὺ φὴς, ὅτι κατ᾽ ἐξουσίαν τοῦ Πάπα τὰ τῆς ἐκκλησίας ἅπαντα διοικοῦνται. Καὶ εἴσει βουλητὸν προκαθέζου τούτου διδάσκαλος, καὶ ἄλλων πολλῶν δυτικῶν καὶ ἀνατολικῶν ἁγίων διδασκάλων μὴ διδαχ-

πολύκαρπος μετὰ τοῦ πάπα ἀνικήτου διαφερόμενος περὶ τοῦ πάσχα.

εἰρηναῖος μεμφόμενος τῷ πάπᾳ ἀνικήτῳ περὶ τῶν ἀσιατίδων ἐκκλησιῶν.

τῷ πάπᾳ οὐ πείθονται αἱ ἐκκλησίαι, ἀλλὰ τῇ συνόδῳ.

Κυπριανὸς ἀντιλέγων τοῖς πάπαις.

Αὐγουστῖνος οὐ τὸν πάπαν, ἀλλὰ τὴν οἰκουμενικὴν σύνοδον ἀποδεχόμενος.

5 10 15 20 25 30 35

θέντων, οὔτε μὴν διδαξάντων τοῦ τότε τὸ καινὸν δόγμα.

ΕʹΚΑΤΟΝΤΑʹΣ Δʹ

Ἐν δὲ τῇ τετάρτῃ ἑκατοντάδι, οὐ μὲν οὐδὲν ἄλλο γεγένηται λέγεις, πλὴν τῆς πρώτης καὶ οἰκουμενικῆς ἁγίας συνόδου, εἰ δέ τις ἀκριβέστερον ἐξετάσειε, κἀν ταύτῃ διαφορά τις μεγίστη περὶ δόγματος ἔμελλεν ἀναφύεσθαι, τῶν ἀνατολικῶν μεταξὺ καὶ δυτικῶν ἐκκλησιῶν, ἡ περὶ οὐσίας καὶ ὑποστάσεως δηλαδή, ὡς παρ' ἱερωνύμῳ ὕποπτον λέγοντι τὴν τῶν ἀνατολικῶν ὑπόστασιν, καὶ παυλῖνος δὲ λατινίζων ἐν τῇ πρὸς ἀθανάσιον ὁμολογίᾳ παρ' ἐπιφανίῳ αἱρέσει ἑβδομηκοστῇ ἑβδόμῃ γράφει, καὶ περὶ τριῶν ὑποστάσεων, καὶ περὶ μιᾶς ἤτοι οὐσίας, ἣν σαφῶς κατὰ τὸν θεολόγον γρηγόριον διδαχθέντες οἱ δυτικοὶ παρὰ τοῦ μεγάλου ἀθανασίου, τέως μὲν ἡσύχασαν, ὕστερον δὲ ἐκ τούτου ὡς οἶμαι, τὰς ἀφορμὰς λαβόντες οἱ δυτικοὶ (καίπερ ἅγιοι ὄντες) τὸ Πνεῦμα λέγειν ἐκ τοῦ υἱοῦ ἤρξαντο, μὴ σαφηνίζοντες πότερον ἐκ τῆς οὐσίας, ἢ ἐκ τῆς ὑποστάσεως τοῦ υἱοῦ. Κἀν ὕστερον ὁ αὐγουστῖνος, ὡς φησὶ Γεώργιος ὁ σχολάριος ἐν τῷ πρώτῳ τμήματι κεφαλαίῳ δευτέρῳ τὴν δόξαν ταύτην δοκεῖ διεθρυληκέναι τε καὶ κατεσκευακέναι, πλέον τῶν πρὸ αὐτοῦ ἐμφιλοτιμησάμενος ταύτῃ.

Εἰ δὲ καὶ περὶ ἐκκλησιαστικῆς καταστάσεως ἐρευνᾶν ποιήσαιτ' ἄν τις, ἀπὸ τῶν τὰς ἐκκλησιαστικὰς ἱστορίας συγγραψαμένων, κἀν ταύτῃ τῇ ἑκατοντάδι, πολλὰς ἐκκλησιαστικὰς εὑρήσει διαστάσεις, καὶ περὶ ἐκκλησιαστικῶν γεγονυίας πραγμάτων. Ἐν ταύτῃ γὰρ διεπράχθη, τὰ κατὰ τὸν λουκίφερον, ὡς δοκεῖ μὴ ἄγαν ὀρθῶς, καὶ οἰκονομικῶς. Τοῦτον γὰρ τὸν λουκίφερον ἀπέστειλεν ὁ Πάπας εἰς συμμαχίαν τῆς ἀνατολικῆς ἐκκλησίας εἰς ἀντιόχειαν, ὃς ἐχειροτόνησεν ἐν αὐτῇ ἀπὸ τῆς ἐν αἰγύπτῳ ὑπερορίας ἐλθὼν κατὰ σωκράτην, τὸν παυλῖνον ἐπίσκοπον τῶν ὀρθοδόξων, διὰ τὸ εἶναι μὲν ἀρειανὸν τὸν κατέχοντα τὸν θρόνον εὐζώϊον, μελέτιον δὲ τὸν ὀρθόδοξον, (πρὸ τοῦ χειροτονηθέντα) ἐκβεβλῆσθαι ὑπὸ τῶν περὶ ἀκάκιον ἑτεροδόξων. Καὶ ὅτι μὲν οἰκονομικῶς τοῦτο διεπράξατο, οὐδεὶς ἀντερεῖ. Ὅτι δὲ μέμψιν τινὰ εἶχεν ἡ χειροτονία ἐκείνη, καὶ ὅτι ἀκρίτως τοῦτον ἄλλης αἱρέσεως ὄντα, ἐχειροτόνησεν ὁ λουκίφερος, Ἀνάγνωθι ἐπιστολὴν τοῦ μεγάλου Βασιλείου τὴν πρὸς τοὺς δυτικούς, ἧς ἡ ἀρχὴ κύριος ὁ θεὸς ἡμῶν ἐφ' ὃν ἐλπίζομεν. Φησὶ γὰρ οὕτως ἐν αὐτῇ. Ὁ μέντοι παυλῖνος, εἰ μέν τι καὶ περὶ τὴν χειροτονίαν ἐπιλήψιμον ἔχει, αὐτοὶ ἂν εἴποιτε. Ἡμᾶς δὲ λυπεῖ τοῖς τοῦ μαρκέλλου προσπαθῶς δόγμασι, καὶ τοὺς ἀκολουθοῦντας αὐτῷ ἀδιακρίτως εἰς τὴν κοινωνίαν αὐτοῦ προσιέμενος. Τὸ δ' ἐπιλήψιμον ὅ φησιν ὁ μέγας βασίλειος, περὶ τὴν τοῦ παυλίνου χειροτονίαν, τί ἂν εἴη ἄλλο; εἰ μὴ ὅτι ζῶντος ἔτι τοῦ ἐν ἁγίοις μελετίου, τὸν παυλῖνον ὁ λουκίφερος ἐχειροτόνησε, καὶ ὅτι παρ' ἐνορίαν ὁπάσας χειροτονίαν διὰ τοῦ λουκιφέρου ἐπέτρεψεν, ὅπερ ἀπᾷδόν ἐστι τοῖς ἱεροῖς κανόσιν. Ἐν οἷς μετριοπαθῶν ὁ μέγας Βασίλειος, οὐδὲν ἀποφαίνεται, ἀλλ' ἐκείνοις τὴν ψῆφον ἐπιτρέπει λέγων, ὁ μέντοι παυλῖνος εἰ μέν τι περὶ τὴν χειροτονίαν ἐπιλήψιμον ἔχει, αὐτοὶ ἂν εἴποιτε.

Τοιούτου ὄντος τοιγαροῦν τοῦ παυλίνου ὃν ὁ λουκίφερος ἐχειροτόνησεν,

οὐ

Δυτικῶν καὶ ἀνατολικῶν διαφορὰ ἐν τῇ α. συνόδῳ περὶ οὐσίας καὶ ὑποστάσεως.

Οἱ δυτικοὶ διδάσκονται παρὰ τοῦ μεγάλου Ἀθανασίου.

Αὐγουστῖνος, περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος φιλοτιμούμενος.

Λουκιφέρου περί, ὅτι οὐκ ὀρθῶς διεπράχθη τὰ κατ' αὐτὸν ὑπὸ τοῦ πάπα περὶ παυλίνου.

Βασίλειος περὶ λουκιφέρου, καὶ περὶ παυλίνου.

Συνόδος· β΄. οὐκ ἀποδέχεται τὴν Παυλίνου χειροτονίαν, ἀλλὰ Φλαβιανὸν Ἀντιοχείας προχειρίζεται.

οὐ πάνυ πολλῶν ἐτῶν παρεῤῥυηκότων, συναθροίζεται, καὶ ἡ δευτέρα ἁγία καὶ οἰκουμενικὴ σύνοδος. μέρος δὲ ταύτης γίνεται, καὶ ὁ μέγας Μελέτιος. ὃς κατ' αὐτὴν τὴν σύνοδον, τὸν βίον μετήλλαξεν. ἡ μέντοιγε σύνοδος ἐκείνη, οὐ τὸν Παυλῖνον (ἔτι περιόντα) εἰς τὸν θρόνον Ἀντιοχείας ἐκύρωσεν, ἀλλὰ τὸν ἅγιον Φλαβιανὸν ἀναβιβάζει. ὅμως τὰ κατὰ τὸν Παυλῖνον ἀποστροφῆς ὄντα ἄξια, τοὺς Λατίνους οὐκ ἐδυσώπησεν, ἀλλὰ προσέκειντο ἰσχυρῶς τούτῳ ἀντεχόμενοι. Οὐ μόνον δὲ, ἀλλὰ καὶ τῶν ἐκείνου διαδόχων (ἐπὶ πολὺ γὰρ χρόνον, δύο Ἀντιοχείας πατριάρχαι τοῖς ὀρθοδόξοις ἐγίνοντο) πάντοτε δὲ, καὶ μέχρι τοῦ δεκαροῦ, τῷ Παυλίνῳ φαίνονται οἱ Λατῖνοι προσκείμενοι.

Λατῖνοι Παυλίνῳ προσκείμενοι τὴν οἰκουμενικὴν σύνοδον ἀτιμάζουσιν

ἀλλὰ καὶ διὰ τοῦτο τὴν οἰκουμενικὴν ἀτιμάζοντες σύνοδον. καὶ αὕτη μὲν ἡ παρὰ Λουκιφέρου ἐν ὀρθοδόξοις κείσθω κατὰ τοὺς χρόνους τούτους διαφωνία. τὰς δὲ λοιπὰς ἀναμεταξὺ τῶν ὀρθοδόξων τίς διηγήσεται. ὅπου ὑπὲρ τὰς εἴκοσι μεγάλας ἀριθμοῦνται ὑπ' αὐτῶν γινόμεναι σύνοδοι, ἐν αἷς καὶ ἡ τῶν ἀπὸ τῆς ἐν Σαρδικῇ ἀποστάντων ἐν Φιλιππουπόλει ἑβδομηκονταέξ ἀνατολικῶν, οἳ καὶ Ἀθανάσιον τὸν μέγαν, καὶ Παῦλον τὸν ὁμολογητὴν, καὶ τοὺς περὶ αὐτοὺς αὖθις καθεῖλον, καὶ τοὺς ὁμόφρονας ἀνεθεμάτισαν, ἐν οἷς ἦν καὶ Ἰούλιος ὁ Πάπας, καὶ Ὅσιος ὁ Κουδρούβης. εἰ δ' εἴποις ὅτι αἱρετικῶν ἦσαν διαφωνίαι, καὶ οὐδὲν πρὸς τὴν κοινὴν ἣν ὑποτιθέαμεν ὁμόνοιαν. ἀλλ' ἐγὼ μὲν διὰ τοῦτο ταῦτα παρήγαγον εἰς μέσον, ἵνα δείξω τὴν πρὸς ἐκείνους τοῦ Ῥωμαϊκοῦ ἀρχιερέως αὐθέντειαν, ὡς οὐκ εἶχεν, ὡς τὰ νῦν βούλεσθε, τὴν ἅπασαν ἐξουσίαν, ἀλλ' εἷς ἦν καὶ οὗτος, εἰ καὶ πρῶτος τῶν πολλῶν, τιμώμενος μὲν διὰ τὸν θρόνον, ἀλλὰ μὴν, καὶ διὰ τὰς οἰκείας ἀρετὰς, οὐδὲν ἧττον καὶ ὑπὸ τῶν βουλομένων καταφρονούμενος ἀδεῶς, καὶ μηδὲν ἰσχύων ἄνευ συνόδων μεγάλων εἰς ἄμυναν.

Δάμασος Πάπας εἰς τὴν δευτέραν συνόδον, οὔτε παρῆν οὔτε διεπρεσβεύσατο.

Λέγεις ὕστερον, ὅτι Δάμασος ἐφρόντισε συγκροτηθῆναι τὴν δευτέραν οἰκουμενικὴν σύνοδον, ἧς καὶ τὰς πράξεις ἐκύρωσεν. ἀναποδείκτως φθέγγῃ ὦ βέλτιστε. ἀλλὰ Δάμασος μετ' ἔτος ἓν εἰς Ῥώμην συνήθροισεν ἀρχιερεῖς, εἰς ὅπερ ἀπέστειλεν ἐκ τῶν ἀνατολικῶν διοικήσεων εἰς ὁμοφροσύνην, Νεκτάριος ὁ τῆς βασιλίδος συνεδρεύσοντας τρεῖς· Πρισκιανὸν Σεβαστείας Παλαιστίνης. Κυριακὸν Ἀδάνων τῆς Κιλικίας. καὶ Εὐσέβιον Ἐπιφανείας Συρίας· Δάμασος δὲ εἰς τὴν δευτέραν, οὔτε παρῆν, οὔτε διεπρεσβεύσατο, οὔτε τούτου ἀπόντος ἡ σύνοδος ἐζημιοῦτο, ἀλλ' ὁ βασιλεὺς Θεοδόσιος ὁ μέγας ἐκέλευεν, ᾧ καὶ τοὺς κανόνας ὑπέταξαν οἱ πατέρες· Πάπα δὲ λόγος οὐδείς. εἰ γάρ τι Δάμασος ἠδύνατο καὶ μέμψασθαι δικαίως εἶχε, καὶ μὴ παραδέξασθαι, ὡς ἐπὶ τῆς ἐν Τρούλλῳ λέγεται Σέργιον, καὶ τοὺς μετ' αὐτὸν μὴ βουληθέντας συνθέσθαι, ἀλλὰ καὶ Παυλῖνον εἰς τὴν σύνοδον ἂν συναριθμεῖσθαι διϊσχυρίσατο, τῆς Ῥωμαίων ὄντα χειροτονίας, καὶ οὐ Μελέτιον, οὐ δὲ διάδοχον Μελετίου, περιόντος Παυλίνου, ἤμελλεν (εἴ τι ὑπερίσχυεν) ἀποδέχεσθαι. Πῶς, οὖν τὰ πάντα ἐν τῇ συνόδῳ Δάμασος ἦν, μηδὲν οὐ δὲ τῶν προχείρων ἐνεργήσας; ὥστε μάτην αὐχεῖτε τὴν τῶν Παπῶν ὑπερτάτην ἐν ταῖς συνόδοις ἐξουσίαν καὶ κυριότητα.

ἐκ

Κατὰ δὲ τὴν πέμπτην ἑκατοντάδα γινόμενος, διδάσκεις λέγειν, ὅτι συμφώνως εἶχον αἱ ἐκκλησίαι. τὸ δ᾽ ὅτι ἀπὸ ἀσυμφωνίας, μετὰ πολλοῦ τοῦ καμάτου, εἰς τοιαύτην ἦλθον συμφωνίαν ἀπεσιώπησας. ἀλλ᾽ ἡμεῖς, καὶ τοῦτό σοι παραστήσομεν. τὰ μὲν γὰρ κατὰ τὸν μέγαν Χρυσόστομον, ὅπως τότε διεπράχθησαν, περιττὸν ἡμῖν ἐστὶ λέγειν, δῆλα πᾶσιν ὄντα ἐκ τῶν ἐκκλησιαστικῶν ἱστοριῶν. τοῦτο δὲ μόνον εἰπεῖν ἐπάναγκες, εἰς τὸ δεῖξαι ὅτι πάντοτε ἦσαν διαφωνίαι ἐν τῇ ἐκκλησίᾳ τῶν ὀρθοδόξων, μὴ περὶ πραγμάτων μέντοι πρὸς τὴν πίστιν ἀναγομένων, ἀλλὰ περὶ ἐκκλησιαστικῶν δικαίων. καὶ τούτου χάριν οὐδέποτε σχίσμα προφανῶς ἐγένετο. καθῃρέθη τοίνυν ἀδίκως ὁ μέγας Χρυσόστομος καὶ διὰ θεοφίλου τοῦ τῆς ἀλεξανδρείας, τὸ πᾶν κατ᾽ ἐκείνου δρῶντος. γράφει πρὸς Ἰννοκέντιον ὁ Χρυσόστομος ὡς βοηθήσοντα αὐτῷ. ἐπιστέλλει ὁ ἰννοκέντιος θεοφίλῳ ἐπιπληκτικώτερον γράφων, καὶ ἐπιτιμίοις αὐτὸν καθυποβάλλων. ἀλλ᾽ οὐκ ἀνεκτὸν ἐδόκει τῷ θεοφίλῳ, ἐξουσιαστικώτερον ὑπὸ ἰννοκεντίου βαρέως οὕτως ἐπιτιμᾶσθαι, ὁμοταγοῦς ὄντος αὐτῷ, κατὰ τὸ πατριαρχικὸν ἀξίωμα. καὶ ἦν μεταξὺ τούτων διχόνοια οὐχ ἡ τυχοῦσα, εἰς γὰρ πᾶσαν προὔβαινε τὴν ἐκκλησίαν. ὅθεν καὶ ἐμέλησε τῇ ἐν καρθαγένῃ συνόδῳ περὶ τῆς τούτων εἰρηνοποιήσεως, καὶ κανονικῶς, ἢ ὁριστικῶς εἰπεῖν μᾶλλον, πρὸς ἰννοκέντιον γράφουσι, καὶ τὴν γραφὴν ὡς κανόνα ἔθεντο. ἔστι δ᾽ ὁ κανὼν τοῖς ἄλλοις συναριθμούμενος: ρδ΄. παρ᾽ ἡμῖν· ἀποφαίνεται δ᾽ οὕτως.

Διαφωνίαι ἀεὶ οὖσαι ἐν τῆς ἐκκλησίας.

Ἰννοκέντιος πάπας βαρέως φερόμενος κατὰ θεοφίλου ἀλεξανδρείας, ὑπὲρ χρυσοστόμου, διορθοῦται ὑπὸ τῆς συνόδου, καὶ παύει τῆς ἔριδος.

Ἤρεσεν ἔτι μὲν τῇ ἁγίᾳ συνόδῳ, ὥστε περὶ τῆς διχονοίας τῆς ῥωμαϊκῆς καὶ ἀλεξανδρινῆς ἐκκλησίας πρὸς τὸν ἁγιώτατον Πάπαν Ἰννοκέντιον γραφῆναι, ὅπως ἑκατέρα ἐκκλησία πρὸς ἀλλήλας εἰρήνην φυλάξωσιν ἣν ὁ κύριος παραγγέλλει.

Συνόδ. καρθαγεν. ρδ΄, διορθῶν τὸν πάπαν.

Ἐν τούτῳ δύο τινὰ χρὴ παρασημειώσασθαι. πρῶτον ὅτι ἦν μεγίστη διαφωνία, ὥστε καὶ φροντίσαι περὶ ταύτης τοῖς ἐν καρθαγένῃ ἁγίοις πατράσι. δεύτερον, ὅτι ὁ ἰννοκέντιος, καίπερ ἅγιος ὢν (ἅπτεται γὰρ καὶ τῶν τελείων ὁ μῶμος κατὰ τὸν ἱερὸν Γρηγόριον) τῆς διχονοίας παραίτιος ἦν. ἄλλως γὰρ αὖ πρὸς τὸν ἀλεξανδρείας θεόφιλον, ἢ καὶ πρὸς τοὺς δύο ἐγεγράφειν· νῦν δ᾽ οὕτω φησὶν ὁ κανών, ἔδοξε γραφῆναι πρὸς τὸν ἁγιώτατον Πάπαν Ἰννοκέντιον· ὅθεν καὶ γὰρ ἀνεφύη ἡ διχόνοια, ἐκεῖθεν καὶ πρόρριζον ἔδει ἀνασπασθῆναι. τὸ δ᾽ ἦν, μὴ ἐξουσιαστικώτερον φέρεσθαι τὸν ῥώμης κατὰ τοῦ ἀλεξανδρείας, ἢ τινὸς ἄλλου ὁμοταγοῦς αὐτῷ Πατριάρχου.

Λέγεις ἔτι, ὅτι ὁ Πάπας Κελεστῖνος, ἦν πρόεδρος τῆς κατ᾽ ἔφεσον οἰκουμενικῆς τρίτης ἁγίας συνόδου, καὶ τὰ πράγματα πρὸς τὸ ἐκείνῳ δοκοῦν ἔρρεπε, διὰ τοῦ ἀλεξανδρείας κυρίλλου, καὶ τῶν ἀπὸ ῥώμης ληγάτων, καὶ ὅτι πολλὰς ἦν ἐπιστέλλων ἐπιστολὰς πρὸς βοήθειαν τῶν ἀνατολικῶν. ἀλλὰ ταῦτα, οὐ κατὰ τὸν τρόπον ὃν σὺ λέγεις, ἀλλ᾽ ἑτέρως γέγονεν· ὁ γὰρ κύριλλος ἐξῆρχε μὲν τῆς συνόδου ἐκείνης, οὐχ ὡς πρόσωπον δὲ μόνον φέρων τοῦ Πάπα, ἀλλὰ πολλῷ μᾶλλον ἐξ ἰδίου προσώπου, καὶ πάντων τῶν περὶ αὐτὴν ἀπο-

Κελεστῖνος ὁ πάπας οὐκ ἦν πρόεδρος τῆς γ΄ συνόδ. ἀλλ᾽ ὁ κύριλλος.

φαίνεται, ὡς ἐκ τῶν ὑπογραφῶν ἐστι δῆλον. οὐ γὰρ ὡς πρόσωπον, οὐδ' ὡς τοποτηρητὴς τοῦ Πάπα, τὸ ἴδιον ἑαυτοῦ ὑπέγραφεν ὄνομα. ὅτι δὲ καὶ ἐπιστολὰς πρὸς τὴν σύνοδον ἔστειλεν, ἀλλ' οὐχ ὡς φὴς πρὸς σωτηρίαν τῆς ἀνατολικῆς ἐκκλησίας, εἰς συμμαχίαν δὲ μᾶλλον τῆς ἁγίας συνόδου, καὶ τοῦτ' αὖθις οὐχ ὡς ποιμὴν καὶ προνοητὴς (ὡς αὐτὸς ὑποβάλλεις) ἀλλ' ἵν' ἀποδείξῃ μᾶλλον ἑαυτὸν μέρος εἶναι τῆς συνόδου, καὶ τοῖς βασιλικοῖς ὑπείκειν γράμμασι, καλοῦσιν αὐτόν.

Σὺ δέ μοι πραγμάτων ὄχλον παρέχεις, καὶ δοκεῖς μὴ πεῖραν ἀκριβῆ λαβεῖν, ἢ μὴ δ' ὁπωσοῦν ἐγκύψαι τοῖς πρακτικοῖς τῶν ἱερῶν συνόδων, (μικρὸν γὰρ οἶμαι μέλει τούτων ὑμῖν) τεκμήρια δέ τινα, ὅσα πρὸς τὸ δοκοῦν ὑμῖν συντείνει, παρὰ τῶν ὑμετέρων λαμβάνετε, καὶ τούτοις ὁπλιζόμενοι σοβαρῶς ἄγαν ἀποδύεσθε πρὸς ἀγῶνα, κατὰ τὸν ὁμηρικὸν πάτροκλον. Μέτιθι τοίνυν ὦ πολυμαθέστατε τὰς πράξεις ἁπάσας τῆς ἁγίας ἐκείνης καὶ καθολικῆς συνόδου, καὶ μάθε ὅτι οὐδὲν ἄλλο περιφανὲς ὁ κελεστῖνος καὶ μέγα διεπράξατο ἐν αὐτῇ, πλὴν τῶν τριῶν τούτων. τὸ μὲν ὅτι τῷ κυρίλλῳ ἔγραψεν ἀναπληροῦν καὶ τὸν αὐτοῦ τόπον· τὸ δὲ, ὅτι καὶ λεγάτους ἔστειλε· καὶ τρίτον ἐπιστολάς. ἐν ἄλλοις δὲ κυριωτέροις πράγμασι, καὶ ἀναγκαίοις, οὐδὲν φαίνεται διαπεπραχὼς, οὐ δὲ μελῆσαι ὅλως αὐτῷ, κἂν δι' ἐπιστολῆς βοηθῆσαι τοῖς μετὰ ταῦτα πράγμασιν, ἀλλ' ὥσπερ ὑπ' ἀμηχανίας ἡσυχάζων ἐδείκνυτο.

Τὰ γὰρ κατὰ τὸν ἰωάννην ἀντιοχείας, καὶ νεστόριον τὸν αἱρετικὸν, ὕστερον γεγονότα σκάνδαλα, πρὸς κύριλλον ἀλεξανδρείας, καὶ μέμνονα τὸν ἐφεσίων πρόεδρον, εἰς τοσοῦτον μέγαν πυρσὸν ἀρθέντα, τίς ἐστιν ὁ κατασβέσας; καὶ τίς ὁ τὸν φλεγμαίνοντα ὄγκον καταστείλας; οὐχ ὁ βασιλεὺς ἦν θεοδόσιος ὁ νέος, τοῦ πάπα πρὸς αὐτὰ μηδ' ὅλως διυπνισθέντος, καὶ ταῦτα δι' ἐπιστολῶν λαβόντος παρὰ τῆς συνόδου τὸ ἐνδόσιμον, ἀποφαίνεσθαι περὶ τούτων; ἀλλ' ὁ μὲν ἡσύχαζε, βασιλεῖ δὲ καὶ λίαν ἐμέλησεν. ἀλλ' οὐδ' ὁ μετὰ τὸν κελεστῖνον ξύστος, οὐδὲν ἄλλο ἔγραφε πρὸς τοὺς ἀνατολικοὺς, εἰ μὴ μόνον, ὅτι συνήδετο τῇ τῶν ἐκκλησιῶν εἰρήνῃ.

Τὸ δ' ἔτι ἐν τῇ τετάρτῃ συνόδῳ λέων διῴκει τὰ κατ' αὐτὴν, πολλοῦ γε καὶ δεῖ τ' ἀληθὲς ἔχειν μεθ' αὐτοῦ. πλὴν γὰρ τῆς ὀρθοδόξου ἐκείνης ἐπιστολῆς, ἣν καὶ στήλην ὀρθοδοξίας ὠνόμασαν, οὐδὲν ἄλλο πεπραχὼς φαίνεται. καὶ τοσαύτη ἦν τότε ἡ τοῦ λέοντος Πάπα ἐξουσία ἐν τῇ καθόλου ἐκκλησίᾳ, ὥς τε καὶ μετὰ πολλῶν, ὡς γράφει, δακρύων αὐτοῦ τε καὶ πασῶν τῶν τῆς δύσεως ἐκκλησιῶν μεσιτευόντων τοῦ τε οὐαλεντινιανοῦ τοῦ τῆς δύσεως βασιλέως, καὶ πλακιδίας τῆς αὐτοῦ μητρὸς, καὶ λικιννίας τῆς γυναικὸς, καὶ ἀξιούντων συγχωρηθῆναι παρὰ τοῦ βασιλέως θεοδοσίου τοῦ νέου, σύνοδον ἐν ῥώμῃ τοπικὴν γενέσθαι, οὔτ' αὐτὸς ὁ Πάπας εἰσηκούετο, οὔτ' οὐαλεντινιανὸς, καὶ ἡ μήτηρ, καὶ ἡ σύνευνος αἱ βασιλίδες. συνεκροτήθη δὲ μᾶλλον ὑπὸ τοῦ βασιλέως μαρκιανοῦ, καὶ πουλχερίας ἐν χαλκηδόνι. ὅπη περὶ τοῦ εἰκοστοῦ ὀγδόου κανόνος πολὺς ἦν ἀγὼν τοῖς λεγάτοις, ἐξ ἐπιτροπῆς ἐγ-

γρα

γράφει τοῦ Πάπα, καὶ τῇ συνόδῳ ὑπὲρ τῶν ἴσων πρεσβείων τῆς κωνσταντινουπόλεως, καὶ τῆς ὑποταγῆς τῶν ἀσιατικῶν μητροπόλεων, ποντικῶν τε καὶ θρακικῶν ὑπ' αὐτόν. ἐπεψήφισαν ὅμως οἱ πατέρες τῷ κανόνι, καὶ ἐκράτυνεν ἡ σύγκλητος, καὶ ὁ βασιλεύς, ἀλλ' ὁ λέων ἦν ἀδυσώπητος, προφάσει τοῦ λύεσθαι τοὺς ἐν νικαίᾳ κανόνας, καὶ πλὴν τοῦ τῆς πίστεως ὅρου οὐδὲν παρεδέχετο· ἀλλ' ἔκδοτος ὢν ὁ ἄνθρωπος τῷ πάθει, πολὺς ἦν ἀχθόμενος τῷ πράγματι. ἐν οἷς πρὸς τὸν ἀνατόλιον αὐτόν, καὶ πρὸς τοὺς βασιλεῖς ἔγραφεν. ἀλλὰ δὴ καὶ πρὸς τὸν ἀλεξανδρείας, καὶ ἀντιοχείας ὑποβάλλων αὐτοῖς, καὶ καταναγκάζων, μὴ καταδέχεσθαι προκαθεσθῆναι τούτων τὸν κωνσταντινουπόλεως. ἀλλ' ὅμως καίπερ πολλὰ λέγων, καὶ γράφων, καὶ ἐναντιούμενος, ὥσπερ οὐκ εἰσηκούετο πρότερον συνόδου ἄλλων παρ' αὐτῷ γενέσθαι, οὕτω καὶ ἀντιμαχόμενος ἐπὶ τοῖς δοθεῖσι πρωνομίοις τῷ Κωνσταντινουπόλεως ὕστερον, οὐδὲν ἤνυσεν. ἀλλ' ἔμενον οὕτω, καὶ μένουσιν ὥσπερ ἐτάχθησαν. στερχθέντα γάρ τε τοῦ ἀλεξανδρείας, καὶ ἀντιοχείας, μὴ ταῖς τοῦ πάπα λέοντος καθυπαχθέντων ὑποβολαῖς· ὅρα τοίνυν ἐν οἵοις ἀνδράσι τὰ τοῦ πάθους ἐγυμνάζετο· καὶ εἰ μὴ τὴν ἔριν σιγῇ ἀπέτεμον οἱ τῆς ἑῴας (οὐδὲν γὰρ ἐζημιοῦντο τοῖς τοῦ Λέοντος Γράμμασι, τῶν λοιπῶν ἁπάντων εἰ καί τινες τούτων ὕστερον ὑποκυψάντων τῷ κανόνι ἔργῳ καὶ λόγῳ) πόσον, καὶ ὁποῖον τὸ σχίσμα τῆς ἐκκλησίας ἂν προὔβαινεν, ὁπότε περὶ ἐλαττόνων ὑποθέσεων ἐν τοῖς ἑξῆς ἀπεσχίζοντο. ἀλλ' οἱ θεοσεβέστατοι πατέρες ἐκεῖνοι, εἰς τὴν τοῦ σωτῆρος εἰρήνην τε, καὶ τιμὴν ἀφορῶντες τὸν μὲν λέοντα, ὡς τὴν ὀρθοδοξίαν θεοπνεύστως κηρύξαντα ἐθεράπευον, πρὸς δὲ τὸ αὐτοῦ πάθος μηδὲν παρενοχλοῦν, περιττὸν ἡγοῦντο ἀνταγωνίζεσθαι· ἔκτοτε δὲ μαθόντες τῶν ῥωμαϊκῶν ἀρχιερέων τὸ φίλαρχον καὶ φιλόπρωτον, ἐν ταῖς μετὰ ταῦτα συνόδοις: πέμπτῃ, ἕκτῃ, καὶ ἑβδόμῃ, μετριώτερον ἐτίμων, καὶ τὸ ἐξουσιαστικὸν ὑπεβίβαζον.

Τὸν λέοντα θεραπεύουσιν οἱ πατέρες τῆς : β' συνόδου.

ΕΚΑΤΟΝΤΑΣ ϛ'.

Ἐν τῇ ἕκτῃ ἑκατοντάδι ἔφης, ὅτι βασιλεύοντος ῥώμης, καὶ πάσης ἰταλίας θεοδωρίκου τοῦ γότθου, ἠνάγκασε τὸν πάπαν ἰωάννην πρῶτον, ἀπελθεῖν πρὸς τὸν μέγαν ἰουστινιανόν, καὶ διαπρεσβεύσασθαι τὰ πρὸς εἰρήνην, καὶ ὅτι ἐλθόντος τοῦ ἰωάννου ἐν κωνσταντινουπόλει φιλοφρόνως ἄγαν ἐτίμησεν αὐτὸν ὁ βασιλεὺς ἰουστινιανός. ὡσαύτως καὶ κωνσταντῖνον τὸν πάπαν ὁ ῥινότμητος ἐν τῇ ὀγδόῃ ἑκατοντάδι. οὐκ οἶδα μὲν δ' ὅτι συνάγειν ἐκ τούτου βούλει, εἰ μὴ ὅτι γε τὴν πολλὴν τοῦ βασιλέως εὐλάβειαν, ἣν εἶχε περὶ τοὺς ἱεράρχας. ὁμοίως γὰρ (ἵνα μὴ καὶ πλείω εἴπω) ἐτίμησε καὶ τὸν ἅγιον σάββαν, παραγενόμενον πρέσβυν πρὸς αὐτόν, οὐ μόνον διὰ τὸ παρὰ τῶν ἐν ἱεροσολύμοις πατριαρχῶν ἀποσταλῆναι, πολλῷ δὲ μᾶλλον διὰ τὴν ἐνοῦσαν αὐτῷ ἀρετήν, καὶ πνευματικὴν κατάστασιν. οὕτως ὤφειλε καὶ ὁ εὐγένιος ἰωάννην τὸν αὐτοκράτορα Κωνσταντινουπόλεως παραγενόμενον πρὸς αὐτὸν εἰς Φερραρίαν ἀποδέξασθαι βασιλικῶς, καὶ μὴ παπικῶς. οὐχ ὑπήντησεν, οὐ προὔπεμψεν, οὐδὲν προὐτίμησεν. ἦν γὰρ ἐπὶ Πάπα, καὶ οὐκ ἐπὶ βασιλεῖ

Πάπας ἰωάννης ἦλθε πρὸς ἰουστινιανὸν τὸν μέγαν ὡς πρέσβυς.

Σάββας ὁ ἅγιος ὅπως τιμᾶται ὑπὸ Ἰουστινιανοῦ.

Εὐγένιος πάπας μετὰ ἰωάννου αὐτοκράτορος ῥωμαίων.

τὰ πράγματα, καὶ ἡ ἐξουσία.

Κατ' αὐτὴν τὴν ἕκτην ἑκατοντάδα περὶ ἧς λέγεις, ὅτι πελάγιος ὁ δεύτερος Πάπας ἐνέθηκε χαλινὸν ἰωάννῃ τῷ νηστευτῇ Κωνσταντινουπόλεως Πατριάρχῃ περὶ τῆς τοῦ οἰκουμενικοῦ προσηγορίας· ὁποῖος δ' ἦν ἐκεῖνος ὁ χαλινὸς οὐκ οἴδαμεν, σιδηροῦς μὲν γὰρ οὐκ ἦν· εἶχε γὰρ ἂν διαμένειν καὶ μέχρι τοῦδε, ἐξ ἀραχνείων ἄρα νημάτων ἐξυφάνθη. διὸ καὶ ὑπὸ λεπτῆς αὔρας εὐθὺς διαλέλυται. καὶ οὐδὲν ἐκ τούτου ζωάγις, ἅπαν δὲ μᾶλλον τοὐναντίον δείκνυται. εἰ ὁ Πάπας Πελάγιος χαλινὸν ἐνέθηκεν (ὡς σὺ φῂς) ἰωάννῃ τῷ νηστευτῇ, ὁ δὲ οὐδ' ὅλως ὡς βίαιον τοῦτον καὶ δουλικὸν παρεδέξατο, οὐδ' οἱ μετ' αὐτὸν ἅπαντες, ἄρα οὐκ ἔχει ἐξουσίαν ὁ Πάπας ἐπιτάττειν τοῖς ἄλλοις Πατριάρχαις. διὸ καὶ σιωπῇ συγκαταβατικώτερον, ἐκεῖνον μὲν εἴων λέγειν τὰ ἑαυτοῦ, οὗτοι δ' ἔπραττον τὰ εἰκότα. καθὰ δὴ καὶ πρὸς τὸ παρὸν, τῶν Πάπων ἐριθείᾳ ἀντιλεγόντων, οὗτοι μᾶλλον εὐλόγως ἐκράτυναν. τὸ γὰρ λέγεσθαι τὸν Κωνσταντινουπόλεως οἰκουμενικὸν, καὶ πρὸ τῆς τρίτης εὕρομεν συνόδου. ἀνάγνωθι τὴν ἐπιστολὴν θεοδοσίου τοῦ νέου τὴν πρὸς τὸν θεῖον Χρυσόστομον, ὅπου οἰκουμενικὸν αὐτὸν διδάσκαλον ἀποκαλεῖ. τὸ γὰρ διδασκαλικὸν ἀξίωμα συστατικὴ διαφορὰ τοῦ τῆς ἀρχιερωσύνης εἴδους καθέστηκεν, ὡς ἐν τῇ πρὸς τιμόθεον τῷ παύλῳ καὶ τῇ ἀληθείᾳ δοκεῖ, κἂν τῇ κατὰ μιωῶν ᾖ, καὶ ἰωάννην περὶ τούτου, γενομέναις συνόδοις ἐν Κωνσταντινουπόλει πρὸ τῆς πέμπτης οἰκουμενικὸν πατριάρχην ἐξεφώνουν τὸν Κωνσταντινουπόλεως. Καὶ ταῦτα ἐπὶ παρουσίᾳ τῶν τοῦ Πάπα ληγάτων, σαβίνου τε τοῦ κανουσίου, καὶ ἐπιφανίου ἐρκλάνων, ἀστερίου σαλερνιτάνων, λεοντίου νολάνων, καὶ ῥουστικοῦ φεσκλάνων ἐπισκόπων, καὶ διακόνων δύο, Θεοφάνους, καὶ Πελαγίου, καὶ ἑτέρων ὑποδιακόνων, καὶ ἐκδίκων, καὶ κληρικῶν. καὶ ὁ ἀοίδιμος ἐν βασιλεῦσι μέγας ἰουστινιανὸς, ὁ καὶ βασιλείαν συστήσας, καὶ ἐκκλησίαν διαθεὶς νόμοις τε, καὶ θεσπίσμασι, Πατριάρχαις ἐπιστέλλων τοῖς τῆς βασιλίδος ἐπιφανίῳ τουτέστιν, ἀνθίμῳ, καὶ μηνᾷ, οἰκουμενικοὺς ἐπιγράφει ἀεὶ, καὶ μακαριωτάτους. καὶ κατὰ τὴν ἕκτην σύνοδον, ὁ πωγωνάτος ὁμοίως. ὃ σύγε αὐτὶ μεγάλου τινὸς ἐν τῇ ἑβδόμῃ ἑκατοντάδι τοῦ Πάπα μεγαλαυχεῖς, ἐπιγραφόμενον ὑπὸ τοῦ αὐτοῦ βασιλέως, καὶ ἡ αἰτία ὡς λίαν εὔλογος. ἐν γὰρ τοῖς λιβέλλοις τοῖς προσκομισθεῖσι πρὸς λέοντα Πάπαν ῥώμης, κατὰ τὴν τετάρτην σύνοδον οἰκουμενικὸν οἱ καθ' ἡμᾶς τὸν Πάπαν ἐπέγραφον· εἰ τοίνυν ὁ ῥώμης οἰκουμενικὸς παρ' ἡμῖν εὑρίσκεται πρῶτος λεγόμενος Πατριάρχης, ἔχει δὲ καὶ ὁ νέας τὰ ἴσα πρεσβεῖα τῆς τιμῆς τῷ τῆς πρεσβυτέρας κατὰ τὸν τρίτον κανόνα τῆς β΄, ἁγίας οἰκουμενικῆς συνόδου, τὸν διαγορεύοντα οὕτω.

" Τὸν μέντοι Κωνσταντινουπόλεως ἐπίσκοπον, ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς
" μετὰ τὸν ῥώμης ἐπίσκοπον. ὅντινα κανόνα ἀνανεοῦσαι φαίνονται, καὶ σαφέστερον ἐκτιθεῖσι τὸν τούτου σκοπὸν, ὁ εἰκοστὸς ὄγδοος τῆς ἐν χαλκηδόνι τετάρτης ἁγίας συνόδου, καὶ ὁ τριακοστὸς ἕκτος τῆς ἕκτης. πῶς τοίνυν πρὸς θεοῦ δίκαιον ἀπονενεμημένον οὕτω παρὰ τριῶν οἰκουμενικῶν ἁγίων συνό-

δω

Πατριάρχου οἰκουμενικοῦ προσηγορίας περὶ, ὅτι καὶ πρὸ τῆς τρίτης συνόδου εἶχε τοῦτο.

δαν τῷ Κωνσταντινουπόλεως, τῶν ἴσων πρεσβείων τῆς τιμῆς τῷ ῥώμης, ταύ-
της τῆς τιμῆς ἀποστερεῖσθαι, τοῦ οἰκουμενικὸν δηλαδὴ λέγεσθαι, καὶ τὸν Κων-
σταντινουπόλεως, καθὰ δὴ καὶ τὸν ῥώμης, ἦν γὰρ ἄνισος μᾶλλον ἡ τιμὴ καὶ οὐκ
ἴση· καὶ οὕτως οἱ κανόνες διέπιπτον. φησὶ δὲ ὁ κανὼν εἰκοστὸς ὄγδοος· παν-
ταχοῦ τοῖς τῶν ἁγίων πατέρων ὅροις ἑπόμενοι, καὶ τὸν ἀρτίως ἀναγνωσθέν-
τα κανόνα (τῆς δευτέρας συνόδου) γνωρίζοντες, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζο-
μέν τε, καὶ ψηφιζόμεθα· περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας,
τῆς αὐτῆς Κωνσταντινουπόλεως νέας ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυ-
τέρας ῥώμης διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ πατέρες εἰκότως ἀπο-
δεδώκασι τὰ πρεσβεῖα· καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι, οἱ ἑκατὸν πεντήκοντα
θεοφιλέστατοι ἐπίσκοποι τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς νέας ῥώμης ἁγι-
ωτάτῳ θρόνῳ. εὐλόγως κρίναντες τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πό-
λιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι ῥώμῃ,
καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν
μετ' ἐκείνην ὑπάρχουσαν. καὶ σὺ μὲν ἐνταῦθα μηδὲν προσθέμενος ἕτερον,
καταπαύεις τὴν ἑκατοντάδα.

Πῶς δ' ὦ βέλτιστε τὴν συμφωνίαν τῶν ἐκκλησιῶν ἀγωνιζόμενος ἐκθεῖναι
παρατρέχεις τὰ περὶ τοῦ βιγιλίου, ἐν τῇ πέμπτῃ συνόδῳ καὶ τῶν τριῶν κεφα-
λαίων, καὶ τὰ περὶ ἀκακίου τοῦ Κωνσταντινουπόλεως. εὐφημίου τε, καὶ μα-
κεδονίου· ἀλλὰ σὺ μὲν ἑκὼν αὐτὰ παρατρέχεις, ἐγὼ δ' ἐπαναστρέψασι πρὸς
ταῦτα, καὶ μὴ βουλόμενον, ἀνακαλύψας καὶ τὴν αἰτίαν δι' ἣν ταῦτα παρέλι-
πες· σοὶ μὲν γὰρ πρόκειται συμφώνους ἀποδεῖξαι τὰς ἐκκλησίας, καὶ τῷ
τότε καιρῷ, καὶ μοναρχοῦντα τὸν Πάπαν· ἀλλ' ὅμως ἀληθεύειν οὐκ εἶχες
εἰ καὶ τὰ κατὰ βιγίλιον καὶ ἀκάκιον διηγήσω· περὶ μὲν τῶν τριῶν κεφαλαίων (λέ-
γω δὴ τῶν θεοδώρου μοψουεστίας, καὶ θεοδωρήτου Κύρου, καὶ τῆς ἴβα τοῦ ἐδέ-
σης ἐπιστολῆς πρὸς μάριν πέρσην, κατὰ τῆς τρίτης συνόδου πάντων φερομένων)
ὅσον διεπληκτίσαντο ἑῷοι καὶ ἑσπέριοι· ἐκεῖνοι μὲν θέλοντες ἀναθεματισθῆ-
ναι ταῦτα, οὗτοι δὲ μή· ἕως οὗ συναχθείσης ὑπὸ ἰουστινιανοῦ τοῦ μεγάλου
τῆς πέμπτης συνόδου, μετὰ διασκέψεως πολλῆς ἀναθέματι ὑπεβλήθησαν.
καὶ δεκατέσσαρα κεφάλαια τῆς ὀρθοδόξου πίστεως ἀνεκηρύχθησαν· ὃ δὲ περὶ
τοῦ Πάπα ἐνταῦθα ἀπήντησε τοιοῦτόν ἐστι· βιγίλιος μὲν ὁ Πάπας ἐνδημῶν ἦν
τῇ πόλει, παρακαλούμενος δὲ ὑπὸ τῆς συνόδου πάσης συνεδριάζειν, οὐκ
ἤθελεν, ὁτὲ μὲν ἀσθένειαν προφασιζόμενος, ἔσθ' ὅτε δὲ καὶ ὑπι-
σχνούμενος ἐλθεῖν, οὐδέποτε συνῆλθε. τὸ δ' αἴτιον ἐστι τεκμήρασ-
θαι, ὅτι προτιμήσεως ὑπεροχῆς μὴ ἐλπίζων, παρῃτεῖτο τὴν παρουσίαν.
καὶ τοῦτο δὲ προφανῶς ἐγίνωσκεν, ἐξ ὧν ὁ πρὸ αὐτοῦ ἰωάννης ἐδυσχέρανεν,
ἐξ εὐωνύμων καθεσθεὶς ἐπιφανίου τοῦ Πατριάρχου, συμφορέσας ἐν τῇ ἐκκλη-
σίᾳ κατὰ τοὺς ἀνατολικοὺς, ὡς ἱστορεῖ νικήτας πρεσβύτερος ἐκ τῶν στουδίου
ὁ στηθάτος. ὅμως ὅ περ ἐν ταῖς κοιναῖς συνελεύσεσι κατὰ τάξιν γίνεται, προ-
καθέζεσθαι ἀεὶ δηλαδὴ τὸν κατὰ τόπον ἀρχιερέα ἐν ταῖς οἰκουμενικαῖς
συνόδοις (τὴν καθόλου ἐκκλησίαν ἐμφαινούσαις) οὐ διεφυλάττετο. ἕκαστος γὰρ
ἐκεῖ

Τὰ κατὰ βιγίλιον πάπαν, καὶ περὶ ἀκακίου, μακεδονίου πατριαρχῶν κωνσταντινουπόλεως, γεγονότα.

ἐκεῖ τὸν ἴδιον τῆς τάξεως τόπον, καὶ καὶ διὰ τοποτηρητῶν, κεκλήρωται.
ὁ οὖν Βιγίλιος καὶ προτίμησιν εἰς ἄλλην ἐπιχάσκων, ἣν οὐκ ἀπολαμβάνειν
ἔμελλεν, ἀπελείπετο. δεδιὼς δὲ μὴ καταψηφισθείη ὑπὸ τῆς συνόδου, ὡς
ἠπειλεῖτο, τὴν ἰδίαν ὁμολογίαν ἀνέπεμπε, καὶ τὸν βασιλέα εἶχε μεσιτεύοντα·
τέλος, μετρίως ἐξελεγχθεὶς ὑπὸ τῶν πατέρων ἀπελύετο, καταλιγωρούμενος.
μὴ ἀνεχόμενος δὲ τοῖς δόξασιν ὑπογράψαι, ἐξορίζεται. ἐπικαμφθεὶς δὲ
ὕστερον ἀνακαλεῖται ἐν ῥώμῃ, ἀλλ' ὑπὸ τῶν ἰδίων οὐ στέργεται, ὑπογράψας.
τί τὸ ἐντεῦθεν; κινεῖ διωγμόν, χεὶρ βασιλικὴ ὑπερέχει, καὶ τὰ τῆς συ-
νόδου κρατύνονται. ὅρα δὲ σὺ ἐκ τούτων ὅσος τε, καὶ οἷος ἦν ὁ Πάπας πρὸς
σύνοδον· ἀντιπαράθες δύσιν ἀνατολῇ διαφερομένην, σκόπει σύνοδον ἄνευ
Πάπα, καὶ παρὰ γνώμην Πάπα δογματίζουσαν. σύνες Πάπαν ὀλιγω-
ρούμενον διὰ φιλαρχίαν ἐξορισθέντα δι' ἀπείθειαν, καὶ δι' ὑποταγὴν αὖθις
ἀνακληθέντα. σχιζομένους τούτου, καὶ τῆς συνόδου τῶν ἑῴων τοὺς ἑσπερίους,
ἑνουμένους ὕστερον, καὶ ἀποδεχομένους, πῶς ἔνι κρίνειν εἰπέ μοι, τὴν ἑκα-
τοντάδα ταύτην ἀεὶ σύμφωνον, τὰ πλεῖστα διαφωνοῦσαν; ἀλλὰ προσθήσω,
καὶ τὰ περὶ ἀκάκιον, πόση ἀναμεταξὺ τοῦ Κωνσταντινουπόλεως καὶ Φήλικος Πά-
πα διχόνοια γέγονεν, ὥστε τὸν ῥώμης καταψηφίζειν καθαίρεσιν, κατὰ κεκρη-
νόν. τὸν δὲ Κωνσταντινουπόλεως καταφρονεῖν, καὶ τῶν διπτύχων ἐξαλείφειν τὸν
Φήλικα, καὶ μεταβαίνειν, καὶ εἰς τοὺς ἀμφοῖν διαδόχους τὴν ἅμιλλαν. ὁ μὲν
γὰρ Φῆλιξ καὶ οἱ μετ' αὐτὸν Πάπαι, οὐκ ἠξίουν ἐν τοῖς διπτύχοις τάττεσθαι τὸν
ἀκάκιον, καὶ περὶ τούτου τοῖς Πατριάρχαις Κωνσταντινουπόλεως διεφέροντο, εὐ-
φημίῳ καὶ μακεδονίῳ τοῖς ὀρθοδόξοις. δεύτερον, ὅτι σοὶ μὲν φίλον, καὶ περι-
σπούδασον ἅπαντας ἀποδεῖξαι τῷ ῥώμης ἀρχιερεῖ πειθομένους. ἐνταῦθα δὲ
φαίνονται εὐφήμιος, καὶ μακεδόνιος οἱ πατριάρχαι, τούτῳ μηδ' ὁπωσοῦν
ὑπείξαντες. ἐκείνων γὰρ λεγόντων, μὴ χρῆναι τὸν ἀκάκιον ἀξιοῦσθαι μνη-
μοσύνου ὡς αἱρετικόν, καὶ καθαιρεθέντα, οἱ Πατριάρχαι Κωνσταντινουπόλεως,
εἶπον τοὐναντίον ἐγίνωσκόν τε, καὶ ἔπραττον περὶ τὸν ἀκάκιον· οὐ γὰρ αἱρετι-
κόν, ἀλλ' ὀρθόδοξον μᾶλλον, τοῦτον ᾔδεσαν, ὡς τὴν τετάρτην κυροῦντα,
καὶ ἀποδεχόμενον σύνοδον, καθάπερ ἔστιν ἰδεῖν, ἐν τῇ πρὸς Πέτρον κναφέα τὸν
ἀντιοχείας ἐπιστολῇ τούτου, καὶ ἐκ τοῦ κατὰ Δανιὴλ τὸν στυλίτην βίου, οἷον ἀντηγω-
νίζετο πρὸς βασιλίσκον τὸν τύραννον, περὶ τῆς τετάρτης συνόδου ἀκάκιος.
εἰ δὲ μετὰ τὸ ἑνωτικὸν τοῦ ζήνωνος ἐγκαλεῖται, καὶ ὅτι τοὺς παρὰ Φήλικος
Πάπα ἀποσταλέντας ἐπισκόπους δύο μετ' ἐκδίκου χρήμασιν ἐδελέασεν ὁ βασι-
λεύς, ἀκακίῳ κοινωνῆσαι (ὡς τὸ ἑνωτικὸν εἰς τοὺς ἀνατολικοὺς προβιβά-
ζοντι, καὶ τὴν τοῦ Πέτρου τοῦ μογγοῦ πρὸς αὐτοὺς κοινωνίαν, παρανόμως,
τὸν ἀλεξανδρείας θρόνον κρατήσαντος ἀλλὰ δὴ καὶ αἱρετικοῦ) οὐδαμῶς ἐπαι-
νέσαιμεν. ὅτι δὲ Φῆλιξ ἐξ ἰδίας αὐθεντίας καὶ συνόδου, ἄνευ τῆς τῶν ἀνα-
τολικῶν διαγνώσεως, καὶ συνεπισκέψεως ψῆφον ἀκακίῳ ἐπήνεγκε καθαιρέσε-
ως συναρηγόμεθα δικαίως, ἐξευτελίσωμεν ταύτην· οὐ γὰρ οὕτω κατὰ κανόνας
αἱ κρίσεις, καὶ καθαιρέσεις προβαίνουσι, μάλιστα Πατριαρχῶν· ὅθεν οὐ δὲ
οἱ μετ' ἀκάκιον εὐφήμιός τε, καὶ μακεδόνιος, τὴν δίκην ἀπεδέξαντο. οἶμαι

Φήλικος πάπα διαφωνία μετὰ τῶν Κωνσταντινουπόλεως πατριαρχῶν καὶ ἀγὼν μέγας τῶν δύο ἐκκλησιῶν περὶ ἀκακίου.

δὲ

δὲ μάλιστα ὅτι καθὼς τῶν διπτύχων ἐξῆρεν ἀκάκιος φήλικα, καὶ αὐτοὶ ἐπηκολούθησαν· ὅθεν μέγας τοῖς δυὸ μεγίστοις θρόνοις ἀγὼν ἐνίστατο, καὶ ἅμιλλα, τῶν διαδεξαμένων τὸν φήλικα, γελασίου, ἀναστασίου, συμμάχου τε καὶ ὁρμίσδα· ἕως ὅτου ἐπὶ ἰουστίνου τοῦ γέροντος, καὶ ἰωάννου τοῦ ἐν ἁγίοις Πατριάρχου, συνοδικῶς τὰ σκάνδαλα διωρθώθησαν. τῶν μὲν περὶ ἀκακίου σιωπηθέντων παντελῶς, τῶν δὲ περὶ εὐφημίου, καὶ μακεδονίου τὰ μέγιστα κρατυνθέντων, καὶ ἐν ἁγίοις ταγέντων αὐτῶν· καὶ ἐν τοῖς διπτύχοις ἐγγραφέντων, ὡς ἐνδόξων τῆς πίστεως ὁμολογητῶν. σὺ δὲ τοσαύτην ἔριν ἐπὶ πολὺ τοὺς θρόνους ἐκείνους κατασχοῦσαν ἐν μεγίστῃ ἀσυμφωνίᾳ, πῶς σιγῇ παρέδωκας; ἀλλ' ἡμεῖς ἐξεθέμεθα, καὶ ὅθεν ἡ παρ' ἀξίαν ἔρις ἀνεφύετο παρεσήμαμεν, διὰ τὸ καθεξουσιάζειν δηλαδὴ ἐθέλειν τὸν Πάπαν, καὶ φιλαρχεῖν.

ΕΚΑΤΟΝΤΑΣ Ζ΄

Κατὰ τὴν ἑβδόμην ἑκατοντάδα, εἰσάγεις τὸν Πάπαν ἀγάθωνα ἀποστείλαντα πρὸς τὴν ἕκτην σύνοδον ληγάτους τέτταρας, καὶ ἀπὸ μέρους τῆς ἐν ῥώμῃ συνόδου τῶν ἑκατὸν εἰκοσιπέντε ἐπισκόπων, ἀρχιερεῖς τρεῖς, προσκομίζοντας τῇ συνόδῳ, καὶ τὸ σύμβολον τῆς πίστεως μετὰ τῆς προσθήκης· τῆς, καὶ ἐκ τοῦ υἱοῦ, καὶ ὅτι ταύτην οἱ γραικοὶ ἀπέξυσαν. καὶ σὺ μὲν μέχρι τούτου τὸν λόγον ἵστης, ἐγὼ δ' ἐρωτῶ σε. πότερον ἐν αὐτῇ τῇ συνόδῳ ἀπεξέσθη, ἢ μετὰ ταῦτα; εἰ μὲν τὸ πρῶτον, πρόδηλον, ὅτι ταύτην ἡ σύνοδος οὐκ ἐδέξατο, καὶ ἀποξέσαντες ἐκύρωσαν, καὶ ἀπέβαλλον, καὶ ἔστηκε σοῦ τὸ ξίφος ἄκρατον. εἰ δ' ὕστερον, δύο ταῦτα ἀνάγκη σοι δεικνύειν. πρῶτον ἐπὶ πόσον χρόνον ἀνεγινώσκετο μὲν παρὰ τοῖς ἀνατολικοῖς τὸ προσκομισθὲν ἐκεῖνο μετὰ τῆς προσθήκης σύμβολον, ὕστερον δ' ἀπεξέσθη. δεύτερον, δεῖξον, εἴ που καὶ ἄλλοτε δράσαντες τι τοιοῦτον οἱ ἀνατολικοὶ ἐφωράθησαν· ἵνα καὶ τοῦτο τότε τολμήσωσι. καὶ τὸ μὲν πρῶτον οὐκ ἄν ποτε δεικνύειν ἔχῃς, πολλῷ δὲ μᾶλλον οὐδὲ τὸ δεύτερον· οὐ γὰρ τοῦτο συνήθες τοῖς ὀρθοδόξοις ἀνατολικοῖς, τὸ οὕτω χεῖρα τολμηρὰν ἐπαφεῖναι ταῖς βίβλοις, ὥστε προστιθέναι, ἢ ἀφαιρεῖν, ἢ παραγράφειν πρᾶξιν συνοδικήν, ἢ ὅρον τινά, ἢ κανόνα συνοδικόν, ἢ ῥῆσιν ἁγίου διδασκάλου, ἰδίᾳ γραφεῖσαν αὐτῷ· τοὺς δυτικοὺς δέ, καὶ μάλα ἐστὶν εὑρεῖν ἐν πολλοῖς, καὶ πολλάκις τοῦτο σπουδάζοντας, καὶ διαπραττομένους. καὶ μάρτυς ἡ ἐν τῷ συμβόλῳ προσθήκη. καὶ τὰ ἐν τῇ καρθαγένῃ συνόδῳ γενόμενα, ὅτε ὁ Πάπας ζώσιμος ζητῶν, διὰ τῶν ἰδίων ληγάτων ῥυθμίζειν τὰς συνόδους, καὶ τὰς ἐκκλήτους, παρέγγραπτον κανόνα παρήγαγεν, ὃς καὶ παραβληθεὶς τοῖς ἀπὸ Κωνσταντινουπόλεως, καὶ ἀλεξανδρείας μετακομισθεῖσιν ἀντιγράφοις, ἐξηλέγχθη νενοθευμένος.

Λατῖνοι ψευδόμενοι λέγοντες τὸν πάπαν ἀγάθωνα ὁμοφρονεῖν αὐτοῖς πρὸς τὴν ἐν τῷ συμβόλῳ προσθήκην.

Λατῖνοι νοθεύοντες ῥητὰ ἁγίων καὶ κανόνας, καὶ ἀποξέοντες.

Ὅτι δέ, καὶ ῥητὰ πολλὰ τῶν ἁγίων παραγράφετε, κατωτέρω μετ' ὀλίγον σοι δειχθήσεται· ἵν' ἔχῃς ἀκριβῶς διαγνῶναι, ὅτι ὑμεῖς ἐστὲ μάλιστα οἱ τὰς βίβλους ἀποξέοντες, καὶ τοῖς κανόσι, καὶ τοῖς ὅροις προστιθέντες τῶν ἁγίων πατέρων, καὶ ἀνακαθάρσεις (ὡς μὴ ὤφειλε) τῶν βιβλίων ἐπινοήσαντες. οἱ δ' ἀνατολικοὶ τοὐναντίον ἅπαν ἄνωθεν ἐδιδάχθησαν, τὰ παραδοθέντα δηλαδὴ τούτοις ἀπαράτρωτα διαφυλάττειν, καὶ ἀπαραμείωτα.

Ἀλλὰ

Ἀλλὰ καὶ πῶς ἔξεστι τὸ πρὶν ὁ λόγος; τὸν ἀγάθωνα μετὰ τῆς προσθήκης πέμψαι τῇ συνόδῳ τὸ σύμβολον. ὅπου γε ὁ αὐτὸς πρὸς τοὺς βασιλεῖς γράφων, ταῦτα λέξεσιν· ἅπερ ὡρισμένα εἰσὶν ἐν ἁπλότητι καρδίας. ἀπὸ τῆς δοθείσης παρὰ τῶν πατέρων πίστεως, ἀναμφιβόλως φυλάττομεν. ἓν καὶ ἐξαίρετον διαπαντὸς ἔχειν εὐχόμενοι, ἵνα μηδὲν παρὰ τὰ κανονικῶς ὁρισθέντα μειωθῇ, μηδ' ἐναλλαγῇ. ἢ προστεθῇ, ἀλλὰ ταῦτα, καὶ ῥήμασι καὶ νοήμασιν ἀπαράτρωτα φυλαχθῇ.

Ἀγάθωνος ἐπιστολὴ πρὸς τοὺς βασιλεῖς.

Ὁ ταῦτα τοίνυν γράφων, καὶ λέγων, πῶς εἶχε, (πρὸς Θεοῦ) μετὰ προσθήκης πέμπειν τὸ σύμβολον ἐν τῇ συνόδῳ; ἀλλὰ τοῦτο ὑμῖν ἐπινενόηται, ἵνα δείξητε τὴν προσθήκην παλαιὰν εἶναι ἐν τῷ συμβόλῳ. τὸ δ' οὐχ οὕτως ἔχει, πολλῷ γὰρ μᾶλλον ὕστερον τοῦ ἀγάθωνος, καὶ αὐτῆς τῆς ἑβδόμης συνόδου ἡ προσθήκη παρεντέθειται τῷ συμβόλῳ καὶ περὶ μὲν τούτων ἅλις.

Περὶ τῆς ἐν τρούλλῳ ἁγίας συνόδου ὅτι σφάλλονται λατῖνοι μεγάλως ἀθετοῦντες αὐτήν, γνησίαν οὖσαν καὶ νόμιμον. ἐν ᾧ καὶ διατί ἀθετοῦσιν αὐτήν.

Παρακατιὼν δὲ λέγεις ἐν τῷ αὐτῷ ὕφει, ὅτι ἔτους ͵χηβ'. σύνοδος πεπλανημένη ἐγένετο ὑπὸ καλλινίκου Πατριάρχου Κωνσταντινουπόλεως, ἣν πενθέκτην καλοῦσιν οἱ περὶ βαλσαμῶνα. ἐν ᾗ οὔτε ὁ ῥωμαίας, οὔτ' ἄλλος Πατριάρχης παρῆν. ἥτις δηλαδὴ σύνοδος πλεῖστα ἔκτισε, καὶ παράνομα ἐθέσπισε, καὶ ἄκυρα πάντα. καὶ ὅτι τοὺς ͵ρβ. κανόνας ἐκείνης, ἰουστινιανὸς ὁ ῥινότμητος εἰς ῥώμην ἀπέστειλε πρὸς τὸ κυρωθῆναι, ὁ δὲ Πάπας σέργιος ἀπεβάλλετο τούτους. καὶ μετ' αὐτὸν ἰωάννης ὁ ἕβδομος καίπερ γραικὸς ὤν. καὶ μετὰ τὸν ἰωάννην Κωνσταντῖνος, μᾶλλον δὲ καὶ οἱ τρεῖς Πατριάρχαι τῆς ἀνατολῆς. ταύτης ὅμως τῆς ψευδοσυνόδου πάσαις μηχαναῖς οἱ γραικοὶ προασπίζουσιν.

Ἔκτοτε δὲ μόλις ἔστιν εὑρεῖν διάστημα χρόνων, ἐν οἷς οἱ γραικοὶ, ἢ αἱρέσει, ἢ σχίσματι, οὐκ ἀπεσχίσθησαν τῆς καθολικῆς καὶ ὀρθοδόξου ἐκκλησίας. ὅμως τούτου μὴ κωλύοντος, οὐδὲν ἧττον ἡ κοινωνία τῆς γραικικῆς ἐκκλησίας, πρὸς τὴν λατινικὴν διεφυλάχθη.

Καὶ σὺ μὲν ταῦτα οὐκ ἀληθῶς, ὑβριστικῶς δὲ μᾶλλον καὶ ἀπεχθῶς. ἡμεῖς δὲ πράως καὶ ἐπιεικῶς πρὸς ταῦτα μετὰ τῆς ἀληθείας ἀπαντήσωμεν. οὐκ ἐπὶ καλλινίκου ὦ φιλότιμε, ἀλλ' ἐπὶ Παύλου (τούτου ἡ ἐτήσιος μνήμη αὐγούστου εἴκοσι,) γέγονεν ἡ γνησία καθολική τε καὶ ἀληθὴς ἐκείνη σύνοδος, ἡ ἐν τρούλλῳ. καὶ οὐ μόνος ὁ Κωνσταντινουπόλεως, ἀλλὰ καὶ οἱ λοιποὶ Πατριάρχαι παρῆσαν, Πέτρος ἀλεξανδρείας, Γεώργιος ἀντιοχείας, καὶ ἀναστάσιος ἱεροσολύμων. παρῆν δὲ καὶ Βασίλειος ὁ γορτύνης, ὁ καὶ τὸν τόπον ἐπέχων πάσης τῆς ἐν ῥώμῃ συνόδου· σὺ δὲ μὴ προσέχων ταῖς βίβλοις τῶν πρακτικῶν, ἀλλὰ τοῖς ἀπὸ στόματος τῶν σῶν σχολαστικῶν, ὄντως πεπλάνησαι. τὴν ἁγίαν ἐκείνην σύνοδον πεπλανημένην, καὶ ψευδοσύνοδον ἀποκαλῶν. λέληθας δὲ σαυτὸν, πάντας τοὺς προσμαρτυροῦντας, καὶ προσεπιβεβαιοῦντας ταύτην τὴν σύνοδον, καὶ τοὺς ταύτης κανόνας ἀποδεχομένους, ψεύστας διασύρων, καὶ ἀποκαλῶν, ἵλεώς σοι κύριος, διὰ δυσφήμου γλώσσης ἄγοντι, ἄνδρας ἁγιωσύνῃ διαπρέψαντας, καὶ πάσῃ ἄλλῃ ἀρετῇ κεκοσμημένους.

Ὥρα

Ὥρα σοι περιγράφειν, καὶ παντόλμως ἀκυροῦν, καὶ τὴν ἁγίαν ἐκείνην τὴν οἰκουμενικὴν ἑβδόμην σύνοδον, ἐν ἣ παρίσαι τὰς πρώτας πράξεις αὐτῆς, καὶ ἐν τῷ πρώτῳ κανόνι, ὁ ἐν ἁγίοις ταράσιος, ὁδῷ καὶ τάξει προβαίνων, πάσας τὰς πρότερον γεγενημένας συνόδους, καὶ τοὺς τούτων κανόνας ἐπιβεβαιωθῆναι προβάλλεται, ἐν οἷς καὶ ταύτην τὴν ἕκτην καὶ τοὺς κανόνας συνταχθέντας παρίησι, ἀμαθεῖς λέγων εἶναι τοὺς ταύτην μὴ ἀποδεχομένους, (πράξει τετάρτῃ) οὗτινος τὸν λόγον ἡ σύνοδος ἅπασα ἐπεφήμισεν, ἐκθέμενοι περὶ τούτου καὶ κανόνα τὸν πρῶτον· διὰ τοῦτο οἱ ἀνατολικοὶ ταύτης ἰσχυρῶς ἀντέχονται, καὶ οὐ διὰ τὸν βαλσαμῶνα· σὺ δὲ ὦ βέλτιστε, λέγε ὅσα σὺ καὶ βούλοιο, ἐπιλέγων μετὰ τῶν παρὰ τῷ Δαβὶδ ἀπαυθαδιαζομένων ἀπηνῶς, καὶ λεγόντων, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι, τίς ἡμῶν κύριος ἐστιν.

Ἀλλὰ πῶς σὺ, ὦ περὶ τοὺς Πάπας, λίαν εὐλαβέστατε· παραινεῖς τοὺς ἄλλους ἅπαντας δεῖν πείθεσθαι τοῖς πάπαις, σὺ αὐτὸς τούτοις μὴ πειθόμενος; οὐ γὰρ ὡς δοκεῖς πείθῃ τῷ Πάπᾳ ῥώμης ἀδριανῷ, γράφοντι πρὸς Κάρολον ῥῆγα Φραγγίας, καὶ ἀποδεχομένῳ, καὶ ἐπαινοῦντι ταύτην, ἣν σὺ τολμηρῶς ἄγαν ψευδοσύνοδον ἀποκαλεῖς. ἀνάγκη γὰρ δυοῖν θάτερον, ἢ τὴν ἑβδόμην σύνοδον, καὶ τὸν πάπαν ἀδριανὸν, ἢ σὲ αὐτὸν καταψεύδεσθαι. ἀλλὰ τὸ μὲν πρῶτον, βλάσφημον, καὶ θεοστυγές, ἄρα τὸ δεύτερον. τοιαύτης οὖν οὔσης τῆς ἐν τρούλλῳ συνόδου, καὶ ἀναντιρρήτου, ἀλλ' ἕκτης, ἁπλῶς ὀνόματι φημιζομένης ὑπὸ τῆς ἑβδόμης ἐν κανόνι ἕκτῳ· ὑμεῖς ὅμως οἱ λατῖνοι ἐλεγχόμενοι παρά τινων ταύτης κανόνων, καὶ ἐπιτιμώμενοι, πειρᾶσθε ταύτην ἀνατρέπειν, καὶ ἀκυροῦν· αὕτη γὰρ ἀποδοκιμάζει κατὰ τὸν ἀποστολικὸν κανόνα τοῦ σαββάτου τὴν νηστείαν, ἣν ὑμεῖς ἀπρὶξ κατέχετε, ὁμοίως τὴν παρ' ὑμῶν ἐφευρεθεῖσαν, ἠναγκασμένην ἀγαμίαν τῶν ἱερέων οὐκ ἀπεδέξατο διὰ τὸ πολλοῖς περιπίπτειν αὐτοπτήμασι τοὺς ἐν κόσμῳ ἀναστρεφομένους ἱερεῖς, ἀγάμους ὄντας, ὑμεῖς δὲ ταύτης τῆς ἐπιβλαβοῦς, καὶ σφαλερᾶς νομοθεσίας ἰσχυρῶς ἐπὶ τοσοῦτον ἀντέχεσθε, ὥστε τὸν γεγαμηκότα ἱερέα βδελύττεσθε, τὸν δὲ νομίμῳ μὴ συναφθέντα μὲν γάμῳ, πορνεύοντα δὲ, οὐδὲν σχεδὸν ἡγεῖσθε, ἀλλὰ καὶ τῇ ἐπιούσῃ ἐξομολογησάμενον ἱερουργεῖν οὐ κωλύετε. ταῦτα εἰσὶ τὰ ὑμᾶς ἐνοχλοῦντα, καὶ πρὸς τὴν σύνοδον ἐκείνην ἀπεχθῶς ἔχειν ἐπείγοντα, ὃ δὲ μᾶλλον τούτων καθάπτεται ὑμῶν, καὶ μέχρι μυελῶν, καὶ ὀστέων τὸ ἄλγος διήκει, ἱκανὸν ἐκεῖνός ἐστιν ὁ ἀναιρῶν, ὡς καὶ πρότερον εἴρηται, τὰ πρεσβεῖα τῆς νέας ῥώμης, ἴσα τῇ πρεσβυτέρᾳ, ἅπερ παρὰ τῆς δευτέρας, καὶ τετάρτης συνόδου, πρότερον τῷ Κωνσταντινουπόλεως δέδοται. ἀνανεοῦσα γὰρ αὕτη, ἡ ἕκτη, τὸν τῆς τετάρτης εἰκοστὸν ὄγδοον κανόνα φαίνεται, καὶ κρατύνουσα τ' ἄλλα πάντα τὰ τῷ κανόνι ἐμπεριεχόμενα, ὅτι δῆθεν τὰ πρεσβεῖα τῆς ῥώμης παρὰ τῶν πατέρων εἰκότως δεδώρηται, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, ᾧπερ ὑμεῖς ἀπαρεσκόμενοι φαίνεσθε. βούλεσθε γὰρ μὴ παρὰ τῶν πατέρων ἔχειν ταῦτα τὸν πάπαν, ἀλλὰ παρὰ Χριστοῦ ἀμέσως. ὅθεν καὶ θείῳ νόμῳ τὴν ῥώμην τοιούτων προνομίων ἀπολαύειν διδάσκετε, ὅπερ οὐδέπω

Συνόδου ζ. βεβαιῶσαι τὴν ἐν τρούλλῳ καὶ τοὺς ταύτης κανόνας.

πάπας ἀδριανὸς τὴν ἐν τρούλλῳ ἀποδεχόμενος σύνοδον.

Λατῖνοι οὐ δύνανται δεῖξαι, ὅτι ὁ πάπας ἀπὸ χριστοῦ τὰ πρεσβεῖα ἔλαβε.

οὐδέποτε ὑμῖν ἀγωνιζομένοις, ἱδρουμένοις τε, καὶ κινδυνεύουσι, δυνηθείη ἂν δειχθῆναι. μέχρις ἂν ὁ καθ' ἡμᾶς χρόνος περαιωθῇ, καὶ τὰ τῶν πατέρων νόμιμα διασώζωνται.

ἙΚΑΤΟΝΤΆΣ Η΄.

Ξένας τινὰς, καὶ ἀσυμφώνους ἱστορίας προάγεις εἰς τὸ δεῖξαι τὴν ἐξουσίαν τοῦ Πάπα κατὰ πάσης ἐκτεινομένην τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. καὶ οὐκ εἶδες ὅτι τοιούτῳ σαθρῷ θεμελίῳ ἱστοριῶν, καὶ ταῦτα ψευδῶν, ἐποικοδομεῖν, καὶ δεικνύειν τὴν ἐξουσίαν τοῦ Πάπα. Ἐκ γὰρ τῶν ἱστοριῶν διαφωνουσῶν τὰ πλεῖστα, οὐκ ἄν ποτε δόγμα συστήσειας. γινόμενος γὰρ ἐν τῇ ὀγδόῃ ἑκατοντάδι Γράφεις λέγων, ὅτι ὁ Πάπας Γρηγόριος δεύτερος, καθελὼν τὸν Κωνσταντινουπόλεως ἐφ' αἱρέσει, μετέθηκε τὸν Κυζίκου Γερμανὸν εἰς Πατριάρχην. τὸ δ' οὐχ οὕτως ἔχει. τὸ δ' ἀληθὲς μᾶλλον τοῦτο, ὅτι ἡ σύνοδος ἐν τῇ Βασιλίδι τὸ πᾶν διεπράξατο. Ἰωάννην γὰρ τὸν αἱρετικὸν ἀπὸ φιλιππικοῦ τοῦ Βαρδάνου ἐπὶ ἀνατροπῇ τῆς ἕκτης συνόδου προβληθέντα, νομίμως καθεῖλον, καὶ τὸν ἐπ' ὀρθοδοξίᾳ διαπρέποντα Γερμανὸν προεβίβασαν. Ταῦτα ἐκ τῶν ἡμετέρων ἱστοριῶν. παρέξωσι δὲ καὶ μάρτυρα, εἴ σοι δοκεῖ ἐκ τῶν ἡμετέρων. Ἰάκωβος γάρ, ὁ ἀπὸ παρρισίων Θεολόγος, πράγματος τῶν ἱεροκηρύκων λεγομένων, ἐν τῷ παρ' αὐτοῦ ἐξηγηθέντι ἑλληνικῷ σχολογίῳ, εἰς φύλ: 311: ἱστορῶν φησὶ κατὰ τὸν ἱστορικὸν Θεοφάνη. ἔτους: ψιδ΄, δευτέρου δὲ ἔτους ἀρτεμίου, τοῦ καὶ ἀναστασίου, ὅτι μετετέθη ἀπὸ μητροπόλεως Κυζίκου εἰς Κωνσταντινούπολιν Γερμανὸς, τοιῷδε τρόπῳ.

Ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοφιλεστάτων πρεσβυτέρων, καὶ Διακόνων Πάσης τῆς σεβασμίας, καὶ ἱερᾶς συγκλήτου, καὶ τοῦ φιλοχρίστου λαοῦ τῆς θεοστηρίκτου ταύτης βασιλίδος τῶν πόλεων, ἡ θεία χάρις ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα, μετατίθησι Γερμανὸν ἐκ Μητροπόλεως Κυζίκου, εἰς Κωνσταντινούπολιν. γέγονε δὲ ἡ παροῦσα μετάθεσις, ἐπὶ παρουσίᾳ Μιχαὴλ τοῦ ὁσιωτάτου Πρεσβυτέρου, καὶ ἀποκρισιαρίου τῆς ἀποστολικῆς καθέδρας. καὶ ταῦτα μὲν ὁ Ἰάκωβος γάρ, ταυτὰ καὶ ὁ ἡμέτερος κεδρηνός. σὺ δὲ ὁρᾷς, ὅτι ἐν τῇ ψήφῳ καὶ τῇ δοκιμασίᾳ, καὶ τῇ μεταθέσει ταύτῃ, οὐδαμοῦ παρείληπται τὸ τοῦ Πάπα Γρηγορίου ὄνομα, οὔτε ὅλως ἠρωτήθη, ἀλλ' οὔτε μὴν τὸ τοῦ πρεσβυτέρου Μιχαὴλ ἀποκρισιαρίου, κατὰ τὸ ἔθος ἐκεῖ τυγχάνοντος. ὥστε μάτην τὰ πλεῖστα ὑπολαμβάνετε, καὶ γελοίως, ἢ καὶ ἀπατηλῶς συμπεραίνετε.

Ἔτι δὲ φὴς, ὅτι ὁ πάπας ἀδριανὸς, ἐν τῇ ἑβδόμῃ συνόδῳ, τὸ σύμβολον τῆς πίστεως προσεκόμισε μετὰ τῆς προσθήκης, τῆς, καὶ ἐκ τοῦ υἱοῦ. ὅπερ οὐδεὶς τῶν ἱστορούντων εἴρηκέ ποτε, οὔτε παρ' ἡμῖν ἠκούσθη. πῶς γὰρ πιθανὸν τοιοῦτον Πάπαν, ἐπὶ τοιαύτης οἰκουμενικῆς συνόδου, τοιαύτην ἀδόκιμον προσθήκην παρεγγράψαι τῷ συμβόλῳ; ὁπότε τοὺς πρὸ αὐτοῦ, καὶ τὰς συνόδους πάσας ἐγίνωσκε, καὶ μέχρι κεραίας τὸ ἐπὶ τῇ κοινῇ ὁμολογίᾳ τηρεῖν ἀπαρεγχείρητον. εἰ δὲ καὶ προὐβλήθη τοῦτο ἐν τῇ φλωρεντινῇ συναθροίσει, ἀλλ' οὐ παρεδέχθη τοσοῦτον. οὔτ' ἀπεδείχθη. ἐν γὰρ τοῖς πρακτικοῖς ταύ-

της

Γερμανὸς πρώην Κυζίκου οὐχ ὑπὸ τοῦ πάπα μετετέθη εἰς Κωνσταντινούπολιν, ὡς φασὶν οἱ Λατῖνοι, ἀλλ' ὑπὸ τοῦ κλήρου Κωνσταντινουπόλεως.

Λατῖνοι ἐλεγχόμενοι λέγοντες τὸν πάπαν ἀδριανὸν ἐν τῇ: Ζ΄. συνόδῳ προσκομίσαι τὸ σύμβολον μετὰ τῆς προσθήκης.

της τοῖς ἐν ῥώμῃ τυπωθείσῃ, ἐν ζυνελεύσει πέμπτῃ, ἐξ ὧν καὶ σὺ ταῦτα εἴληφας, προσεκομίσθη ὁ τοιοῦτος ὅρος παρὰ τῶν δυτικῶν, οὐ πρότερον δέ, ἀλλὰ μετὰ τὸ ἀναγνωσθῆναι (καίπερ μὴ κατὰ γνώμην τῶν δυτικῶν) τοὺς ὅρους τῶν ἑπτὰ ἁγίων καὶ οἰκουμενικῶν ζυνόδων, ἐν οἷς ὕστατος ἀνεγνώσθη ὁ τῆς ἑβδόμης συνόδου χωρὶς τῆς προσθήκης, ὅτι (καθὼς φησὶν ἐκεῖσε) πᾶσα ἡ ζυνόδος ἐξεβόησε λέγουσα. Πάντες οὕτω πιστεύομεν, πάντες τὸ αὐτὸ φρονοῦμεν, πάντες ζυναινέσαντες ὑπεγράψαμεν. αὕτη ἡ πίστις τῶν ἀποστόλων, αὕτη ἡ πίστις τῶν Πατέρων, αὕτη ἡ πίστις τῶν ὀρθοδόξων, αὕτη ἡ πίστις τὴν οἰκουμένην ἐστήριξε. Πιστεύομεν εἰς ἕνα θεὸν, ἐν τριάδι ὑμνούμενον, τὰς τιμίας εἰκόνας ἀσπαζόμεθα, οἱ μὴ οὕτως ἔχοντες, ἀνάθεμα ἔστωσαν, οἱ μὴ οὕτω φρονοῦντες πόρρω τῆς χριστοῦ ἐκκλησίας ἐκδιωχθήτωσαν. ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς ἐκκλησίας ἐπακολουθοῦμεν, ἡμεῖς τοὺς προστιθέντας τι, ἢ ἀφαιροῦντας ἐκ τῆς ἐκκλησίας ἀναθεματίζομεν.

Καὶ ὁ μὲν ὅρος οὕτως ἐξεφωνήθη ἐν τῷ τέλει τῆς ἑβδόμης ζυνόδου, τὰ δὲ τοῦ ἀδριανοῦ Πάπα γράμματα πρὸ τῆς ἐνάρξεως ταύτης προσεκομίσθησάν τε καὶ ἀνεγνώσθησαν. δύο οὖν ἐκ τούτων ἐστὶ συνιδεῖν, ὧν ἀνάγκη τὸ ἕτερον ἀληθεύειν. εἰ μὲν προσεκομίσθη τὸ τοῦ ἀδριανοῦ σύμβολον μετὰ τῆς προσθήκης, καὶ ἐκωλύθη ἡ προσθήκη τοῖς ἄνωθεν τοῦ ὅρου ἀναθεματισμοῖς κωλύουσι τὸ προστιθέναι, ἢ ἀφαιρεῖν. ἢ προσεκομίσθη χωρὶς τῆς προσθήκης, καὶ οὕτως ἀπελέγχεται νενοθευμένον τὸ βιβλίον ἐκεῖνο, τὸ προσκομισθὲν παρὰ τῶν δυτικῶν ἐν τῷ φλωρεντινῷ συλλόγῳ, πολὺν γὰρ ἐποιήσαντο λόγον οἱ ὑμέτεροι περὶ τούτου. φασὶ γὰρ τὰ λεγόμενα πρακτικὰ τοῦ συλλόγου ἐκείνου, ὡς ἐκ προσώπου τῶν ἀνατολικῶν τάδε. καὶ πολὺν περὶ τούτου ἐποιήσαντο λόγον (οἱ λατῖνοι) δεικνύντες ἡμῖν τὸ βιβλίον ὡς παλαιὸν δῆθεν, καὶ ἐπὶ τούτῳ μεγαλαυχοῦντες. οὐδὲν δὲ ἕτερον ἐλαλήθη τότε περὶ τούτου. μάλιστα δὲ ὁ ἐφέσου ἐζήτει καθὼς προέθεντο, ἵνα δηλαδὴ ὁ περὶ τῆς προσθήκης ἐξετασθῇ λόγος. πρόδηλον οὖν ἐκ τούτου, ὅτι τὸ βιβλίον ἐκεῖνο τὸ λατινικὸν ὡς νενοθευμένον ἀπεσιωπήθη. εἰ γὰρ καὶ ἐν τῷ τέλει ταύτης τῆς ζυνελεύσεως εὕρηται, ἰουλιανὸς ὁ καρδηνάλης ἐπαναλαμβάνων περὶ τούτου, ἀλλὰ καὶ αὐτὸς μηδέν τι πλέον ἔχων λέγειν, εἰς ἄλλα τὸν λόγον ἔτρεψε. καὶ ταῦτα μὲν ἐκ τῆς ἱστορίας τῆς ἐν ῥώμῃ τυπωθείσης.

Βιβλίον νενοθευμένον παρὰ λατίνων προσκομισθὲν τῷ φλωρεντινῷ συνεδρίῳ.

Ἐν δὲ τῷ παρ' ἡμῖν ἱστορικῷ, τῷ συντεθέντι παρὰ τοῦ μεγάλου ἐκκλησιάρχου Κωνσταντινουπόλεως σιλβέστρου τοῦ συροπούλου, φέρεται, ὅτι ὁ σοφὸς γεμιστὸς, πρὸς τοῦτον ἀδεέστερον ἀπεκρίνατο λέγων· καὶ εἴπερ εἶχεν ἡ ῥωμαϊκὴ ἐκκλησία ζυνιστᾶν ὃ λέγετε νῦν ἀπό τε βιβλίων καὶ ἀπὸ ἱστορικοῦ τοῦ περὶ τούτου συγγεγραμμένου, πάρεργον ἐποίουν οἱ γεγραφότες ὑπὲρ λατίνων, τὸν θωμᾶν φημί, καὶ τοὺς πρὸ αὐτοῦ, διὰ πλείστων μὲν λόγων τε, καὶ βιβλίων ἀγωνιζόμενοι τὴν προσθήκην ἀποδεικνύειν, ὡς εὐλόγως τε, καί γε οὕτω γεγονυῖαν ὑπὸ τῆς ὑμῶν ἐκκλησίας. τὴν δὲ κυριωτέραν ὑπὲρ ὧν προέθεντο λέγειν σύστασιν περιιδεῖν, ὡς μηδὲν ἐκείνοις συμβαλλομένην.

Σιλβέστρου συροπούλου περὶ τοῦ νενοθευμένου βιβλίου ὑπὸ τῶν λατίνων.

ἤρκει

ἤρκει αὐτῇ πάντων ὧν ἐφέρον ἐπιχειρημάτων τε, καὶ συλλογισμῶν εἰπεῖν, ὅτι πρῶτον ἡ προσθήκη ἐν τῷ συμβόλῳ, καὶ μετὰ τῆς προσθήκης ἀνεγνώσθη, καὶ εἰσήχθη ἐν τῇ ἑβδόμῃ συνόδῳ. ὅτι δὲ οὐδ' ὅλως προέβη ἐν τῇ ἑβδόμῃ συνόδῳ (καθὼς ὑμεῖς λέγετε) διὰ τοῦτο οὐδὲ οἱ γράψαντες ὑπὲρ λατίνων περὶ τούτου ἐμνήσθησαν. καὶ ταῦτα μὲν ὁ γεμιστὸς, πρὸς τὸν προσκομισθέντα τότε παρ' ὑμῶν μετὰ τῆς προσθήκης ὅρον, ἀπελογήσατο. διὸ καὶ ὁ περὶ τούτου λόγος σεσιώπηται.

περὶ μοναχῶν τινῶν ἰταλῶν ἐν τῇ φλωρεντίᾳ τὰ τῶν ἀνατολικῶν ἀποδεχομένων.

Παρασιωπῶν δὲ ὁ συγγραφεὺς τῆς ἱστορίας σίλβεστρος, καὶ ταῦτα διέξεισι. καὶ ἐπὶ τοῖς τοιούτοις διελύθη ἡ σύνοδος. ὅσοι δὲ παρέτυχον τότε τῶν ἐγκρίτων λατίνων, καὶ τῶν ἐναρέτων μοναχῶν (πολλοὶ γὰρ παρ' ἐκείνοις τὴν ὄντως μοναχικὴν μετιόντες συνδιαγωγὴν) ὡς ἤκουσαν τοὺς ὅρους καὶ τὰ ἐπὶ τούτοις παρὰ τοῦ ἐφέσου λεγόμενα, ἔλεγον, ὅτι ἡμεῖς οὐκ οἴδαμεν, οὐδὲ ἠκούσαμεν ταῦτα, οὐδὲ οἱ διδάσκαλοι ἡμῶν ἐδίδαξαν ἡμᾶς περὶ τούτων. νῦν δὲ ὁρῶμεν, ὅτι οἱ γραικοὶ λέγουσιν ὀρθότερον, ἢ ἡμεῖς. καὶ πάντες τὸν ἐφέσου ἐπὶ θαύματος εἶχον. ἀλλ' ἔκτοτέ φησι τοῖς τοιούτοις μοναχοῖς, καὶ λογάσιν, οἱ λατῖνοι τὰς θύρας ἀπέκλειον, καὶ πρὸς τὸ ἴδιον μοναστήριον ἕκαστον αὐτῶν (οὐκ ἄνευ βίας καὶ ἀπειλῆς) ἀπέπεμπον.

Καὶ ταῦτα μὲν καὶ πρὸς τὴν τετάρτην σου θέσιν, ἐν ᾗ διὰ χρονολογίας ἱστοριῶν, πολλοὺς κατηνάλωσας λόγους, ἐπὶ τῷ δεῖξαι ὅτι συμφώνως εἶχον αἱ ἐκκλησίαι, ἀπὸ χριστοῦ μέχρι τῶν ὀκτακοσίων ἐτῶν, καὶ οὗτος μὲν σοι σκοπὸς εἶναι δοκεῖ ὁ προκείμενος. τὸ δὲ σκοπιμώτατόν σου τέλος (ὡς ἔστιν ἀκριβῶς ἰδεῖν) ἀποδεῖξαι τυγχάνει, ὅτι τῇ ἐξουσίᾳ τοῦ ῥώμης ἀρχιερέως, τὰ τῆς ἐκκλησίας ἅπαντα διῳκεῖτο. καὶ στερρῶς μὲν τὸ πρῶτον ἐδείξαμεν καὶ ἡμεῖς, ἐκ τῶν αὐτῶν ἱστοριῶν, ὅτι εἰ καὶ συμφώνως εἶχον αἱ ἐκκλησίαι ἐν τοῖς περὶ πίστεως, ἀλλ' οὐκ ἐνέλειψαν πώποτε ἔριδες ἐκκλησιαστικαὶ κατὰ καιροὺς γινόμεναι, καὶ ὅτι αἱ πλεῖσται τούτων παρὰ τῶν δυτικῶν ἀνεφύοντο.

ὅτι οὐδέποτε ὑπὸ τοῦ ῥώμης ἐπισκόπου, ἐρρυθμίζοντο αἱ ἐκκλησίαι. τοὐναντίον δὲ, αὐτὸς μᾶλλον ὁ πάπας διωρθοῦτο ὑπὸ τῶν συνόδων καὶ τῶν βασιλέων.

Πρὸς δὲ τὸ δεύτερον ἐδείξαμεν, οὐ κατ' ἐξουσίαν τοῦ ῥώμης ἐπισκόπου αἱ ἐκκλησίαι τοῦ Χριστοῦ ἐρρυθμίζοντο· μᾶλλον δὲ αὐτὸς ὁ ῥώμης, καὶ εἴ τις ἄλλος, διωρθοῦτο πολλάκις, ἢ ἀπὸ συνόδου, ἢ ἀπὸ βασιλικῶν συλλαβῶν, ἢ συμβουλῇ τῆς συνόδου δι' ἀναφορᾶς πρὸς τὸν βασιλέα. τοὺς γὰρ ὀρθοδόξους καὶ εὐσεβεῖς βασιλεῖς, χαλινὸν εἶχον ἀείποτε οἱ ἀτακτοῦντες, καὶ οἱ καινοτομοῦντες, καὶ παρασαλεύοντες τὰ ἐκκλησιαστικά, εἴτε περὶ δογμάτων θείων εἶεν, εἴτε περὶ ἐθίμων, καὶ τάξεων ἐκκλησιαστικῶν. ὅθεν καὶ βασιλικῶν δίχα προσταγμάτων, οὐκ ἦν σύνοδον συγκροτηθῆναι, ὡς ἀνωτέρω ἐδείξαμεν τὸν πάπαν λέοντα, παρὰ τοῦ βασιλέως θεοδοσίου τοῦ νέου αἰτοῦντα σύνοδον τοπικὴν ἐν ἰταλίᾳ ποιῆσαι καὶ μὴ εἰσακουόμενον. εἶχον δὲ καὶ προκαθεζομένους τοὺς βασιλεῖς αἱ οἰκουμενικαὶ καὶ καθολικαὶ σύνοδοι, ἢ τοὺς ἐνδοξοτάτους τῆς συγκλήτου, ἐπακροωμένους τῶν μερῶν ἑκατέρων, οἵτινες διέκρινον, καὶ σύμβουλοι ἐγίνοντο, καὶ συνήγοροι τοῖς ὀρθὰ φρονοῦσι, καὶ λέγουσι· τοὺς δ' ἐναντίους τῶν ἱερῶν περιβόλων διεκώλυον

λυον. καὶ πάντα ἦν ἡ βασιλικὴ δύναμις, εἰς τὸ στηρίξαι τε, καὶ διακρατῆσαι τὴν ὀρθοδοξίαν. τοὺς δὲ τἀναντία φρονοῦντας, τῷ πλεονάζοντι τῆς ἐξουσίας καταστέλλειν καὶ ταπεινοῦν. διὸ κἂν ταῖς ἀποφάσεσι καὶ τοῖς ὅροις τῶν συνόδων, τὸ τῶν βασιλέων προὐτάττετο ὄνομα, καὶ καθεξῆς οἱ πατριάρχαι κατὰ τάξιν σὺν τοῖς λοιποῖς. νυνὶ δ' ὁ τῆς πρεσβυτέρας ῥώμης ἀρχιερεὺς, τὴν ἐναντίαν ἐτράπη, καὶ ὥσπερ ταῦτα ἐπιλαθόμενος, ἢ ἀποστρεφόμενος, μόνος συνόδους συναθροίζειν βούλεται, καὶ τῶν βασιλέων αὐτῶν προκαθέζεσθαι, καὶ τὰ πάντα μόνος αὐτὸς εἶναι, καὶ πάντας ἐκβιάζεται τὰ παρ' αὐτοῦ θεσπιζόμενα, (ὁποῖα ποτ' ἂν ὦσιν) ὡς ἀπὸ πυθοῦς, καὶ τρίποδος ἄλλου δέχεσθαι. πρὸς δὲ τὰ παρ' ἐκείνου μόνου ἀποφαινόμενα, μηδεμίαν ἄλλην εἶναι ἀπόδειξιν, εἰ μὴ τὸ, αὐτὸς ἔφα. ὥστε καὶ ἄλλην τινὰ ἐκκλησίαν, τῶν ὅσαι ὑπ' οὐρανὸν, οὔτε σκῆπτρον χριστιανῶν βασιλέων ἰσχύειν τι θέλει, ἐκείνου μόνου περὶ τὰ ἐκκλησιαστικὰ ἀποφαινομένου, καὶ λέγοντος. ὅθεν καὶ πολλὰς πεποίηκεν, ἀποσχέσθαι τῆς παρ' αὐτοῦ τῶν πραγμάτων βίας, τοιαύτης, καὶ τοσαύτης οὔσης.

ὁ πάπας ἀντέστρεψε τὴν τάξιν τῶν συνόδων.

Ὅπως δὲ τοσαύτης ὁ ῥώμης μονοκρατὴς ἐξουσίας γενέσθαι ὑπερίσχυσε, τοὺς τῆς ἀνατολικῆς ἐκκλησίας τοὺς ἐκ τῶν εἰκονομάχων εὗρεν ἕρμαιον διωγμοὺς, καὶ τῆς ῥωμαϊκῆς αὐτοκρατορίας τὰς ἀκαταστασίας. λέων γὰρ ὁ ἐπίσκοπος, τρίτος λεγόμενος, ἀφορμῆς εὐλόγου δῆθεν δραξάμενος, τὰς πυκνὰς τῶν βασιλέων αἱρέσεις, καὶ τὴν τῶν γραικῶν ὡς ᾤοντο ἀπὸ τῆς ῥωμαϊκῆς καθέδρας ἀποστροφὴν, καρόλῳ τῷ ῥηγὶ φράγγων προσέδραμε, τὰ μάλιστα δυναμένῳ τότε κατὰ δύσιν καὶ ῥωμαίων αὐτοκράτορα ἔστεψεν ἐν ῥώμῃ, ἔτους ὀκτακοσιοστοῦ, κατὰ τὴν τῆς Χριστοῦ γεννήσεως ἑορτήν. ὤρκισε δ' αὐτὸν εὐπειθῆ διατελεῖν ἀεὶ τῇ ῥωμαϊκῇ ἐκκλησίᾳ καὶ ὑπέρμαχον ταύτης εἶναι, καὶ ὅσα τοιαῦτα. καὶ ἃ μὴ εἶχεν ἐχαρίζετο προνόμια καὶ τιμὰς τοῖς ὑπ' αὐτοῦ στεφθεῖσιν αὐτοκράτορσιν, ἁρπάζων αὐτὰ ἀπὸ τῶν γνησίων αὐτοκρατόρων ῥωμαίων· καὶ κατὰ μικρὸν ἐξασθενούντων τῶν ἀνατολικῶν πραγμάτων διὰ τὰς πυκνὰς μεταβολάς τε καὶ ἀλληλομαχίας, ἐξήλασεν ἐξ ἰταλίας τοὺς ἐξάρχους αὐτῶν. καὶ παντελῶς τὰ τῶν ῥωμαίων ἐσφετερίσαντο, τὰ μὲν ὁ Πάπας, τὰ δὲ ἄρχοντες ἄλλοι, ἢ μᾶλλον τύραννοι. ἔκτοτε κατεπανίστατο καὶ βασιλέων αὐτῶν, ὁ τοῦ ταπεινοῦ ἁλιέως διάδοχος. καὶ κατεστράτευεν ἔτι ὁ εἰρηνάρχης, καὶ πολέμων αἴτιος καὶ σφαγῶν, ὁ ποιμὴν ὁ καλὸς, καὶ συνόδων κύριος, ὁ δοῦλος αὐχῶν ἐπιγράφεσθαι τῶν τοῦ θεοῦ δούλων. καὶ δὴ καὶ τῆς ἐκκλησίας μονάρχης ἀνακηρύττεσθαι ἤρξατο, ὁ ἀδελφοὺς σεβασμίους ἀναγορεύων καὶ συλλειτουργοὺς τοὺς ἀρχιερεῖς. Ἔκτοτε δὲ καὶ τὴν προσθήκην ἐτόλμησε, πρὸς δὲ δεινοπαθούντων μὲν τῶν ἀνατολικῶν, ὑπομενόντων δὲ καὶ ἀκόντων, ὡς ἀδιόρθωτον ἔμενε τὸ ἐγχείρημα, καὶ ὅτι μᾶλλον εἰς τὸ χεῖρον προέβαινον, κατεψηφίσθησαν πρότερον μὲν ὑπὸ σεργίου Πατριάρχου Κωνσταντινουπόλεως, μετὰ δὲ ͵α νε ἔτη, καὶ ὑπὸ Μιχαὴλ τοῦ κηρουλαρίου ἀνεθεματίσθησαν, πόθεν δὲ τὰ τοσαῦτα σκάνδαλα. ἐκ τῆς ἐπινενοημένης κακῶς τῷ Πάπᾳ λέοντι τῶν σκήπτρων διαιρέσεως. ἵν' ἀδεῶς ἔλα-

Λέων τρίτος ὅπως ἐδήλησεν ἁρπάσαι τὴν αὐτοκρατορικὴν ἀρχὴν, κάρολον κατὰ τὴν δύσιν αὐτοκράτορα στέψας, ἵνα τὴν αὐτοκρατορίαν τῆς ἐκκλησίας αὐτὸς ἁρπάσῃ.

Ὁ πάπας πότε τὴν προσθήκην ἐτόλμησεν.

Λατῖνοι διὰ τὴν προσθήκην ὑπὸ σεργίου πατριάρχου

σιν

σιν ἀφῃροῦντο τῆς βασιλικῆς ἐξουσίας οἱ πάπαι, καὶ τὰ τῆς ἐκκλησίας διοικεῖν κατὰ βούλησιν οἰκείαν. εἰ δ' ἀρεστὰ τῷ θεῷ τὰ πράγματα εἶεν, ἡ ἔκβασις κατὰ πόδας ἐδήλου. ἀπὸ γὰρ τῆς ἐννάτης ταύτης ἑκατοντάδος, οὐκ ἦσαν οἱ πάπαι τοῖς ἔργοις ἀρχιερεῖς· ἀλλ' οὐδ' ἂν εἴποις αὐτοὺς ἀξίως χριστομιμήτους ἐκ τῶν πολλῶν καὶ χυδαίων. τοὺς ἀπὸ Φορμόσου μάλιστα, τοῦ ἐπὶ Φωτίου, πολλῷ δὲ μᾶλλον ἀπέχοντο ἁγιότητος. τοὐναντίον δὲ ἐπὶ τῶν Κωνσταντινουπόλεως Πατριαρχῶν ἄνδρες ἐγένοντο, σχεδὸν πάντες εὐκλεέστατοι ἐν ἁγιωσύνῃ, καὶ διδασκαλίᾳ καὶ ἀρεταῖς παντοίαις περιβόητοι. ὥστε κἀντεῦθεν ἔστι τεκμαίρεσθαι τὰ τῆς ἄνω προνοίας ποτέρῳ μέρει προσετίθετο, ὅπου δῆθεν τὰ τῆς δικαιοσύνης διεπράττετο.

> καὶ Μιχαὴλ Κηρουλαρίου καταψηφίζονται.
>
> Περὶ παπῶν ἀρχιερέων μετὰ τὸ σχίσμα.
>
> Πατριάρχαι Κωνσταντινουπόλεως εὐκλεέστατοι.

ἙΚΑΤΟΝΤΑΣ Θ΄

Μυίᾳ δοκεῖς ἐοικέναι ἥτις τὸ μῆλον περιέρχεται ῥινηλατοῦσα, καὶ ἀνερευνῶσα παρείσδυσίν τινα ἐκ σήψεως γινομένην ἐν αὐτῷ, ἵν' ἀπὸ ταύτης κολάπτειν ἀρξαμένη καταφάγηται τοῦτο. οὕτω δὴ καὶ αὐτὸς ἀνιχνεύων τὰς ἱστορίας, καὶ τὴν ἀρχὴν τῆς τῶν ἐκκλησιῶν ἀνερευνῶν διαιρέσεως, τὸν Φώτιον λέγεις τοῦ σχίσματος αἴτιον γεγενῆσθαι. τὸ δ' οὐχ οὕτως ἔχει, δειχθήσεται δέ σοι σαφέστατα, ἀφ' ὑμῶν τῶν λατίνων τὴν τοῦ σχίσματος ἀρχὴν ἀναφυῆναι διὰ τὰς καινοτομίας. ἀλλ' ἔμαθες τὰ κατὰ Φώτιον, προϊόντος τοῦ λόγου εἴσῃ τρανώτερον, τὰ γὰρ κατ' ἐκεῖνον γεγονότα, οὔτε ἡμῖν, οὔτε τοῖς μετ' ἐκεῖνον καὶ πρὸ ἡμῶν πάντα ἀποδεκτέα. ὅτι μὲν γὰρ ἀνὴρ σοφὸς ἦν τὰ θεῖα ἐκεῖνος, καὶ τῶν ἀρχαίων τῆς ἐκκλησίας ὀρθῶν δογμάτων τε, καὶ κανόνων ἀντεχόμενος, καὶ πάνυ τιμητέος ἡμῖν. ὅθεν καὶ μετὰ τῶν ὀρθοδόξων Πατριαρχῶν μνημοσύνου ἀξιοῦται παρ' ἡμῖν ἐν τῇ ἐκκλησίᾳ μέχρι τῆς σήμερον· ὅτι δὲ ἐπὶ τῷ ἰδίῳ καλῷ καὶ οὐκ ἐπὶ τῷ κοινῷ συνεβίβαζε, καὶ διήρει τὰς ἐκκλησίας, δῆλος ἐστίν· ὅτι δὲ οὐχ ὁ Φώτιος, ἀλλ' ἡ καινοτομία καὶ ἡ προσθήκη ἔσχισεν ὑμᾶς ἀπὸ τῶν ἀνατολικῶν, καὶ τοῦτο πασίδηλον. ἀνάγνωθι καὶ Γεωργίου τοῦ Σχολαρίου κεφάλαιον τρίτον τοῦ πρώτου τμήματος, καὶ τὰς ἐν τῇ ἕκτῃ συνελεύσει τῆς Φλωρεντινῆς συνεδρείας ἀποκρίσεις τοῦ Ἐφέσου, πρὸς Ἰουλιανὸν τὸν καρδηνάλιν καὶ γνώσῃ σαφέστερον τὰ κατὰ τὸν Φώτιον, καὶ τὰς ὑπ' αὐτοῦ γενομένας συνόδους. ἔασον τοιγαροῦν πρὸς θεοῦ τὰ κατὰ τὸν Φώτιον, ἵνα μὴ ἀφορμὰς ἡμῖν διδόντος σου, τοὺς κατὰ τὸν τότε καιρὸν πάπας εἰς μέσον ἀγάγωμεν· δυσχερανεῖς γὰρ εὖ οἶδα. τὸν γὰρ Φώτιον ὑμεῖς αὐτοὶ καθ' ἑαυτῶν ἐξωπλίσατε, ὡς δέγε μὴ διὰ πορίαν, ἢ ἀπειρίαν σιωπᾷν τὰ περὶ Φωτίου δόξωμεν, φέρε δῆτα τῆς ἀληθείας χάριν περὶ τἀνδρὸς εἴπωμεν, ἃ καὶ εἰς ἔλεγχον τῶν Ῥώμης ἀρχιερέων περιτραπήσεται. καὶ πρῶτον μὲν ὅτι παρανόμως οὕτως παντὶ τῆς ποιμαντικῆς τὸ πρότερον βακτηρίας ἐδράξατο, τὸν ἁγιώτατον ἀπελάσας Ἰγνάτιον καὶ πολλὰ κατ' αὐτοῦ σκευωρήσας, οὔτ' ἀρνούμεθα, οὔτ' ἐπαινοῦμεν, ὅτι δὲ καὶ Νικόλαον τὸν πάπαν ἀναθεματίσειν οἴδαμεν, ἐπὶ δὲ ποίοις ἐγκλήμασι, ῥητῶς οὐχ εὑρίσκομεν, ὅτι δ' ἐχθρωδῶς μᾶλλον ἢ δικαίως, καὶ μάλα τεκμαιρόμεθα. ἦν γὰρ Φωτίῳ τὰ μάλιστα ὑπὲρ Ἰγνατίου (καὶ εἰκότως) ἀντιφερόμενος ὅτε

> Ὅτι οὐχ ὁ Φώτιος, ὡς φασιν οἱ Λατῖνοι, ἔσχισε τὴν ἐκκλησίαν, ἐν ᾧ καὶ τὰ κατὰ τὸν Φώτιον ὡς ἐν ὀλίγοις.
>
> Πάπαι μετὰ Φωτίου Νικόλαος καὶ Ἰωάννης περὶ φιλαρχίας διαφερόμενοι, καὶ τὸ σχίσμα κρατύναντες.

νικό

νικόλαος, καὶ ὁ μετὰ τοῦτον ἀδριανὸς. ἀλλ' οὐδὲ πανταχόθεν ὁ Πάπας μέμψεως ἄμοιρος. αὐτὸς γὰρ ὁ νικόλαος εἰς Βουλγαρίαν (τὴν ἤδη καὶ τότε τὴν πίστιν καὶ τὸ κήρυγμα διὰ ἀνατολικῶν διδασκάλων ἐγκολπωσαμένην, καὶ ποιμαντικῆς προμηθείας ἐπὶ τῶν μυστηρίων ἁπάντων ὑπὸ φωτίου πληρέστατα ἀπολαύσασαν) ἰδίους ἐπισκόπους ἀποστείλας, αὖθις τῷ θείῳ μύρῳ τοὺς χρισθέντας ἀνέχρισεν, ἐπὶ προφάσει δῆθεν, ὅτι ἀδόκιμον ἦν τὸ φωτίου χρίσμα, παρανόμως ὄντος, καὶ ὑπὸ ἐπιτίμιον. ὅ τίς ἂν καὶ ὑμῶν αὐτῶν οὐκ ἐξ αὐτῆς ἀπελέγξειεν, ἐπανάληψιν γενομένην μυστηρίου παρὰ πᾶσαν παράδοσιν ἐκκλησιαστικὴν, καὶ ἱερόσυλον τὸ τόλμημα ἀποφήνειεν; ἀλλ' ὅμως ἡ γινομένη ὑπὲρ ἰγνατίου ὀγδόη σύνοδος, ἐπίτηδες, μηδενὸς ἐναντίου ἀπεσιώπησεν, ἰγνατίῳ ἴσως χαριζομένη τῷ διὰ τῶν ῥωμαίων ἀρχιερέων ἀποκατασταθέντι καὶ δικαιωθέντι ὅτι δὲ οὐ κατὰ θεῖον τὰ πάντα ζῆλον, οἱ πάπαι ταῦτα κατώρθωσαν, εἴτε κατὰ φωτίου, εἴτε ὑπὲρ ἰγνατίου, αὐτίκα δείξομεν. ἔστω γὰρ ὅτι ἐκθέσμως ὁ φώτιος προήχθη, καὶ διὰ τοῦτο καθῃρέθη. ἀλλ' ὁ θεῖος ἰγνάτιος ἄμεμπτος ὢν τὰ πάντα καὶ δίκαιος, τί δήποτε τῷ ῥώμης προσέκρουσεν Ἰωάννῃ, ὅτι καὶ ψῆφον ἀκοινωνησίας πρὸς τοὺς ἐν Κωνσταντινουπόλει ληγάτους ἐδέξατο. ἄκουσον θαυμάσιον ἔγκλημα· ὅτι δῆθεν οὐχ ὑπεχώρει τῷ Πάπᾳ, τῆς κατὰ Βουλγαρίαν διοικήσεως, ἀλλ' ὡς νόμιμος ποιμὴν τὴν ἐκεῖ ἐκκλησίαν διέθυνεν, ὅθεν καὶ ἀχάριστος ἤκουε παρὰ τοῦ ῥώμης. ἀκούσατε καὶ θαυμασιώτερον δραματούργημα, τί δήποτε φώτιον τὸν ὑπὸ συνόδου οἰκουμενικῆς καθαιρεθέντα, εἰς τὴν προτέραν πάλιν μετὰ ἰγνάτιον ἀξίαν ἀνήγαγε; τί δὲ πάλιν Ἰωάννην μετ' ὀλίγον, τοσοῦτον κατὰ φωτίου ἐξηρέθισεν, ὥστε καὶ αὐτὸν ἀναθεματίσαι, καὶ τὴν ψῆφον διὰ τῶν ἐν τῷ ποδηρεῖ θείῳ ὑπογράψαι (ὡς λέγεται παρ' ὑμῖν) καὶ αὖθις ὑπὸ φωτίου κἀκεῖνον ἀντανα θεματισθῆναι, καὶ τὸν ἐμπρησμὸν τοῦ ἐξ ἑκατέρων μίσους, εἰς τὸ μέγιστον, ὃ νῦν καὶ κρατεῖ, σχίσμα προβῆναι, καὶ τῶν πρώτων χείρονα καταστῆναι τὰ ἔσχατα. οὐ ζῆλος θεῖος, οὐδαμῶς, ἀλλὰ φιλαρχία καὶ φιλοκέρδεια. ἀγαθὸς γὰρ ἦν ὁ φώτιος, καὶ ἄξιος τῆς καθέδρας, ἕως οὗ τῆς Βουλγαρίας ἀποσχέσθαι ὑπισχνεῖτο, ὅτε δὲ τοῦ θρόνου ἐπικρατήσας, οὐκ ἐφ' ἑαυτῷ εἶναι ἀπελογεῖτο, τὰ τῆς βασιλείας ἅμα καὶ τῆς ἐκκλησίας ἀλλοτριοῦν. ἴδε τοὐντεῦθεν τ' ἀνάξιον ἀνάπαλιν τοῦ ἀνδρός. Ἰωάννης μὲν γὰρ ὁ Πάπας ἐλπίσι διαβουκοληθεὶς, ἐδικαίου τὸν φώτιον. τῶν ἐλπίδων δ' ἀποτυχὼν, κατεδίκαζεν. ὁρᾷ τὰ πλάσματα τοίνυν τοῦ φωτίου, ἢ μᾶλλον τοῦ ὑμῶν Ἰωάννου. ὅθεν μετὰ καὶ ἄλλων προηγησαμένων, καὶ ἀνελυθησάντων τοῖς Πάπαις ἀτοπημάτων, καὶ καινοτομιῶν, τὸ μέγιστον ἀνηγέρθη σχίσμα καὶ ἀκατάπαυστον. πότε δ' ἀνεφύη τὰ τῆς ἐν τῷ συμβόλῳ προσθήκης, κατὰ τὴν ὑποκειμένην ἑκατοντάδα δηλώσομεν.

ἙΚΑΤΟΝΤΆΣ. Ι'

Πρὸς δὲ ἃ φὴς, ὅτι Θεόδωρος ὁ Πάπας, κατ' ἐξουσίαν πατρικὴν, συνεχώρησε τὴν τετραγαμίαν λέοντι τῷ σοφωτάτῳ. καὶ ὅτι μὴ συνδοκοῦντα ἔχων Νικόλαον Πατριάρχην, τὸν ἀπὸ μυστικῶν, ὁ βασιλεὺς

Ὁ πάπας θεόδωρος συγχωρήσας λέοντι τῷ σοφῷ τὴν τετραγαμίαν, ὁπόσον κακὸν προυξένησεν.

δεκάτην πρώτην ἑκατοντάδα λέγεις, ἐκ μαρτυρίας Πέτρου τοῦ ἀντιοχείας, ἐπαναγεγραφέναι τὸ Ἰωάννου δεκάτου ἐννάτου ὄνομα, οὐκ ἀπίθανον, εἴγε τὴν τῆς ἀπαισίου προσθήκης ἐκβολὴν ἐποιήσατο. περὶ τούτου ἐροῦμεν, καὶ εἰς τὴν ἐπιοῦσαν ἑκατοντάδα, ὅτε καὶ λόγος περὶ Μιχαὴλ Πατριάρχου.

ἙΚΑΤΟΝΤΆΣ. ΙΆ.

Μεταβαίνεις ἀπὸ σεργίου ἐνταῦθα, πρὸς γλάβρον τινὰ μοναχὸν λέγοντα, ὅτι ἁπλῶς, καὶ ὁ Πατριάρχης Κωνσταντινουπόλεως πρὸς Ἰωάννην Πάπαν εἰκοστὸν διεπρεσβεύσατο, ἵνα δωρήσηται τῷ Κωνσταντινουπόλεως τὸ οἰκουμενικὸς Πατριάρχης λέγεσθαι.

Γελοῖά τινα καὶ ἀπίθανα παρεισάγεις ἀεὶ· ὅτι ἐκ τῶν παρ' ὑμῖν ἱστορικῶν βούλει δεικνύναι καὶ συμπεραίνειν τὰ σά· ἡμεῖς γὰρ οὔτε τὸν γλάβρον οἴδαμεν, οὔτ' ἄν ποτε τούτῳ πεισθείημεν, ὑμετέρῳ ὄντι ἱστορικῷ καὶ οὐδ' ὀνομαστῷ, ἀλλὰ μὴν καὶ προφανῶς ψευδομένῳ. φίλον γὰρ τοῖς ἱστορικοῖς ὡς ἐπὶ τὸ πλεῖστον δι' ἀπέχθειαν γράφουσιν, ἢ πρὸς χάριν, ἔστιν ὅτε καὶ ὑπ' ἀπειρίας, τὰ πολλὰ τερατεύεσθαι. ἀλλ' εἰ δοκεῖ, καὶ τὸ πρᾶγμα αὐτὸ ἐξετάσωμεν. πῶς γὰρ εἶχεν ὁ Πατριάρχης Κωνσταντινουπόλεως διὰ πρέσβεως βασιλέως αἰτεῖν παρὰ τοῦ Πάπα ὅπερ πρὸ τριακοσίων καὶ ἐπέκεινα ἐνιαυτῶν εἶχε προνόμιον. σὺ μὲν γὰρ ταύτην τὴν πρεσβείαν ἔφης γενέσθαι ἐν ἔτει :ακδ'. ὁ δὲ Κωνσταντινουπόλεως καὶ πρὸ τῆς πέμπτης συνόδου οἰκουμενικὸς ἐλέγετο. ὡς ἐπὶ τῆς ὑπὸ Ἰωάννην τὸν Καππαδόκην συνόδου ἐπὶ Ἰουστίνου τοῦ γέροντος ἔτους :φιή, ἡ δὲ πέμπτη σύνοδος ἐπὶ τοῦ μεγάλου Ἰουστινιανοῦ, ἐν ἔτει γέγονε :φμή, φαίνεται γὰρ πρὸ ταύτης τῆς συνόδου ὁ Ἰουστινιανὸς ἐν ταῖς πρὸς τοὺς Πατριάρχας αὐτοῦ ἐπιστολαῖς, τῆς Κωνσταντινουπόλεως δηλαδή, ἐπιφανίῳ, ἀνθίμῳ, καὶ μηνᾷ, μακαριωτάτους, καὶ οἰκουμενικοὺς Πατριάρχας τούτους ἀναφωνῶν, ἐνδεχόμενον δ' ἂν εἴη μᾶλλον περὶ τούτου λέγειν, ὅτι ζηλοτυπηθέντες οἱ Πάπαι περὶ τοῦ προσρήματος τούτου, τοῦ οἰκουμενικὸς, καὶ ἑαυτοῖς μόνοις ἀποκεκληρῶσθαι βουλόμενοι, τὸ μηδενὶ ἐξὸν ἄλλῳ οὕτω λέγεσθαι, καὶ τὸν θεῖον Πάπαν Γρηγόριον, ἠνώχλουν, καὶ ἠμφισβήτουν τοῖς ἀνατολικοῖς, τοῦ σχίσματος τηνικαῦτα τὰ μάλιστα ἀκμάζοντος, ἀπὸ τοῦ ἐννακοσιοστοῦ ἐννενηκοστοῦ ὀγδόου ἔτους, ὅτε καὶ τέλεον τῶν διπτύχων ἀπέξεσε Σέργιος ὁ Πατριάρχης τοὺς Πάπας, διὰ τὴν ἀδιόρθωτον προσθήκην. εἰκὸς δὲ τεκμήρασθαι, ὅτι καὶ πολλάκις διεπρεσβεύοντο πρὸς ἀλλήλους περὶ εἰρήνης, ἧς καὶ ἐξαίρετον κεφάλαιον τὴν τοῦ οἰκουμενικὸς προέτεινον εὐφημίαν. σὺ δ' ἐνόμισας ὑπὸ δουλοπρεπείας καὶ δέους διαπρεσβευθῆναι ταῦτα πρὸς Ἰωάννην τὸν Πάπαν. διὸ καὶ ὡς νόμους θείους ἐξεδέξω τὰ τοῦ δυσωνύμου γλάβρου σου καθ' ἡμῶν. ὅπως δὲ δικαίως καὶ εὐλόγως ἄγαν ὁ Κωνσταντινουπόλεως ἔχει τὸ οἰκουμενικὸς λέγεσθαι ἀνωτέρω εἰρήκαμεν.

Μετὰ δὲ Φωτίου καὶ μετὰ Φώτιον, ἀρχηγὸν τοῦ τῶν γραικῶν, ὡς φῄς, σχίσματος, συντάττεις τὸν κηρουλλάριον Μιχαὴλ ἔτους :αμγ', ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μονομάχου. τίνος ἕνεκεν σχίσματος ἀρχηγὸν ὀνομάζεις; ὅτι ἔτους πεντηκοστοῦ τρίτου τῆς αὐτῆς ἑκατοντάδος ἐγκύκλιον ἐπέ-

ἔστειλε πρὸς τὴν δύσιν γράμμα, καὶ πρὸς τὸν Πάπαν αὐτὸν, πλῆρες τῆς συκοφαντιῶν καὶ ἀπεχθείας. τὸ μὲν οὖν γράμμα ἡμεῖς οὔπω ἀνέγνωμεν. τὰς δὲ κατηγορίας πολλὰς οὔσας, ἀπηριθμημένας εὕρομεν παρὰ Νικήτα τῷ στηθάτῳ. ἔτι δὲ καὶ ὅτι τοὺς καινοτομήσαντας ἐκ τῶν λατίνων αὐτοφανδὸν ἀνεθεμάτισε, παρὰ ἐπιφανίῳ τῷ μοναχῷ ἀνιστόρηται. ὃ δὲ λέγεις περὶ Πέτρου τοῦ ἀντιοχείας, ὅτι κοινωνὸς ἦν τῷ Πάπᾳ λέοντι ἐννάτῳ, καὶ πρὸς αὐτὸν ἀπέστειλε τὴν κατ᾿ ἔθος ὁμολογίαν, καὶ παρ᾿ αὐτοῦ ἀντεδέξατο τὸ κῦρος τῆς ἐκλογῆς, καὶ χειροτονίας (ὡς καὶ ἡ ἀλεξανδρέων, καὶ ἱεροσολύμων ἐκκλησία τῇ ῥωμαϊκῇ ἐκοινώνουν τηνικαῦτα) εἰ μὲν ἀληθῆ, ἀλλάγε πρόδηλον ὅτι ἀκραιφνὴς ἔμελλεν εἶναι αὐτῶν ἡ ὁμολογία κατὰ τοὺς πάλαι, καὶ τοιαύτην ἔμελλον κἀκ ῥώμης ἀποδέχεσθαι. αὐτὸς γὰρ ὁ Πέτρος ὁ τῷ λέοντι κοινωνὸς τὰς προστριβείσας λατίνοις κατηγορίας παρὰ κηρουλλαρίου λαβὼν, τὰς πλείστας ἐθεράπευε, μὴ ἀκριβολογῶν τὰ πολλὰ διὰ τὴν εἰρήνην, ὧν ἡμεῖς τινὰς ὅμως οὐδαμῶς συγχωρήσαιμεν. τὰς ἀθεμιτογαμίας δηλαδὴ, στρατεύεσθαι τοὺς ἱερωμένους, καὶ τὸ πνικτὸ φαγεῖν, καὶ αἱμοβορεῖν. τὸ δὲ μὴ τιμᾶν τὰς ἁγίας εἰκόνας, καὶ τὰ τῶν ἁγίων λείψανα, ἤδη πεπείσμεθα, ὅτι διωρθώσατε, καὶ χάριν θεῷ ὁμολογοῦμεν, καὶ ὑμῖν αὐτοῖς τὴν ἐπὶ τοῖς λοιποῖς διόρθωσιν ἐπιποθοῦντες. καὶ ταῦτα μὲν ὑμῖν συγχωρεῖ Πέτρος. ἐν τοῖς ἑξῆς δὲ καταγινώσκει κἀυτὸς, ἤτοι τῇ τοῦ σαββάτου νηστείᾳ, τῇ κατηναγκασμένῃ τῶν ἱερωμένων ἀγαμίᾳ, τῇ ἀνειμένῃ λίαν νηστείᾳ, τῆς μεγάλης μάλιστα ἑβδομάδος, ὅτι συλλειτουργοῦντες, οὐδαμῶς καὶ συγκοινωνοῦσιν, ὅτι εἰς μίαν κατάδυσιν ἐβάπτιζον. (τοῦτο δ᾿ οἶμαι διωρθώσατε διὰ τριῶν ἐπιχύσεων, εἰ καὶ μὴ κατ᾿ ἀκρίβειαν ἡ ἐπίχυσις· οὐ γὰρ εἰς ἐπιχύσεις ἀλλ᾿ εἰς καταδύσεις τρεῖς βαπτίζειν κελεύει ὁ κανών) ἐπὶ τέλος τὸ μέγιστον, τὸ δόγμα τὸ καινοτομηθὲν, τῆς ἐξ υἱοῦ τοῦ Πνεύματος ἐκπορεύσεως. καὶ τοσαῦτα μὲν ἐγκαλεῖ κἀυτὸς ὁ συγκοινωνὸς, ὡς παρὰ τὴν τῶν κανόνων ὄντα σαφῶς παρατήρησιν. τί δ᾿ ἂν εἴποι Πέτρος αὐτὸς καὶ ὁ Μιχαὴλ, εἰ τὰς νῦν ἀναφανείσας προεγνώκεισαν ἐν ὑμῖν μεγίστας καινοτομίας, ἃς ἡμεῖς μὲν βλέπομεν καὶ θαυμάζομεν, τὸ νόμιμον ἤδη παρ᾿ ὑμῖν κληρωσαμένας καὶ πάγιον.

Πρεσβείαν ἐπάγεις μετὰ ταῦτα ὑπὸ τοῦ λέοντος ἀποσταλεῖσαν πρός τε τὸν βασιλέα, καὶ τὸν Πατριάρχην, ἔτει πεντηκοστῷ τετάρτῳ. οἱ δὲ πρέσβεις οὔμβερτος, καὶ Φριδέρικος καρδινάλεις, καὶ Πέτρος ἀρχιεπίσκοπος ἀμάλφεως, ὅτι νικήταν τινὰ πρεσβύτερον τὸν στουδίου στηθάτον ὀνομαζόμενον (ὃν καὶ ὁ λόγος προλαβὼν ἐδήλωσε) κατηνάγκασαν τὴν συγγραφεῖσαν αὐτῷ βίβλον κατὰ τῆς ῥωμαϊκῆς καθέδρας, καὶ τῆς πρὸς αὐτὴν ἑνώσεως, ἀναθεματίσαι. ἔτι δὲ καὶ τοὺς τὴν τῆς ῥωμαϊκῆς ἐκκλησίας πίστιν τολμῶντας ἐπιμέμφεσθαι. τὴν δὲ βίβλον ἐκέλευσεν ὁ βασιλεὺς ἐμπρησθῆναι. καὶ ταῦτα μὲν σὺ διηγούμενος ἄλλους πείσαις, ἢ ἡμᾶς. τοὺς γὰρ νικήτα λόγους σωζομένους ἀνέγνωμεν, καὶ οὐδὲν παράλογον ὧν πάντες οἱ ἀνατολικοὶ φρονοῦσι περιείληφε. πῶς οὖν πυρίκαυστος ἡ βίβλος ἐγένετο προστάξει βασιλικῇ, μὴ συγκατακρινομένων πάντων; καὶ πῶς ἦν ἀναθεματίσαι τοὺς τὴν ῥωμαϊκὴν

πίστιν ἐπιψέγοντας; ἡνίκα πάντες οἱ τῆς ἑῴας τὸ τῆς προσθήκης ὁμοφώ-
νως κατέκρινον, καὶ τὸ τοῦ δόγματος φρόνημα ἀπεδοκίμαζον; Ὁ δὲ πάλιν
λέγεις, ὅτι ἀποστρεφόμενον τὸν Κωνσταντινουπόλεως τὴν τῶν πρέσβεων ὁμι-
λίαν, καὶ τούτους τῶν ἱερῶν μυσταγωγιῶν ἀπείργοντα, ἐπὶ παρουσίᾳ παντὸς
5 τοῦ κλήρου καὶ τοῦ λαοῦ, ἐν τῷ πανωνύμῳ τῆς τοῦ θεοῦ σοφίας ναῷ τὸν Πα-
τριάρχην ἀφώρισαν, καὶ τοῦ βασιλέως ὑπασπίζοντος διασωθέντες εἰς Ἰτα-
λίαν ὑπέστρεψαν, πῶς οὐ γελοῖον, ὥστε καγχάζειν καὶ τοὺς ἀντιδίκους
αὐτοὺς, ἐκ τῆς ἀπιθανολογίας; Τίς ἱστόρησε ταῦτα ὦ οὗτος; ὑμέτερος, φή-
σεις, τῶν πρέσβεων εἷς. δῆλον ὡς πρὸς ἰδίαν καύχησιν τοῖς εἰωθόσιν ἐπὶ
10 τούτοις ἀπατᾶσθαι ἡμῖν διηγήσατο. μὴ γὰρ ὅτι πρέσβεις ἦσαν, ἀλλ' εἰ καὶ
βασιλεῖς αὐτοὶ ὑπὸ ἀπείρων δορυφορούμενοι, μὴ ἐκφυγεῖν ἂν ἠδύναντο παν-
τὸς τοῦ λαοῦ τὴν ὁρμήν; ἔστω, ἀπεδέξαντο ὡς ἀπὸ Πέτρου τοῦ κορυφαίου τὴν
ψῆφον. ἀλλ' οὖν ὤφειλον ὑπείκοντες, τοῦ θρόνου καταπαῦσαι τὸν Πατρι-
άρχην, καὶ μηκέτι ὑπὸ ἀκοινωνησίαν ἔχειν ποιμένα ὑπεύθυνον. Σχολή
15 σοι γράφειν ἃ θέλεις καὶ ἀκούειν τὰ καταθύμια· ἐμοὶ μὲν τῆς προφανοῦς
ψευδολογίας τεκμήριον, ὅτι Λέων στηλιτευτικὴν ἀπολαβὼν τοῦ κηρουλλαρίου
ἐπιστολὴν, δέον ἀγανακτῆσαι, καὶ πρὸς ἄμυναν ἀφορᾶν, πρᾴως (ὁμο-
λογοῦντος σου) κατημείψατο καὶ πρὸς εἰρήνην διεπρεσβεύσατο δεσπότης ὢν
τοῦ θρόνου. οὐκ ἦν ἄρα δυνατὸν τοὺς τῇ πρεσβείᾳ διακονοῦντας ὑπὲρ τὰ
20 οἰκεῖα μέτρα μείζονος ὁ τοῦ Πάπα ἀντιποιήσασθαι ἐξουσίας, καὶ κίνδυνον
ἐπισπάσασθαι τῆς ζωῆς ἑτοιμότατον· Τέλος ὡς ἐνήρξω ὑβριστικῶς κατὰ τοῦ ἀν-
δρὸς, οὕτω καὶ καταλήγεις. τοῦτον γὰρ ἐκ τοῦ κουροπαλάτου λέγεις, (προσ-
τίθημι κἀγὼ ἐκ τοῦ κεδρηνοῦ) εἶναι τὸν Μιχαὴλ ἐκεῖνον, ὃν τυραννίδος ὑπο-
πτευθέντα μετὰ καὶ ἄλλων κατὰ (τοῦ παφλαγόνος) Μιχαὴλ Ἰωάννης ὁ τοῦ βασι-
25 λέως ἀδελφὸς (ὁ λεγόμενος ὀρφανοτρόφος) ἐξωστράκισεν· εἰδ' ὁποῖος ἦν ἤ-
δεις ὁ Ἰωάννης, καὶ ὅτι τοῖς πᾶσιν ἦν τύραννος, καὶ τῇ κληρονόμῳ
βασιλίδι καὶ εὐεργέτιδι αὐτοῦ Ζωῇ, ἀχρείου μένοντος τοῦ ἀδελφοῦ διὰ τὸ δαι-
μονᾶν ἀθεραπεύτως, μέχρι τῆς τοῦ βίου καταστροφῆς, οὐκ ἂν οὕτω σκαιῶς
κατῃτιάσω τὸν τῆς κοινῆς ἐλευθερίας καὶ εἰρήνης ἔκδικον, ἀλλὰ τῷ μὲν Μιχα-
30 ὴλ ἡ περίστασις εἰς τὸ μονάζειν ἐτελεύτησεν, ὅθεν καὶ εἰς τὸ τῆς Πατριαρχίας
ὕψος προήχθη. τῷ δ' ἐξορίσαντι ὀρφανοτρόφῳ, εἵπετο κατὰ πόδας ἡ δίκη,
ἐκτυφλωθέντι δῆθεν ὑπὸ Θεοδώρας τῆς αὐγούστης, εἰς ἄμυναν οἶμαι τῇ
αὐταδέλφῃ Ζωῇ. Καταστίζεις τὸν ἄνδρα καὶ ἐκ τοῦ τέλους, ὅτι ἐκ θεομηνίας
τοῦ θρόνου ἐξεβέβληται, ὑπὸ Ἰσαακίου τοῦ κομνηνοῦ. καὶ μὴν αἴτιον οὐδὲν, οὐδὲ
35 ἐπίψογον εἰσάγεις, εἰ μὴ ὅτι ὡς ἀγνώμονα ὠνείδιζε τὸν κρατοῦντα τῆς ἱκε-
σίαις αὐτοῦ μὴ ἐπικαμπτόμενον. καὶ τίνος οὗτος ἐπάξιος ὁ ψόγος; τοῦ Πα-
τριάρχου ἢ τοῦ βασιλέως; ἐγὼ μὲν οὖν φήσαιμι μᾶλλον οὐκ ἀθεεὶ ὑπὸ
τοῦ εὐεργετηθέντος Ἰσαακίου ἀναξίως οὕτως ἀμειφθῆναι τῷ Μιχαὴλ, ὅτι
πρωταίτιος ἐγένετο κατὰ κεδρηνὸν τῆς ἀμωσγέπως ἀδίκου καθαιρέσεως τοῦ προ-
40 βασιλεύοντος ἀπὸ στρατιωτικῶν Μιχαὴλ. οὐ γὰρ δεῖ ποιμένας εἰρηνικούς τε καὶ
εἰρηνοποιοὺς συνευδοκεῖν ταῖς ἀποστασίαις καὶ ἐγχειρήμασι κοσμικοῖς, μά-

λιστάγει παραλόγοις καὶ ἐπικινδύνοις. ὥστε κρίσει δικαίᾳ θεοῦ ἀπέλαβεν ἐνδίκως ὑπὸ φίλου ὅπερ ἀδίκως εἰς φίλον ἀπέδωκεν.

ἙΚΑΤΟΝΤΑ'Σ. ΙΒ'.

Παράγεις ἐνταῦθα κατὰ τὴν δωδεκάτην ἑκατοντάδα, ἔτους πεντηκοστοῦ ἕκτου, ἀδριανὸν Πάπαν (τρίτον ἡμεῖς συμβάλλομεν ἐκ τῆς χρονολογίας ἐπὶ τοῦ κομνηνοῦ Μανουὴλ αὐτοκράτορος, καὶ Λουκᾶ Πατριάρχου τοῦ ἀοιδίμου) διαπρεσβευόμενον περὶ εἰρήνης πρὸς Κωνσταντινούπολιν. ἀλλ᾽ οὐκ ἀνήρει νομίζω τὸ τῆς μάχης αἴτιον τουτέστι τὸ τῆς προσθήκης. διὰ τοῦτο καὶ οὐδὲν συνεπεραίνετο ἀσφαλές. ἐπέστειλε δὲ καὶ πρὸς τὸν θεσσαλονίκης Βασίλειον μέγα δυνάμενον ἐπὶ συνέσει καὶ λόγοις. ὁ δὲ ἀντημείβετο, μὴ τοὺς ἀνατολικοὺς τυγχάνειν τὰ τῆς παραβολῆς τῶν ἀπολωλότων προβάτων, καὶ δραχμῆς. ἡγοῦς δ᾽ αὐτοῦ μᾶλλον εἶναι, καὶ τὰ αὐτὰ ἐκείνῳ πάντας φρονεῖν τοὺς ὑπὸ τὸν Κωνσταντινουπόλεως. ὥστε συνάγειν ἐκ τούτων ἢ μετριοφρονέστερον καὶ ὀρθότερον γράψαι τὸν Πάπαν. ἢ συγκαταβατικώτερον δι᾽ εἰρήνην τὸν Βασίλειον. κατὰ δὲ τὸ ,αρξϛ, καὶ ,αρο, ἔτος λέγεις, ὅτι ὁ αὐτοκράτωρ ῥωμαίων Ἐμμανουὴλ ὁ κομνηνὸς δὶς διεπρεσβεύσατο πρὸς τὸν Πάπαν Ἀλέξανδρον. τὸ μὲν πρῶτον περὶ ἑνώσεως, ὥστε ὑποταχθῆναι μιᾷ κεφαλῇ τῷ Πάπᾳ τοὺς ἀνατολικούς. καὶ προσέτι ἀξιῶν τὸν Πάπαν, μετατεθῆναι εἰς αὐτὸν τῆς αὐτοκρατορικῆς ῥωμαϊκῆς βασιλείας τὸ στέμμα· καὶ ὅτι ὁ Πάπας ἀπεκρίνατο, μὴ δύνασθαι τοῦτο ποιῆσαι κατὰ τὴν ἐκ θεοῦ δοθεῖσαν αὐτῷ ἐπιστασίαν. καὶ ταῦτα μὲν αὐτὸς γράφεις, ὅθεν δὲ παρέλαβες, ἀμάρτυρον εἰσάγεις τὸ ἱστορούμενον. ἔοικε δὲ τεκμαίρεσθαι οὐκ ἐκ τῆς ἑλλήνων πρᾶξιν μισέλληνα, καὶ πάντως ἀνελεύθερον γενέσθαι, ἢ γεγράφθαι πρεσβείαν, ἀλλ᾽ ἐκ τῶν παρ᾽ ὑμῖν τὰ πλεῖστα ὀνειροπολούντων, καὶ παραπλαττόντων. δῶμεν ὅπερ οὐ πιστεύομεν εἰς πρεσβείαν. πλὴν ἡμεῖς ἀπὸ τούτων, τρία τινὰ συνάγεσθαι λέγομεν, πρῶτον, ὅτι ἡ περὶ τῆς ἑνώσεως πρεσβεία οὐκ εἶχε σκοπὸν τὸ περὶ πίστεως ἐξετάσαι δόγμα, ἀλλ᾽ οἰκονομικῶς τὰ περὶ εἰρήνης. τὴν καὶ ὑποταγὴν ὑμεῖς τῷ Πάπᾳ διερμηνεύετε. τοῦτο γὰρ μόνον ἀντὶ πάντων τῶν ἄλλων, περισπούδαστον ἔχετε. ὁρῶμεν γὰρ καὶ πολλοὺς ἄλλους ὑποταγὴν μόνην τῷ Πάπᾳ προσνείμαντας, συγχωρηθέντας δὲ τ᾽ ἄλλα πάντα κρατεῖν καὶ δοξάζειν ὅπως ἂν βούλοιντο. ἐν γὰρ τῇ ἰνδίᾳ (κατὰ κορνήλιον μοῦσον ἐπίσκοπον, ὁμιλίᾳ εἰς τὴν τοῦ κυρίου περιτομὴν) τοὺς ἐκεῖσε χριστιανοὺς κατόχους αἱρέσεσι, τῷ Πάπᾳ μόνῳ ὑποτάσσεσθαι, οἱ ἐκ τοῦ Πάπα ἀποστελλόμενοι δικαιοῦσι, τὰ δ᾽ ἄλλα τούτοις ἔθιμα, μὴ κωλύεσθαι φυλάττειν, διὸ καὶ μέχρι τῆς σήμερον περιτέμνονται καὶ λέγονται καθολικοὶ περιτετμημένοι. εἴποι δ᾽ ἄν τις ἄλλος τούτους λατίνους, ἐξ ἡμισείας ἰουδαΐζοντας. καὶ ἐν τῇ ἔξω δὲ ῥωσίᾳ πολλοὶ εἰσὶν οὐνιᾶται λεγόμενοι, ὅτι ἐν τῷ μέρει τούτῳ μόνῳ ἑνοῦνται. ἐν τῷ τὸν Πάπαν δηλαδὴ κεφαλὴν τῆς καθόλου ἐκκλησίας ὁμολογεῖν, καὶ τὰς τούτου καινοφωνίας. τὰ δ᾽ ἄλλα πράττειν συγχωρούμενοι κατὰ τὴν ἀρχαίαν αὐτῶν παράδοσιν. ὃ καὶ μετριώτερον ἐν αὐτοῖς, πρότερον τῆς ἀνατολικῆς ὑπαρξάντων μερίδος. εἰ

καὶ τὰ νῦν οὐδέτερον εἰσὶν ἐπαμφοτερίζοντες, καὶ ἐξ ἄλλων δὲ πολλῶν αἱ-
ρέσεων, πολλοὶ ἐξαπατώμενοι αὐτομολοῦσι τοῖς δυτικοῖς ἐπὶ τοιούτοις συμ-
βιβασμοῖς, ὅπερ οὐδὲν ἄλλο ἐστὶν, εἰ μὴ ὅπερ περὶ Χριστοῦ ἐκήρυττον οἱ ἀπόστο-
λοι, πίστευε μόνον τῷ Πάπᾳ καὶ σωθήσῃ. καὶ ὡς ἐν κεφαλαίῳ εἰπεῖν πάντα
5 κάλων κινεῖτε, τὴν οἰκουμένην ἅπασαν ὑποτάξαι τῷ Πάπᾳ, ὅπερ οὔτε ἦν
ἀπ᾽ ἀρχῆς, οὔτ᾽ ἔσται πώποτε, μέχρις ἂν ὁ καθ᾽ ἡμᾶς χρόνος περαιωθῇ.
ὅταν ὁ Χριστὸς καὶ οὐχ ὁ Πάπας παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρὶ ὡς μόνῳ σω-
τῆρι καὶ μονάρχῃ ἀμφοτέρας τῆς τε τῶν πρωτοτόκων ἐν οὐρανοῖς, καὶ τῆς ἐπι-
γείου ἐκκλησίας.

10 Ἀπὸ δὲ τοῦ δευτέρου μέρους τοῦ ἀνωτέρω σου λόγου δῆλον γίνεται, ὅτι πα-
ρυπεμφαίνεις ἐν τῇ ἐξουσίᾳ κεῖσθαι τοῦ Πάπα, βασιλέων αὐτοκρατόρων
ἀφαιρεῖν στέμματά τε καὶ ἀξιώματα, καὶ ἄλλοις οἷς ποτ᾽ ἂν αὐτὸς βούλεται
περιτιθέναι. τοῦτο δὲ ἐξ ἀρχῆς ὁ Πάπας οὐκ εἶχεν ὡς αὐτὰ μαρτυρεῖ τὰ πρά-
γματα, ἀλλ᾽ ὕστερον τῶν ῥωμαϊκῶν σκήπτρων ἀρξαμένων ὑποκλίνειν, εὐ-
15 καιρίας δραξάμενος, ὑφήρπασεν ὡς εἰρήκαμεν, καὶ ἀντιποιεῖται τῆς ἐξου-
σίας ταύτης παρὰ τοῖς ὁμόφροσιν αὐτοῦ ἢ τυραννίδος μᾶλλον, ὥστε ἀνα-
σείειν διὰ ταύτης τὰς κοσμικὰς ἀρχὰς καὶ δυναστείας. ὁπόσα δὲ τὰ κακὰ
ἐκ τούτου ἠκολούθησαν, ἔν τε τῷ καθόλου τῆς ἐκκλησίας σώματι, καὶ αὐτῇ
τῇ αὐτοκρατορικῇ ἀρχῇ ῥωμαίων καὶ ἄνθρωποι καὶ θεὸς εἶδεν ὃς ἀποδώσει ἑκάστῳ
20 κατὰ τὰ ἔργα αὐτοῦ.

Πρὸ δὲ τρίτον ὅτι ὁ Κομνηνὸς Ἐμμανουὴλ ἐζήτει παρὰ τοῦ Πάπα, εἰ μὲν ἁ-
πλῶς τὸ στέμμα τῆς αὐτοκρατορίας, πῶς οὐ καταγέλαστον λέγειν ἐστι,
καὶ ἀκούειν ἡμᾶς. πῶς γὰρ ὅπερ εἶχεν ἐζήτει λαβεῖν; μᾶλλον μὲν οὖν ἀ-
ληθὲς τοῦτο, ὅτι ὁ Ἐμμανουὴλ ἐντρεχέστατος ὤν, ὁρῶντε τόν τε Πάπαν
25 Ἀλέξανδρον τρίτον, τόν τε βασιλέα Γερμανίας Φεδέρικον τὸν ξανθοπώγωνα,
ἀλλήλοις ἀδιαλλάκτως προσκρούσαντας, κἀκεῖνον μὲν κατὰ τὸ ἔθος ἀναθέματι
τὸν ἀντίδικον καθυποβαλόντα, τοῦτον δὲ ὅπλοις τὸν Πάπαν τοῦ θρόνου ἐξελά-
σαντα, ὥστε καὶ ἄγνωστον κατὰ τόπους διαδιδράσκειν, καὶ διαλανθάνειν ἐν σχήματι
μοναδικῷ, ἄχρις οὗ βουλῇ καὶ συνέσει τῆς τῶν ἐνετῶν ἀρχῆς διηλλάγησαν.
30 καὶ πάλιν εἰς τὰς προτέρας μάχας ἐξώρμησαν. ταῦτα κατανοῶν ὁ συνε-
χὴς αὐτοκράτωρ, ἔγνω χρησταῖς ἐλπίσιν ἑνώσεως διαβουκολῆσαι χρήμασί τε
καὶ ὑποταγῇ τοῦ Πάπα τὸ φίλαρχον καὶ φιλάργυρον. ὅπως τῆς Φεδερίκου τά-
χα ἀνυποταξίας ἱσταμένης, ἐκποδών τε τῶν σκήπτρων κηρύξας ἐκεῖνον, τὸν
Κωνσταντινουπόλεως αὖθις ἀναγορεύσῃ ὡς πρότερον καὶ τῆς δύσεως αὔγου-
35 στον, καὶ τὰ διῃρημένα κακῶς ὑπὸ Λέοντος συνάψῃ καλῶς. ἤλπιζε δὲ τούτου
καὶ οἰκείοις ὅπλοις τυχεῖν, καὶ συμμαχίᾳ τοῦ Πάπα, τοὺς λαοὺς εἰς τὴν αὐτοῦ
προσκύνησιν διεγείροντος, ἀλλ᾽ οὐκ ἦν οὕτως ἠλίθιος ὁ λατῖνος τὴν δυσχερῶς
κατορθωθεῖσαν ἅπαξ διαίρεσιν τῶν σκήπτρων, εἰς ἰδίας αὖθις ἐξουσίας ἀναί-
ρεσιν εὐχερῶς δι᾽ ἑνώσεως διαλῦσαι. ὅθεν καὶ πάνυ ψυχρῶς, ἢ μᾶλλον γελοίως
40 ἀπεκρίνατο, μὴ δύνασθαί πως ποιῆσαι τοῦτο κατὰ τὴν ἐκ θεοῦ δοθεῖσαν αὐτῷ
ἐπιστασίαν, ὡσανεί τις ἔλεγεν, ὅτι κατ᾽ αὐτὴν τὴν ἐξουσίαν ἠδύνατο τὰ νόμι-

μα

μα καταλῦσαι εἰς ἄνομα, τὰ δ' ἄνομα εἰς ἔννομα ἐπαναγαγεῖν οὐκ ἠδύνατο. ἄγε τῆς ἐκ θεοῦ τῷ Πάπᾳ ἐπιστασίας καὶ ἐξουσίας.

Παρίημι νῦν ἐνταῦθα ὅσα περὶ Ἀνδρονίκου, τοῦ κατὰ Λατίνων διωγμὸν κινήσαντος, τότε περὶ Βαλσαμῶνος τοῦ Πατριάρχου, Λατίνους (κατὰ τὸν Χωματηνὸν, τὸν Βουλγαρίας Δημήτριον, καὶ τὸν Κίτρους Ἰωάννην) ἀποστρεφομένου. ἀγῶνα γὰρ ἐστήσαμεν περὶ τῆς καθόλου ἐκκλησίας, οὐ περὶ ὡρισμένων ἀνδρῶν τινων. ἀναλάβωμεν οὖν τὰ καιριώτερα. ἔτους ασιε. λέγεις ἐν Λατερανῷ ναῷ πρωτίστῳ Ῥώμης ἐπὶ Ἰννοκεντίου τρίτου σύνοδον συγκεκροτῆσθαι τετρακοσίων δώδεκα ἐπισκόπων, ἐν οἷς ἦσαν Μητροπολῖται ἑβδομήκοντα δύο, ἡγουμένων τε πλῆθος, καὶ προεστώτων ὑπὲρ τοὺς ὀκτακοσίους, καὶ ὁ Κωνσταντινουπόλεως, καὶ ὁ Ἱεροσολύμων παρῆσαν αὐτοί. ὁ δὲ Ἀντιοχείας, καὶ Ἀλεξανδρείας διὰ ἐπιτρόπων. ἔνθα τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ ἡνώθησαν ἅμα καὶ ὑπετάγησαν οἱ ἀνατολικοὶ, καὶ τὴν αὐτῆς πίστιν καθωμολόγησαν, καὶ ὅσα τοιαῦτα. πλὴν ἀλλ' ἔλαθες σαυτὸν ἀπατήσας, ἀπατῆσαι τοὺς ἄλλους προθέμενος ὦ γεννάδα. εἰπὼν γὰρ ἐν προοιμίοις, ὅτι κατακρατήσας τῶν Ῥωμαϊκῶν ἐν Κωνσταντινουπόλει σκήπτρων ἐκ τῶν Λατίνων ὁ Βαλδουῖνος, πολλοὺς τῶν ἀνατολικῶν εἰς τὸ συμφρονεῖν τὰ Ῥώμης συνήλασεν, οὐκ ἀνατολικοὺς γνησίους, ἀλλὰ νόθους παρήγαγες, ἤτοι τοὺς ἀνατολικοὺς Λατίνους. ὅπου γὰρ Λατῖνοι, καὶ Κωνσταντινουπόλεως ἐκυρίευον, καὶ Ἀντιοχείας, καὶ Ἱεροσολύμων, τίς ἦν ἐν Ἕλλησιν ὀρθοδόξοις παρρησία; τίς Πατριάρχης ἢ ἀρχιερεὺς, ὑφαρπαζόντων ἑαυτοῖς πάντα Λατίνων. ὤφειλες ἐκ προσώπου τῶν ἡμετέρων τοὺς τότε παραστῆσαι κοινωνοὺς τῆς συνόδου, Θεόδωρον δηλαδὴ βασιλέα τὸν Λάσκαριν, Μάξιμον ἢ τὸν μικρὸν μετ' αὐτὸν Ἐμμανουὴλ τὸν φιλόσοφον Πατριάρχην, ὡσαύτως καὶ τοὺς λοιπούς. οὐ τοὺς ψευδωνύμους ἐκ τῶν ὑμετέρων Λατίνων. τοῖς τοιούτοις γὰρ τίς ἂν εὖ φρονῶν πείθοιτο; μάτην ἄρα καὶ καυχᾶται Ἰννοκέντιος ἐπὶ τῶν ἡμερῶν αὐτοῦ ὑποταγῆναι τῇ Ῥωμαϊκῇ ἐκκλησίᾳ τοὺς Γραικούς. εἰ μὴ Γραικοὺς ὠνόμαζε τοὺς τῶν Λατίνων δούλους, ἢ ἀργυρωνήτους τινὰς, ἢ καὶ πρὸς κολακείαν τῶν κρατούντων ὑπαχθέντας ἱερεῖς τε καὶ λαϊκοὺς, ὡς πάλαι κἀπὶ τῶν αἱρετικῶν βασιλέων. τοῦτο οὐδὲν θαυμαστόν. τοιαύτας ἑνώσεις καὶ συνόδους προσκομίζων ὦ βέλτιστε, δῆλος τυγχάνεις ἐκ προθέσεως πρὸς ἀπάτην λαλῶν, καὶ οὐ πρὸς ἀλήθειαν.

Ἐν ἔτει δὲ ασοβ καὶ ασοδ, τὴν γεγονυῖαν ἐν Λουγδούνῳ σύνοδον ἐπὶ τοῦ δεκάτου Πάπα Γρηγορίου παράγων εἰς μέσον, λέγεις, ὅτι παρῆσαν οἱ Πατριάρχαι πάλιν ὁ Κωνσταντινουπόλεως, καὶ ὁ Ἀντιοχείας, καὶ ἐπίσκοποι πεντακόσιοι, καὶ ὅτι ἐν τῇ τρίτῃ ταύτης συνελεύσει ἔψαλλον ἑλληνιστὶ τὸ ἅγιον σύμβολον τῆς πίστεως τρὶς μετὰ τῆς προσθήκης, καὶ ἐκ τοῦ υἱοῦ. ἐν δὲ τῇ τετάρτῃ ἀνεγνώσθησαν αἱ ἐπιστολαὶ Μιχαὴλ βασιλέως τοῦ Παλαιολόγου, καὶ τῶν ἀνατολικῶν ἐπισκόπων, ὁμολογούντων τὴν καθολικὴν πίστιν (ἤτοι κατὰ σὲ τὴν Ῥωμαϊκὴν) καὶ τὸ πρωτεῖον τῆς Ῥωμαϊκῆς ἐκκλησίας, καὶ ὅτι πάντες ὑπακοὴν τῷ Πάπᾳ ὑπεσχέθησαν, καὶ ἐπὶ τούτοις μάρτυρας παράγεις ἱστορικοὺς Γεώργιον τὸν Παχυμέρην, καὶ Νικηφόρον τὸν Γρηγορᾶν.

Ἀλλὰ

Ἀλλὰ τούτοις, καὶ τοῖς τοιούτοις ἐπιχειρήμασι χυδαίους ἄνδρας τοὺς παρ'
ὑμῖν καὶ ἁπλοϊκοὺς πείσαιας ἂν ἴσως. Ἕλληνας δ' ἄνδρας, καὶ τρίβω-
νας ἐν ταῖς βίβλοις, κἂν τούτων διακρίνειν εἰδότας ἀπὸ τοῦ ψεύδους
τὴν ἀλήθειαν, οὐκ ἄν ποτε πείσειας.

5 Δοκεῖς μοι τοιγαροῦν μὴ πᾶσαν τὴν βίβλον τῶν ἱστοριῶν τοῦ Παχυμέρους
διελθεῖν. εἶχες γὰρ ἂν γνῶναι, τέλους ἕνεκα τίνος ὁ Παλαιολόγος Μιχαὴλ
τὴν ἕνωσιν ἐκείνην ἐσπούδαζε διαπραγματευόμενος. ἕκαστον γὰρ ὦ σοφώτατε
ἐκ τοῦ οἰκείου τέλους γνωρίζεταί τε, καὶ λέγεται. τὸ δὲ τέλος τῆς ἑνώσεως, ἢ
μᾶλλον εἰπεῖν διαστάσεως ἐκείνης οὐδὲν ἦν ἄλλο, ἢ τὸ μεσιτεῦσαι τὸν Πάπαν
10 ἀναστεῖλαι τῆς ὁρμῆς Κάρολον τὸν ῥῆγα Φραγγίας κατὰ τῆς Κωνσταντινουπό-
λεως, καὶ τῶν ῥωμαίων βασιλέων ἀσχέτῳ θυμῷ λυττήσαντα. οὐκοῦν ἕν-
ωσις οὐκ ἦν ἐκκλησιαστικὴ τὰ τότε γεγενημένα, μᾶλλον δὲ μάχη, καὶ μεγίστη
διάστασις ἐγνωρίζετο. σὺ δὲ πῶς ἕνωσιν ἀποκαλεῖς τὴν τοσοῦτον θόρυβον καὶ
ταραχὴν ἐν Κωνσταντίνου ποιησαμένην, καὶ σχίσματος μεγίστου πρόξενον γε-
15 γενημένην μεταξὺ τῶν ἀνατολικῶν αὐτῶν. πῶς ἂν καὶ εἴη ἕνωσις αὕτη,
ὅπου οἱ τότε Πατριάρχαι τῆς βασιλίδος, Ἀρσένιος, Ἰωσὴφ καὶ Γρηγόριος,
ὁ μὲν ἑκὼν ἀνεχώρει, οἱ δὲ καὶ ἄκοντες τῆς ἐκκλησίας ἐξωθοῦντο, μὴ βου-
λόμενοι συγκατατίθεσθαι ὅλως τῇ κακῶς ἐπινοηθείσῃ ἐκείνῃ ἑνώσει, ἑώρων γὰρ
μὴ εἰς καλὸν ἀποβήσεσθαι τέλος τὸ πρᾶγμα. πρὸς τούτοις δὲ, καὶ πολλοὶ
20 ἄλλοι τῶν ἐλλογίμων καὶ ἐγκρίτων ἀνδρῶν τῇ βασιλικῇ ἐξουσίᾳ φυλακιζόμενοι
κατηκίζοντο, καὶ πρὸς μακρὰς ἐξορίας ἐστέλλοντο, δημεύσεις ἀδίκους πρό-
τερον ὑποστάντες. ἔνθα γὰρ οὐκ εἶχε πείθειν τοῖς λόγοις ὁ βασιλεὺς, τὴν
βίαν ἐπῆγεν. ὁ δὲ Βέκκος, ὃν ὑμεῖς οἰκεῖον λέγετε, μὴ οὐκ ἐνόρκως
ἐκελεύσθη εἰπεῖν ἐπὶ συνόδου, καὶ τοῦ βασιλέως αὐτοῦ τὸ, τί ἂν καὶ φρο-
25 νοίη περὶ λατίνων; (καὶ ὅτι τετραχῶς διελὼν ἀπεκρίνατο, ὅτι οἱ λατῖνοι
τῆς μοίρας εἰσὶ, τῶν ὄντων μὲν, μὴ λεγομένων δὲ αἱρετικῶν) οὐκ ἐφυλα-
κίσθη καὶ οὗτος; κἂν τῇ φυλακῇ προσεκόμιζον αὐτῷ βιβλία ἀναγινώσκειν
οἱ λατινόφρονες, ὡς δῆθεν μεταμαθόντα τὴν ἀλήθειαν συνθέσθαι τῇ ἑνώ-
σει; ὃ καὶ πέπονθεν, ἤτοι τῷ δοκεῖν, ἢ καὶ τῇ ἀληθείᾳ.

30 Οὐκ ἐμὰ ταῦτα. ἀλλὰ τοῦ ἱστορικοῦ Παχυμέρους ὅνπερ οὐκ ἔδει σε παρα-
γαγεῖν εἰς μέσον κατὰ σοῦ μαρτυρήσοντα· ἄκουε δὴ καὶ τὰ τούτῳ αὐτο-
λεξεὶ ἱστορηθέντα, ὅπου εἰσάγει τὸν βασιλέα δημηγοροῦντα καὶ λέγοντα.

" Ἀπαράτρωτα πάντα τὰ τοῦ ἡμετέρου δόγματος ἔσαι. τρία γὰρ μόνα
" ἀπονέμομεν τῷ Πάπα, πρωτεῖον, ἔκκλητον, καὶ μνημόσυνον. ταῦτα
35 " δὲ λύτρα ἔσονται, πολλῶν αἱμάτων ῥωμαίων ἐκχυθῆναι (παρὰ Καρόλου δη-
" λαδή.) κινδυνευόντων. ὅρα τὸ τέλος τῆς ἑνώσεως. ὅρα τὰ ζητούμενα εἰς
τὴν ἕνωσιν. ὅρα καὶ τὴν παρὰ τοῦ βασιλέως τῶν πραγμάτων βίαν. ὅρα δὲ καὶ τὴν
ἐκ τούτων γενομένην διάστασιν καὶ τὸ σχίσμα. παρῆσαν πρέσβεις ἀπὸ ῥώμης
τοῦ Πάπα, ἐζήτουν πληροφορίαν τῆς ἑνώσεως (χλεύην γὰρ εἶναι τὰ γινό-
40 μενα πάντες διεμαρτύροντο, καὶ ἐγίνωσκον) συνῆλθον ἡμέρᾳ ἑορτῆς τοῖς
ἡμετέροις συνεορτάζοντες, ἐπαρρησιάσθη τὸ τοῦ Πάπα μνημόσυνον ὑπὸ τοῦ

διακό

[Marginal note:] Περὶ τῆς ἐν λουγδούνῳ συνόδου, ὅτι οὐ παρῆσαν ἀνατολικοὶ, ὡς οἱ λατῖνοι διισχυρίζονται ψευδόμενοι. καὶ περὶ τῶν παρεγγράπτων παρὰ λατίνοις πατριαρχῶν.

διακόνου ἐκφωνήσαντος, Γρηγορίου ἄκρου ἀρχιερέως, καὶ καθολικοῦ Πάπα, καὶ τὰ ἑξῆς, καὶ θόρυβος εὐθὺς, καὶ σχίσμα μέγα, μέχρι καὶ προσψαύσεως αὐτῆς. τῶν ἀνθισταμένων τῇ τοιαύτῃ ἑνώσει πρὸς ἀλλήλους βοώντων μὴ θίγε, μὴ ἅψῃ ἄχρι καὶ σκεύους τῶν τοιούτων. οὕτως ἐβδελύσσοντο τοὺς συντεθειμένους τῇ τοιαύτῃ ἑνώσει, καὶ ὁ μὲν Παχυμέρης ταῦτα. ποῦ τοίνυν οἱ παραγενόμενοι ἐν λουγδούνῳ Πατριάρχαι, ὁ Κωνσταντινουπόλεως, καὶ ὁ ἀντιοχείας ὡς λέγεις. τίνα δὲ καὶ τὰ τούτων ὀνόματα; παρῆσαν τυχὸν, οὓς ὑμεῖς δραματοποιοῦντες καθιστᾶτε Πατριάρχας, παρακαθημένους μὲν ἐν ἰταλίᾳ ὑπὸ τὸν Πάπαν, ἄλλων δὲ νομίμως τοὺς θρόνους ἐχόντων, τοῦτο δὲ ποίαν τὴν ἰσχὺν ἔχει; δυνάμεθα καὶ ἡμεῖς οὕτως, ἕνα Πάπαν ἐκ τῶν ἡμετέρων χειροτονῆσαι, καὶ τοῦτον προϊστάναι συνοδικῶς, παρέχειν τε ἐξουσίαν ὥστε τὰ δόξαντα ἡμῖν ἀποφαίνεσθαι καθ' ὑμῶν εἴπερ ἐνομίζομεν, ὡς ὑμεῖς, ἅπαντα τὰ τῆς ἐκκλησίας ἐξηρτῆσθαι τῷ παπικῷ ὀνόματι. ἀλλ' οὐδέποτε οἱ ἀνατολικοὶ τοιαύτας σκηνὰς καὶ δράματα ἐποίησαν, οὔτε μὴν ποιήσουσι πώποτε. γελοῖα γὰρ ταῦτα, καὶ ἐννοῆσαι παρὰ σωφρονοῦσιν ἀνδράσιν. εἰ γάρ ποτε συνέβη ἐν ταῖς συνόδοις κατά τινα περίστασιν ἀπολειφθεῖναί τινα Πατριάρχην, ἕνα ἢ καὶ πλείους τοποτηρητὰς ἀπέστελλον τὸν ἐκείνων τόπον ἀναπληροῦντας. Πατριάρχας δὲ ἄλλους ἀντ' ἄλλων συνοδικῶς προκαθίζειν, οὔτε ὁ νόμος; οὔτε ἡ συνήθεια βούλεται οὔτε τοῖς ἐν κόσμῳ τοιαῦτά ποτε θεατρίζεται.

Τὸ δὲ λέγειν σε, καὶ ἐπιστολὰς πεμφθῆναι ἐν λουγδούνῳ, παρά τε τοῦ βασιλέως αὐτοῦ καὶ τῶν ἀνατολικῶν, οὐδὲν θαυμαστὸν. ὁ γὰρ βασιλεὺς ὅλως ἐγένετο τοῦ σκοποῦ ταύτης τῆς ἑνώσεως, διὰ τὰς εἰρημένας αἰτίας. διὸ καὶ τοὺς μὲν λόγοις, τοὺς δὲ καὶ βίᾳ τυχὸν ἠνάγκαζε γράφειν, καὶ ἐπιστέλλειν. ἀλλ' οὐδὲν ἴσχυσεν. χλεύη γὰρ ἦν ἅπαντα καὶ ἀπάτη περικεκαλυμμένη, ὡς εἴπομεν. ὅρα μοι καὶ μετὰ τοῦ βιαίου τὸ ἄτακτον. ἐκφωνεῖται πρότερον ἡ προσθήκη, καὶ τὰ τοῦ λατινικοῦ δόγματος ἐν συνελεύσει τρίτῃ. ἐν δὲ τῇ τετάρτῃ ἀναγινώσκονται τῶν ἀνατολικῶν αἱ περὶ τὴν ἕνωσιν ἐπιστολαί. ὥστε προηγεῖσθαι τῆς συνθέσεως τὴν ἀπόφασιν· οὗ τί ἂν ἀτοπώτατον λέγοιτο. προσέθηκας, ὅτι καὶ τρὶς ἐψάλθη ἑλληνιστὶ τοῦ συμβόλου ἡ προσθήκη, καὶ ἐκ τοῦ υἱοῦ, καὶ λίαν γε πιθανὸν. ἑλληνιστὶ μὲν, ὑπὸ λατίνων δέ. ἀλλὰ καὶ τρὶς, ἔστω καὶ δεκάκις. τί συνάγεις. ὅτι ἐλατινοφρόνησαν διὰ τοῦτο ἕλληνες; ὢ τοῦ μωροῦ συμπεράσματος. ὢ σκηνικῆς ἑνώσεως. ἀλλὰ παρῆσαν καὶ πρέσβεις. τί πρὸς τοῦτο; καὶ ἄλλοτε γὰρ παρῆσαν πρεσβευταὶ, καὶ ἐπιστολαὶ πρὸς τὰς συνόδους ἐπέμφθησαν καὶ συνόδους ἰδίας ἐποίουν οἱ ἑτερόδοξοι, ὡς καὶ ἡ πολυπληθὴς ἐπὶ τοῦ κοπρωνύμου γέγονεν, καὶ ἡ λῃστρικὴ ἐν ἐφέσῳ ὑπὸ διοσκόρου, ἀλλ' οὐδέποτε τῆς ἀληθείας τὸ ψεῦδος κατίσχυσεν.

Ἔτι λέγεις ὅτι ὁ αὐτὸς παλαιολόγος Μιχαὴλ, πρὸς Ἰωάννην εἰκοστὸν πρῶτον διεπρεσβεύσατο, ὅτι στέργει δῆθεν πάντα τὰ ἐν λουγδούνῳ γενόμενα. καὶ δεύτερον, ὅτι τὰ διαπραχθέντα ταῦτα τῷ Μιχαὴλ, τοῖς ἐν τῇ ἀνατολῇ μοναχοῖς μὴ ἀρέσκοντα, ταφῆς οὐκ ἠξίωσαν τοῦτον. καὶ ὅτι ταῦτα ἱστορικὸς λατῖνος ἀφηγεῖται σανοῦτος λεγόμενος. ἀλλὰ καὶ ταῦτα, πεπλάσαι.

εἰ δὲ

εἰ δέ σοι βουλητὸν, σὴν χάριν, καὶ τοῦτον ἡμᾶς εἰς μαρτυρίαν παραδέξασθαι,
ὑπὲρ ἡμῶν μᾶλλον ὁ ἀνὴρ εὑρεθήσεται. τὸ γὰρ λέγειν ὅτι ταφῆς οὐκ ἠξιοῦτο ὁ Μι-
χαὴλ, πάλλιστα βούλεται, εἰ μὴ ὅτι ὡς αἱρετικὸν ἡγοῦντο, ὅνπερ τῆς τῶν ὀρθοδόξων κηδεί-
ας ἀπεξένωσαν, ὄναιο τοιγαροῦν ὦ θαυμάσιε τῆς ἐφ᾽ ἧς ἐπερείδῃ σαθρᾶς καὶ εὐδιαλύ-
του ταύτης ἑνώσεως. Πρὸς δὲ τὸ ἀνωτέρω εἰρημένον σοι, ὅτι παρῆσαν τῇ ἐν Λουγδούνῳ
συνόδῳ Πατριάρχαι καὶ ἐπίσκοποι τῆς ἀνατολῆς, εἰπεῖν ἔχομεν, ὅτι οὐδαμοῦ τοῦτο
ἱστορούμενον φαίνεται. παρὰ δὲ τῷ Παχυμέρῃ τοῦτο φέρεται, ὅτι ἀπεστάλησαν πρέ-
σβεις ὁ πρώην Πατριαρχεύσας Γερμανὸς μὴ ὢν τότε Πατριάρχης, καὶ ὁ νικαίας
Θεοφάνης. καὶ τῶν συγκλητικῶν ὁ μέγας λογοθέτης ὁ ἀκροπολίτης ὁ, τηνικαῦτα ἠθή-
μενος τοῦ βεστιαρίου πανάρετος, καὶ ὁ μέγας διερμηνευτὴς βερροιώτης, οἵτινες ἐν δυ-
σὶν ἀναβάντες τριήρεσι, καὶ ἀποπλεύσαντες, σφοδρῷ ναυαγίῳ περιέπεσον. καὶ ἡ μὲν
τοὺς τῆς συγκλήτου ἔχουσα, αὔτανδρος κατεποντίσθη. ἡ δὲ τοὺς τῆς ἐκκλησίας ἄγου-
σα, μόλις καὶ παρ᾽ ἐλπίδα διασωθεῖσα κατήχθη εἰς ῥώμην, καὶ μετ᾽ ὀλίγας ἡμέρας
καταλαβόντες τὸν Πάπαν, τὰ τῆς πρεσβείας ἐπλήρουν. καὶ ὁ μὲν παχυμέρης
ταῦτα. σὺ δὲ τί συνάγεις ἐκ τούτων; ἡμεῖς γὰρ οὐδὲν ἄλλο ἐκ νοοῦμεν, εἰ μὴ ὅτι ὡς πρέ-
σβεις ἀπεστάλησαν, καὶ ὅτι τότε ὁ Γερμανὸς Πατριάρχης οὐκ ἦν, καὶ ὅτι τὰ τῆς πρε-
σβείας ἐπλήρωσαν. τὰ δ᾽ ἦν (ὡς οἶμαι) τὰ διατεθρυλλημένα ταῦτα καὶ περισπού-
δαστα. ἀπονεῖμαι δηλαδὴ τῷ Πάπᾳ πρωτεῖον, ἔκκλητον, καὶ μνημόσυνον· καὶ
ταῦτα οἰκονομικῶς ὡς εἴρηται, διὰ τὸν ἐπικείμενον κίνδυνον. οὐδαμοῦ δὲ οὐδὲν περὶ
συνόδου ἐκεῖ εἴρηται. εἰ δὲ ὑμεῖς τοῦτο τῆς παρ᾽ ἡμῖν ἱστορίας παρενείρατε, ἴσως κατὰ
τὸ ἔθος (ἀγαθῇ τύχῃ) παρ᾽ ὑμῖν. Ὅτι δὲ οἰκονομικῶς, ἢ μᾶλλον εἰπεῖν βίᾳ καὶ
ἀναγκαστικῶς τὰ κατὰ τὸν Μιχαὴλ τότε ἐγένετο, ἄκουε τοῦ αὐτοῦ παχυμέρου, ὧδέ πη
λέγοντος. Ὡς δέ τινες εἰς φόβον κατέφυγον τοῦ μήτι καὶ πλέον προσβιασθῆναι,
ὁ βασιλεὺς αὐτίκα προσκέοσει, καὶ λόγος ἐκτίθεται χρυσοβούλλειος, πλήρης μὲν φρι-
κωδεστάτων ἀρῶν, πλήρης δὲ καὶ ὅρκων παλαμναιοτάτων, ἦ μὴν μὴ ἐκβιάσασθαι
πλέον, μὴ διαπράξασθαι, μὴ παρεγχειρῆσαι. μηδ᾽ εἰς νοῦν βαλεῖν, μέχρι καὶ εἰς
κεραίαν μίαν, καὶ ἰῶτα, τὰ τοῦ συμβόλου παραγαγεῖν, μὴ πλέον τῶν τριῶν κεφα-
λαίων, πρωτείου, ἐκκλήτου, καὶ μνημοσύνου, καὶ ταῦτα ἐπὶ ψιλοῖς ὀνόμασιν οἰ-
κονομίαν ζητεῖν, εἰ δ᾽ οὖν ἐξούληται, καὶ προσούλῃ γενέσθαι, καὶ τὰ φοβερώτερα ὑπο-
σχεῖν. ταῦτα γράψας καὶ ὑπογράψας, πρόσετι δὲ καὶ βούλλῃ χρυσῇ κατασφα-
λισάμενος πέμπει τῇ ἐκκλησίᾳ. Ὁρᾷς ὅτι κατ᾽ οἰκονομίαν ἐγίνετο, καὶ ὅτι προσε-
βιάζοντο; ὅρα δὴ ἀκριβῶς, καὶ τὰς ἐνόρκους τοῦ βασιλέως ὑποσχέσεις, ἀπαρα-
σάλευτον τὸ σύμβολον ὑπισχνουμένου διαφυλάξαι. ἐδεδοίκεισαν γὰρ οἱ συγκατα-
θέμενοι, μή που προσβιασθέντες, καὶ τὴν ἐν τῷ συμβόλῳ προσθήκην ἀπαιτήσονται
βεβαιωθῆναι, διά τοι τοῦτο λοιπὸν, καὶ τοιοῦτον χρυσοβούλλειον λόγον, γράψας ἐπέδω-
κεν αὐτοῖς ὁ βασιλεὺς. ποῦ τοίνυν πρὸς θεοῦ ἀληθείας ἔχεται, ὅτι τὸ ἀναγνωσθέν
τι λόγον μετὰ τῆς προσθήκης συνευδοκοῦντος ὁ βασιλεὺς, γράψας καὶ πέμψας μετὰ τῶν
ἀνατολικῶν, ἀπεδέξατό τε, καὶ ἐβεβαίωσεν· ὅπου ἐγγράφως μετὰ χρυσοβούλλου
ἀρᾶς ἑαυτὸν καθυπέβαλε, μὴ παρασαλεῦσαι ὅλως τὸ ἅγιον σύμβολον. μή μοι τὴν
νῦν παράγαγε μάρτυρας ἐκ τῶν σῶν, μαρτυροῦντας τὰ σὰ, ὅτι καὶ ἡμεῖς τοῦ πα-
χυμέρου οὐκ ἄλλοτε εἰς μνήμην ἤλθομεν, εἰ μὴ σὺ αὐτὸς ὡς φιλοῖστωρ τοῦτον εἰς μέ-
σον παρήγαγες. εἰ δ᾽ ἦν παρ᾽ ἡμῖν, καὶ τοῦ Γρηγορᾶ ἡ ἱστορία, εἴχομεν ἂν κἀκ ἐκείνου δι-

Περὶ τῶν ἀποσταλέντων πρέσβεων πρὸς πάπαν παρὰ μιχαὴλ τοῦ παλαιολόγου.

ἀλήθειαν ὅτι ἀναγνωσθὲν πολλάκις παρ' ἡμῶν τὸ βιβλίον ἐκεῖνο, οὐδὲν τοιοῦτον
ὃ σὺ φῂς εὑρομεν. Ἐνετύχομεν μὲν ταύτῃ τῇ τοῦ γεωργίου ἱστορικῇ βίβλῳ, ὃς περὶ
τῶν παχυμέρους τὰ κατὰ τὸν αὐτοκράτορα μιχαὴλ ἑρμηνευσάμενος, σύντομόν τινα
ἱστορίαν ἐκτέθεικεν ἐν τῷ: ε, τῆς αὐτοῦ ἱστορίας κεφ: α: καὶ β: ἀλλ' οὐδὲν τούτων εἰον
σὺ φῂς ἐν αὐτοῖς φέρεται, ὅτι δηλαδὴ πάντες ὑπακοὴν τῷ Πάπα ὑπεσχέθησαν,   5
μᾶλλον δὲ τοὐναντίον ἅπαν φησὶ πρὸς τὸ τέλος τοῦ: β: κεφ: ἐν τῷ αὐτῷ: ε: βι-
βλίῳ. λέγει γὰρ ὅτι μετὰ τὸν φυλακισμὸν καὶ τὰς αἰκίας ὁ βέκκος Ἰωάννης τῇ τοῦ βα-
σιλέως γνώμῃ καθυπαχθεὶς, ὁπωσδήποτε συλλήπτωρ ἦν τοῦ λατινικοῦ δόγματος.
εἶχε τὸν μελιτηνιώτην, καὶ τὸν μετοχίτην, ἀλλὰ καὶ οὕτοι ἐκ μέρους τοῦ βασιλέως
ἀρχιδιάκονοι γὰρ ἦσαν τοῦ Βασιλικοῦ κλήρου, ἔτι δὲ καὶ Γεώργιον τὸν κύπριον· εἶ-   10
τα ἐχομένως φησὶ, συνελλειτουργήκει μὲν οὖν τῶν πάντων οὐδεὶς τοῖς τοῦ Πάπα,
οὔθ' ὁ Πατριάρχης αὐτὸς, οὔτε τῶν ἄλλων οὐδεὶς. ὅτι μὴ τὸ ἐνδόσιμον εἰληφότες
τῶν φραρίων τινὲς ἐλειτούργησαν ἅπαξ ἐν τῷ ναῷ τῶν βλαχερνῶν, διὰ χειρο-
τονίαν τῶν οἰκείων. σὺ δ' ὦ φιλοτέχνε μέτιθι καλῶς τὴν ἱστορίαν, καὶ γνώσῃ σαυτὸν
κἀνταῦθα ψευδόμενον. Ἵνα δὲ σαφέστερον γνοίης ἐκ τοῦ τοῦ παχυμέρους, ὅτι βίαια ἦν   15
τὰ τότε γινόμενα ἄκουε, διηγούμενος γὰρ τὰ παρὰ τοῦ βασιλέως ἐπελθόντα δεινὰ τοῖς
ὁλοβόλως γῆ ὑπὸ, μὴ βουλομένοις συνθέσθαι τῇ μετὰ λατίνων ἑνώσει, ἐπὶ λέξεως
τοιάδε φησί. Συνάπτομεν δὲ τοῖς δεινοῖς τὰ δεινὰ, εἰς τὴν τῆς τότε βίας παράστα-
σιν, αἲ, αἲ, ὅτι καὶ τοσαῦτα παθόντες, τοῖς ὕστερον ἐλθοῦσι μηδὲν φανεῖσι, μὴ λέ-
ξασι, μὴ παθοῦσι, μόνον δ' ἀφανείᾳ κρυβεῖσι, τοῦ μηδεμιᾶς ἀξιοῦσθαι φροντίδος   20
χάριν, ἀπηνῶς ἐκρινόμεθα. Ὅρα τὴν ἕνωσιν τοῦ παλαιολόγου Μιχαὴλ, ὁποί-
αν ἔσχε τὴν ἀρχὴν, καὶ ποῖ τέλους κατήντησε. Κάρολος ἐλύπει κατὰ βασιλέως, ὃ
δὲ καὶ λίαν ἐδεδοίκει, καὶ ὑπότρομος ἦν, καὶ τοῖς ὅλοις ἀμηχανῶν, νεοπαγοῦς ἔτι
οὔσης τῆς βασιλείας, ἐζήτει πόρον ἐν ἀπόροις· καὶ δὴ πρὸς τὴν τοῦ Πάπα καταφεύ-
γει βοήθειαν, χάριν δὲ τῆς παρ' ἐκείνου βοηθείας τὴν ἕνωσιν ὑπισχνεῖται διαπρά-   25
ξασθαι. Οὐδεὶς τοίνυν εὖ φρονῶν τὸ ὑπὸ φόβου γινόμενον ἅπαν, καὶ μετὰ βίας,
καὶ δεσμῶν, καὶ αἰκισμῶν, καὶ ὁρμῆς βασιλικῆς, καὶ δημεύσεων, καὶ ἐξοριῶν πρατ-
τόμενον, ἐκ προαιρέσεως εἴποι τῆς ἐκκλησίας ἂν εἶναι. ὅθεν ἐκ τοιούτων ἀρα-
χνείων νημάτων συρραφεῖσα ἐκείνη ἡ ἕνωσις, ὅτι τάχιστα διελύθη. Ταὐτός τις
ἐστὶ καὶ ὁ Φλωρεντινὸς, ὃν ἡμῖν ἀνατείνεις σύλλογος, ὡς ἐκ τοιούτων ἀρχῶν ἠργμέ-   30
νος, διὸ καὶ δείκνυται διὰ πολλῶν, μὴ θέμις εἶναι σύνοδον ἐκεῖνον ἀποκαλεῖν, εἴτε
ἐπεξεργαστικώτεροι βουλητὸν διελθεῖν ἕκαστα τὰ ἐκεῖσε πραχθέντα τε, καὶ λα-
ληθέντα, τὰ χρήματα δηλαδὴ, τὴν ἀνάγκην, τῶν πραγμάτων τὴν ἀνωμαλί-
αν, τὴν βίαν, τὸν μακρὸν ἐκτοπισμὸν τῶν ἡμετέρων, καὶ τὸν χαλεπὸν περιορι-
σμὸν ἐν ὑπερορίοις τόποις, καὶ ὑπὸ χεῖρα τοῦ Πάπα, ταῦτα πάντα μὲν εὕρηται   35
ἐν τοῖς λεγομένοις πρακτικοῖς τοῖς τυπωθεῖσιν ἐν ῥώμῃ (ὃ καὶ παρ' εἶμι) δῆλα
πᾶσιν ἐν ταῖς βουλομένοις ἀνερευνᾷν. Ἔρχομαι δὲ λέξων ὀλίγα τινὰ ἐξ ὧν ἱ-
στορεῖ κατ' ἀκρίβειαν, ὁ περὶ ὀλίγου διαληφθεὶς Σίλβεστρος ὁ συρόπουλος, ὁ
μέγας ἐκκλησιάρχης. εἴλκετο γὰρ καὶ οὗτος μετὰ τῶν ἄλλων, καὶ παρῆν τῇ συνα-
θροίσει ἐκείνῃ, αὐτήκοός τε καὶ θεατὴς γενόμενος πάντων τῶν τότε λεχθέντων τε,   40
καὶ πραχθέντων, ὅθεν καὶ σκοπὸν ἔθετο, ἅπαντα ἱστορῆσαι, καὶ διεξελθεῖν τὰ
περιστατικὰ τῶν τότε πραγμάτων δίχα τῶν ἐν ταῖς συνελεύσεσι δια-
λέξεων.

Περὶ τοῦ Φλωρεντινοῦ συναθροίσματος ὅτι βίαια ταῦτα τότε ἦν.

λέξιων. τοῦτο γὰρ τοῖς νοταρίοις διώρισε. ἤρξατο δὲ οὗτος ἀπ' αὐτῆς τῆς ἐκδημίας τῆς ἀπὸ Κωνσταντινουπόλεως τῶν ἡμετέρων, ἄχρι καὶ τῆς ἐπανόδου αὐτῶν εἰς αὐτήν.

Ἔστι δὲ τὸ βιβλίον τέως τῷ τύπῳ ἀνέκδοτον, παρὰ πολλοῖς μέντοι τῶν ἡμετέρων πολλὰ τυγχάνει ὄντα ἀντίγραφα, οἷσπερ λατῖνος ἀνὴρ ἐντυχὼν, ἐντραπήσεται (εὖ οἶδα) τὸ φλωρεντινὸν ἐκεῖνο συνάθροισμα σύνοδον οἰκουμενικὴν ἀποκαλέσαι. πῶς γὰρ δίκαιον οὕτως σύνοδον ἀποκαλεῖν τὸ συνάθροισμα ἐκεῖνο, ὅπερ γε οὐ δὲ κατὰ σύνοδον τὴν ἀρχὴν ἔσχηκεν, οὐ δὲ κατεσχεδιάζετο τέλους, τοῦ κατὰ θεὸν, ἀλλ' ὑπὸ περιστάσματι τῶν ἐκκλησιαστικῶν δῆθεν πραγμάτων, ὁ βασιλεὺς ἐβιάζετο τὰ τῆς βασιλείας ὑπερείδειν, εἰς τὸ ἀσθενέστατον ἤδη ὑποκλίνοντα. ἀλλὰ καὶ τὸ τῶν λατίνων φῦλον ἐξ αὐτῆς τῆς ἀρχῆς τῶν πραγμάτων, καθ' ἑαυτὸ ἐστασίαζεν.

Συρόπυλος ἱστορία

Ἐν γὰρ τοῖς καιροῖς ἐκείνοις, καὶ μικρῷ πρόσθεν, οἱ δυτικοὶ ἅπαντες ἐν Κωνσταντίᾳ τῆς Γερμανίας συνεληλύθεισαν, κατὰ τὸ χιλιοστὸν τετρακοσιοστὸν δέκατον τέταρτον ἔτος. καὶ τὸ ἀξίωμα τῆς Κωνσταντιανῆς συνόδου, πάσης ἄλλης ἀρχῆς, καὶ αὐτοῦ τοῦ Πάπα ὑπερετίθεσαν, καὶ τοῦτο δόγμα πίστεως γράψαντες, ἀπεφήναντο. καὶ συνόδους εἰς τὸ ἑξῆς γίνεσθαι γενικὰς κατὰ δεκαετίαν διηνεκῶς διετάξαντο καὶ τὰ ἐκ κανόνος εἰς ἔργον προὔβαινεν· ἔκρινε γὰρ ἡ σύνοδος αὐτὴ Πάπας τρεῖς κατὰ τὸ αὐτὸ προεδρεύοντας, Γρηγόριον δωδέκατον, Ἰωάννην εἰκοστὸν τρίτον, οἳ καὶ παραιτήσασθαι καταναγκασθέντες, τοῦ τῆς ῥώμης θρόνου ὑπεξέστησαν. μετὰ τούτων δὲ, καὶ Βενέδικτον ἐνδέκατον, ὃν καὶ τελείως καθελόντες, μὴ πειθόμενον συνθέσθαι τῇ συνόδῳ ταύτῃ, Μαρτῖνον πέμπτον ἀντικατέστησαν. τοιαύτην τοιγαροῦν ἐξουσίαν περιβεβλημένη ἡ ἐν Κωνσταντίᾳ σύνοδος, ἐμεγαλύνετο ἐν τοῖς κατὰ δύσιν ἐκκλησιαστικοῖς πράγμασι. ἣ καὶ μεθ' αὐτὴν ἑτέραν εἰς Λαυσάννην, αὕτη δ' ἄλλην ἐν Βασιλείᾳ τῇ παρὰ Ῥῆνον ποταμὸν προανεκήρυξεν. ἔτους σωτηρίου ͵αυλα, ἀπήρξατο, καὶ τεσσαρακοστῷ δευτέρῳ κατέληξε. περὶ δὲ τὸ τριακοστὸν ἕκτον, διαδοθείσης καὶ εἰς τοὺς ἀνατολικοὺς τῆς φήμης τοιαύτης συνόδου (διὰ τὰ συμβάντα μάλιστα σκάνδαλα μεταξὺ ταύτης καὶ τοῦ Πάπα Εὐγενίου, αὐθεντεῖν ἐθέλοντος, καὶ μὴ ὑποκεῖσθαι συνόδοις, ἀλλ' ὕστερον καὶ ἄκοντος ὑποταγέντος, δι' οἰκείων γραμμάτων τὴν μετάνοιαν ἐπιδείξαντος) μαθὼν ὁ βασιλεὺς ῥωμαίων, Ἰωάννης ὁ παλαιολόγος τὴν τῆς συνόδου δύναμιν, καὶ τὴν παρὰ τῶν δυτικῶν συμμαχίαν πραγματευόμενος, πρὸς Γερμανίαν ἀπέστειλε πρέσβεις, ἵν' ἐκεῖσε μετὰ τῶν οἰκείων παραγινόμενος τὰς μεταξὺ τῶν ἀνατολικῶν καὶ δυτικῶν διαφορὰς συνοδικῶς ἐξετάσωσιν. Ἀπεδέξαντο μὲν οὗτοι τὴν πρεσβείαν, ἀντεπέστειλαν δὲ, καὶ πρέσβεις ἐκεῖθεν εἰς κωνσταντινούπολιν, μετὰ τοῦ τοῦ βασιλέως ἄνδρες θαυμάσιοί τε καὶ λόγιοι, ἐξ ὧν εἷς ἦν καὶ ὁ Φρὰ Ἰωάννης, ἀνὴρ ἄγαν συνετὸς, καὶ δεξιώτατος, μαθὼν δὲ ὁ Πάπας Εὐγένιος, καὶ δεινὸν ἑαυτῷ ἡγησάμενος τὸ πρᾶγμα, καὶ τῇ τοῦ θρόνου φιλαρχίᾳ λίαν ἐπικίνδυνον, εἰ τῇ κατ' αὐτοῦ συνόδῳ προστεθεῖεν οἱ ἀνατολικοὶ, βίᾳ διενοήθη τὴν σύνοδον

Συνόδου περὶ τῆς ἐν κωνσταντίᾳ τῆς γερμανίας. καὶ ὅτι καὶ τοὺς πάπας αὐτὴ ἔκρινεν.

Πάπαι κριθέντες ὑπὸ τῆς κωνσταντιανῆς συνόδου.

Ὅτι ἰωάννης ὁ παλαιολόγος πρὸς γερμανίαν ἀφικέσθαι ἠβούλετο, καὶ ποιῆσαι ἐκεῖ τὴν σύνοδον.

Ὁ πάπας εὐγένιος ὅπως βίᾳ τὴν σύνοδον τὴν ἀνατολι-

δον

κὴν ἀπὸ κωνσταν-
τίας πρὸς ἑαυτὸν
εἵλκυσεν.

δον εἰς Ἰταλίαν ἑλκῦσαι, καὶ μεταγαγεῖν ἀπὸ τῆς Βασιλείας. ὃ καὶ πρό-
τερον διεμηχανᾶτο, καὶ τετέλεκεν ὕστερον. εὐθὺς γὰρ τριήρεις, ὡς πρὸς
πόλεμον ὁπλίσας, ἐκπέμπει κατὰ τῶν ἀπὸ Βασιλείας τριήρεων τε, καὶ
τῶν πρέσβεων, ἐν αἷς ἦν τριηράρχης ὁ τοῦ Πάπα ἀνεψιὸς ὁ Κονδουλμέριος,
δύο ταῦτα τούτοις ἐπισκήψας. τὸ μὲν καταδιώκειν τὰς ἀπὸ Βασιλείας τρι-
ήρεις, καὶ ὅπου ἂν εὕρωσι καταδύειν αὐτάς (τοιοῦτος γὰρ ἦν ὁ Εὐγένιος ἀρ-
χιερεὺς, πολέμων οὐκ εἰρήνης φροντίζων) τὸ δὲ ἵν' ἐς Κωνσταντινούπολιν
ἀποπλεύσαντες πρός τε τὸν Βασιλέα, καὶ τὴν ἐκεῖσε σύνοδον παντοίοις
τρόποις, μετάγειν αὐτοὺς πειραθῶσιν εἰς Ἰταλίαν. διανύσαντες τοιγαροῦν
τὸν πλοῦν, καὶ οὐδαμοῦ ταῖς ἀπὸ τῆς Βασιλείας τριήρεσιν ἐντυχόντες κα-
τῆραν εἰς Κωνσταντινούπολιν δύο ταῦτα ψευδῆ ἐπιφημίσαντες· ἓν μὲν ὅτι ὁ
Πάπας διηλλάγη καὶ ἡνώθη τῇ συνόδῳ, καὶ ὅτι ἡ ἐν Γερμανίᾳ σύνοδος
διελύθη, καὶ οὐδὲν ἔτι περὶ τῆς μελετωμένης φροντίζει συνόδου. ἀλλ' οὐ
πολὺ τὸ ἐν μέσῳ, καὶ διηλέγχθησαν ψευδόμενοι ἠκούσθησαν γὰρ ἐν Χίῳ αἱ
ἀπὸ τῆς συνόδου τριήρεις ἐρχόμεναι. εἰσελθοῦσαι δὲ καὶ τὴν Κωνσταντινού-
πολιν, ἐν τοῖς Ὑψωμαθαίοις βασιλικῇ κελεύσει ἐλλιμενίσθησαν, καὶ εὐθὺς
οἱ μετὰ τῆς συνόδου τὸν Πάπαν διαλλαγῆναι προκηρύξαντες, πολεμεῖν ἐπεχεί-
ρουν, καὶ εἰ μὴ τάχος παρὰ τοῦ Βασιλέως διεκωλύθησαν, κατέδυσαν ἂν
αὐτάς, λέγοντες πρὸς τὸν Βασιλέα, ὅτι τοιαύτην ἐντολὴν λαβόντες ἔχο-
μεν παρὰ τοῦ Πάπα, ἵν' ὅπου ἂν αὐτὰς καταλάβωμεν, πολέμῳ καταποντί-
σωμεν. τότε ὁ φρὰ Ἰωάννης, ὁ μετὰ τῶν ἄλλων ἀπὸ Βασιλείας πρέσβε-
ων, συνετός τις ἀνὴρ καὶ δεξιὸς ἄγαν ὡς εἰρήκαμεν, συνεβούλευε τῷ Βασι-
λεῖ τοιαῦτα λέγων, εἴ μοι συμβούλῳ χρήσασθαι βούλῃ ὦ Βασιλεῦ, τὰ βέλ-
τιστα εἰσηγουμένῳ σοι, οἴκοι σε μένειν παραινῶ. ὁρᾷς γὰρ ἡμᾶς ἀπ' ἐντεῦθεν
ἀσυμφώνους, καὶ διαμαχομένους. τί οὖν χρηστὸν ἐλπίσειας γενόμενος ἐν
Ἰταλίᾳ; ἀλλ' ὅπερ ἦν γενέσθαι πεπρωμένον, ἵν' εἴπω ἑλληνικώτερον, οὐκ
ἦν μὴ γενέσθαι, θεοῦ παραχωροῦντος, ἐκ τῶν ἡμετέρων ἁμαρτιῶν. αἱ μὲν
δὴ ἀπὸ τῆς Βασιλείας τριήρεις ἄπρακτοι ὑποστρέψασαι, τὰ πραχθέντα τοῖς
πέμψασιν ἀνήγγειλαν. οὗτοι δὲ τῇ προῤῥηθείσῃ ἐξουσίᾳ τῆς αὐτῶν συνόδου
χρησάμενοι, τὸν Πάπαν Εὐγένιον καὶ αὖθις ἀποστάντα, καὶ ἐπὶ πολλοῖς ἁμαρτή-
μασιν ἐγκαλούμενον, καὶ ἀπαντῆσαι εἰς ἀπολογίαν μὴ θέλοντα, τῇ τῶν ῥω-
μαίων θαῤῥοῦντα παῤῥησίᾳ καὶ συμφωνίᾳ, εἰς ἑτέραν παρ' ἑαυτοῖς σύνο-
δον ἀργίᾳ συνοδικῇ καθυπέβαλον. καὶ τὸ Φλωρεντινὸν μετ' αὐτοῦ συνά-
θροισμα, σχισματικὴν σύνοδον ἔλεγον, ὡς τῆς γνησίας τῆς ἑαυτῶν συνό-
δου πρὸς τὴν αἱ πρεσβεῖαι καὶ αἱ συμφωνίαι ἀποσχιζομένην, καὶ ἦν ὁ Πάπας Εὐ-
γένιος, ὁ ἀπὸ τῆς ὑψηλῆς τότε καθέδρας χρησματοδοτῶν, ἀργὸς γενόμενος
ὑπὸ τῆς οἰκείας ἐν Βασιλείᾳ συνόδου, εἰδότων μὲν ἴσως τοῦτο καὶ τῶν ἡμετέ-
ρων, καὶ λατίνων ἁπάντων, σιωπώντων δὲ ἐλπίδι τινὸς ἀποκαταστάσεως τῶν πρα-
γμάτων, εἰ καὶ τῆς ἐλπίδος ταύτης ἐψεύσθησαν.

Πῶς οὖν ὦ χρηστὲ μαΐστωρ σύνοδον οἰκουμενικὴν ἀποκαλεῖς, ἧς ἡ κεφα-
λὴ (ὡς ἂν σὺ φαίης) ἦν καθηργημένη καὶ ἀνενέργητος. πῶς οὖν καὶ λέ-
γεις,

γεις, ὅτι τῆς συνόδου ἐκείνης καὶ τῆς ἑνώσεως ἡμεῖς ἀπεχόμεθα. ὅπως γε
κατὰ τὸ ἀληθές, οὔτε σύνοδος δικαίως ἂν ῥηθείη, ἣν καὶ σχισματικὴν εὐ-
θὺς οἱ ἀπὸ Βασιλείας ἔκρινόν τε καὶ ἀπεκήρυττον διὰ τὸ καλὸν Πάπαν Εὐ-
γένιον τοιαῦτα διανοηθέντα καὶ διαπραξάμενον, ὥστε καὶ καθεῖλον αὐτὸν
5 παντελῶς, ἕτερόν τε Πάπαν ἀντεκατέστησαν Φήλικα πέμπτον; ἢ πῶς αὕτη
σύνοδος, ὅπου κατὰ τὸν Σίλβεστρον, ἀπειπόντα τὰ μέρη πρὸς τὰς συνε-
λεύσεις καὶ τὰς διαλέξεις ὁμοῦ πάσας διὰ τὰς ἐξόδους, ἃς παρεῖχεν οἱ δ'
ἡμέτεροι διὰ τοῦ καιροῦ τὴν πλημμέλειαν, καὶ τό τε ἀπράκτοις μὲν ἐκεῖθεν
ἐπανέρχεσθαι πρὸς τὰ ἴδια οὐκ ἐξῆν, δι' ἀπορίαν δαπάνης, τοῦ Πάπα μὴ
10 διδόντος ἔτι, διὸ καὶ τὴν ἔρευναν τὴν περὶ τοῦ δόγματος καταλιπόντες,
ἄλλως πως πολιτικώτερον τὴν ἕνωσιν διεπραγματεύοντο. διὸ καὶ δίχῃ διαι-
ρεθέντες οἱ ἀνατολικοί, οἱ μὲν ὑποκλαπέντες δώροις καὶ ὑποσχέσεσιν, οἱ δὲ
γενναίως καὶ εὐσεβῶς ἀντιποιούμενοι τῶν πατρῴων δογμάτων, τέλος ἑκόν-
τες ἄκοντες, τῇ τοῦ καιροῦ δυναστείᾳ φερόμενοι, ἐνέδωκαν ὅσον οὔπω λα-
15 τίνοις. ὅπως δὲ συνηρπάγησαν οἱ πρότερον ἀνθιστάμενοι, οὐκ ὀκνήσω λέγειν
παρὰ τοῦ ἄνωθεν Σιλβέστρου λαβών. ἀπειρηκότες περὶ τὰς διαλέξεις ὡς μη-
δὲν ἀμφοτέρωθεν συμπερανθῆναι δυνάμενοι, διὰ βουλευτηρίων ἰδίᾳ γινομένων
τὴν συμφωνίαν ἐμεθοδεύοντο. τὸ δὲ ἰδίᾳ οὐκ ἦν ἐπιβουλὴ τῶν ἀρίστων, οὐ
περὶ ἦν οὕτω πάντας ὑποκλαπῆναι περιφανῶς. ἀλλ' ὁ Βασιλεύς, καὶ ὁ Πα-
20 τριάρχης μετὰ τοῦ Πάπα, ἢ τῶν κρατούντων τριὰς ἀλλήλοις συνδιεσκέπτοντο
καὶ συνεφώνουν, ἀσχαλλόντων τῶν λοιπῶν, καὶ ἀνιωμένων ὑπ' ἀμηχανίας,
καὶ μὴ ἐχόντων, ὅ, τι ἂν καὶ ποιοῖεν ἢ διαπράξαιεν· ἄλλως γε ἀπεμπποληθέν-
τες, καθήμενοί τε ἀργοί. καί ποτε ἐπανελθόντες ἀπὸ τοῦ Πάπα, τοῦ Πα-
τριάρχου, καὶ τοῦ Βασιλέως κἀκ τῶν ἀρχιερέων συνδραμόντες τινὲς καὶ
25 παρακαθεσθέντες ἠρώτων μαθεῖν, τί ἐποίησαν. ὁ δὲ Πατριάρχης πρὸς
αὐτοὺς οὐδὲν ἄλλο ἔλεγεν, εἰμὴ ὅτι ἐποιήσαμεν καλῶς. ἐπανερόμενοι δὲ
αὖθις μαθεῖν, ὁποῖον ἐστὶ τὸ καλὸν ἐκεῖνο. καλῶς ἐποιήσαμεν πάλιν ἤ-
κουον. ἐπικειμένων δὲ, καὶ συνεχέστερον διαπυνθανομένων τὸ καλὸν ἐκεῖνο
μαθεῖν, ὥσπερ δυσφορήσας ὁ Πατριάρχης, ἐμβριθέστερον ἀπεκρίνατο,
30 ἄνθρωποι θεὸν οὐ δεδοίκατε; γῆρας οὐκ αἰδεῖσθε; τί ἐνοχλεῖτέ με ἀσθενῆ
μάλιστα ὄντα; οὐκ ἀρκεῖ ὑμῖν τοῦτο, ὅτι ὁ Πατριάρχης λέγει καλῶς ἐποι-
ήσαμεν; καὶ οὕτως ἀπῆλθεν εἰς τὰ ἴδια ἕκαστος, μηδὲν ἄλλο ἀκούσαν-
τες. ὅτι δὲ ὁ τρόπος τῆς ἑνώσεως εὑρέθη, καὶ ὡς λίαν καταγέλαστος,
καὶ ἱεροῖσι πάντως ἀπεοικώς, μή τοι γε οἰκουμενικῇ συνόδῳ, ἔξεστι τῷ βουλο-
35 μένῳ παντὶ καταμανθάνειν ἐκ τῆς ἱστορίας ἐκείνης· κἀκ τῆς ἐν Φλωρεντίᾳ
δὲ φανερά πως ἡ πραγματεία· τίς ἂν ἔμελλεν ἡ δόσις εἶναι; τίς ἡ λῆψις· τίς
ἡ συμμαχία. εἰς πόσα τῷ Πάπᾳ συγκαταβαίνειν; ποίοις ὑποκλῖναι
δόγμασι; καὶ ὅσα τοιαῦτα. εἰ δὲ κατὰ κανόνας εἶεν τὰ στεργόμενα καὶ γρα-
φὰς, καὶ πατέρας, οὐδεμία ἀντεξέτασις· ὅθεν ἔστιν εἰπεῖν ἐπάναγ-
40 κες μόνον, ὅτι παρασημειοῦται οὗτος, θεομηνίας τινὰς γινομένας, καὶ
τρανῶς δεικνυούσας, μὴ κατὰ θείαν βούλησιν γίνεσθαι τότε τὰ πράγματα. ὅτε

περὶ

Θεοσημεῖαι δεικνύουσι μὴ κατὰ θείαν βούλησιν εἶναι τὰ κατὰ τὴν Φλωρεντίαν.

ἦλθον αἱ τριήρεις τοῦ Πάπα εἰς Κωνσταντινούπολιν, καὶ ἡ καπιτανικὴ τριή-
ρης τοῦ κουντλουμέρα εἰς τὸν βασιλικὸν ἔστη ναύσταθμον καὶ τὸ πρυμνήσιον ἐ-
χάλασεν, εὐθὺς φησὶ σεισμὸς μέγας ἐγένετο. καὶ ὅτε πάλιν ἐπέβαινεν ὁ
βασιλεὺς τῆς ἰδίας τριήρεως, βρασμὸς μέγας ἐγένετο. τοῦτο δευτέραν θε-
ομηνίαν ἐσημειώσαντο. ἄραντες δ' ἀπὸ Κωνσταντινουπόλεως, διερχόμενοι τὴν
Καλλιούπολιν, καὶ φιλοτιμησάμενος ὁ βασιλεὺς πρὸ τῶν ἄλλων πρῶτος πλη-
σιάσαι τῇ χώρᾳ, ἀντεφιλοτιμήσαντο τοῦτον οἱ τῆς Καλλιουπόλεως συχνοῖς
βέλεσι, καὶ τῇ δι' ἀμυντηρίου ὀργάνου λιθοβολίᾳ. ὅθεν παρελθὼν, εἰς
τὴν Μάδυτον ἔφθασε. μετὰ γοῦν τὸ στῆναι τὴν τριήρη τοῦ βασιλέως ἐν τῇ Μα-
δύτῳ, ὀλίγης διελθούσης τῆς ὥρας σεισμὸς αὖθις μέγας τρίτος ἐγένετο ὡς
καὶ ἐν τῇ τριήρει ἀριδήλως γνωρισθῆναι τὸν κλόνον. ὃ καὶ ὡς τρίτην θεομηνί-
αν ἐδέξαντο. ὅτε δὲ ὁ βασιλεὺς κατὰ τὴν Φλωρεντίαν ἐδημηγόρησε περὶ τῆς
ἑνώσεως, κύων εἷς τῶν θηρατικῶν, ἐξ ἔθους ἑπόμενος τῷ βασιλεῖ, ἐκάθευ-
δεν ἐπὶ τοῦ χρυσοπάστου προσκεφαλαίου, τοῦ ἔμπροσθεν τοῦ βασιλικοῦ τεθειμένου
θρόνου, καὶ ὑποποδίου χρείαν παρέχοντος καθημένῳ. ἐκάθευδεν οὖν καὶ
τότε ὁ κύων ἐν τῷ προσκεφαλαίῳ σιωπῶν, ὡς καὶ ἄλλοτε. ἀρξαμένου δὲ τοῦ
βασιλέως δημηγορεῖν, ἤρξατο καὶ ὁ κύων εὐθὺς ὑποκλαυθμηρίζειν. καὶ πο-
λλῶν ἐπιχειρησάντων ἐμποδίσαι, καὶ κατασιγάσαι αὐτὸν, καὶ μάλιστα τῶν
κεφαλάδων τοῦ παλατίου, καὶ φωναῖς καὶ ῥάβδοις ἐκφοβούντων, οὐδ' ὅλως
ἐσιώπησεν, ἀλλ' ἀδιακόπως τὸ κυνεῖον ἐτραγῴδει μέλος, λιγυρόν τι ἐπι-
θρηνῶν, καὶ τὸ παράδοξον συνῇδέ τε τοῖς βασιλικοῖς προσφωνήμασι, καὶ τὴν
ἰσότητα τῆς φωνῆς ὑπανέχειν ἐδόκει τῷ λέγοντι, καὶ διὰ κυνείας οἱονεὶ
μουσικῆς τὸν ῥυθμὸν συνιστᾶν, καὶ ὥσπερ οἱ τῶν ἀοιδῶν μαθηταὶ διὰ παιδο-
φωνιῶν ἐμμελῶν τε ἀπηχημάτων τὰς τῶν διδασκάλων αὐτῶν καλλιφω-
νίας λαμπρύνουσιν, οὕτω καὶ ὁ κύων ὑποφωνῶν γοερῶς ὑλάκτει, καὶ κυνι-
κῶς ἐτραγῴδει καὶ συνεφώνει τῷ λέγοντι, ὅλως ἀπαίσιόν τι τερατευόμενός
τε καὶ προμαντεύων. καὶ ὕστερον ἐπαύσατο, ἕως αὖ ἐσιώπησε καὶ ὁ ἀποφ-
θεγγόμενος. ἐσημειώσαντο οὖν καὶ τοῦτο τινὲς ὡς ἀποτρόπαιον οἰωνόν. πρὸς
δὲ τῷ τέλει τοῦ βιβλίου παρασημειοῦται ὁ συγγραφεὺς συμφοράς τινας με-
γίστας διὰ θεομηνίας, καὶ αὐτὰς ἐπελθούσας τῷ βασιλεῖ. ὅτε δὲ ἱστορεῖ τὰ
ἐν ταῖς ὑπογραφαῖς τοῦ ὅρου, τοιάδε φησὶν ἐπὶ λέξεως. ὑπέγραψεν, ὅδε
καὶ ὅδε, μεθ' οὓς καὶ ἡμεῖς οἱ δείλαιοι, ἐθελοακουσίως. οἴ μοι, ὡς οἶδας Χριστὲ
βασιλεῦ, σιτηρέσιον μηδὲν ἐλείπετο ἡμῖν τότε, μηνῶν πέντε. μαρτύρομαι
δὲ τὸν ἐπὶ πάντων θεὸν, ὅτι οὐδὲ μνήμη τούτου ἐγένετο παρά τινος τότε οὐδ'
ἠτυχοῦσα ἀπαίτησις παρά τινος τῶν ἡμετέρων, ἢ ὑπόσχεσις παρὰ τῶν λατί-
νων. ἀλλ' εἰ καὶ πάντες τῇ ἐνδείᾳ συνειχόμεθα, ὅμως ἐν μυχοῖς καρδίας
στένοντες, καὶ δακρύοντες οἱ πλείους ὑπεγράφομεν. οἶδε ταῦτα ὁ ἐτάζων
καρδίας, καὶ νεφροὺς, ὃς καὶ τὴν ἀξίαν ἀποδώσει δίκην τοῖς διαβάλλουσι τοὺς
ὑπογράψαντες, ὡς ἐπὶ ἀπαιτήσει καὶ δόσει φλωρίων ὑπέγραψαν.

Τοσαῦτα μὲν οὖν περὶ τοῦ Φλωρεντινοῦ συλλόγου ἐκείνου σοῦ ἀναγκάζοντος εἴπο-
μεν. καὶ ταῦτα λίαν συντόμως, τὰ λοιπὰ καταλιπόντες τῆς ἀνατρο-
πῆς.

πῆς, εἰς ὃν αὐτὸς ἀφωσίωσας τόπον ὀγδόου τμήματος. ὅτι πλείω νῦν λέγειν ἀπείργεις. ὥσπερ γάρ τις ἔνοπλος ἡμῖν αὐτὸς ἐπιστὰς στρατιώτης σοβαρευόμενος ἀποφθέγγῃ, καιρὸν ἐφεστηκέναι λέγων τοῦ ἠχῆσαι τὰς σάλπιγγας, κρούσαντε τὰ τύμπανα, καὶ πᾶν ἄλλο εἶδος ἑτέρου ὀργάνου πολεμικοῦ πρὸς παράταξιν. καὶ θαυμαστὸν οὐδέν. οὕτω γὰρ καὶ Ὅμηρος τοὺς ἥρωας εἰς πόλεμον ἐξάγει. τρῶες μὲν λέγων κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς. ἡμεῖς δὲ κοσμίως τε καὶ ἑλληνικῶς πρὸς ὑμᾶς ἀπαντήσωμεν ἐρχόμενοι σιγῇ, ἐν θυμῷ μεμαῶτες, ἀλεξέμεν ἀλλήλοις αὐτοῖς καὶ τῇ ἀληθείᾳ.

ΘΕ΄ΣΙΣ Ε΄

Ἡ λατινικὴ ἐκκλησία μετὰ τὸν χωρισμὸν τῆς ἀνατολικῆς ἀπ' αὐτῆς, ἐστὶν ἀληθὴς τοῦ θεοῦ ἐκκλησία.

ΤΜῆΜΑ Α΄

Δείκνυται ἐκ τῆς ἔσωθεν ἐναλλαγῆς τῆς πίστεως.

Ἄρτι μὲν εἰς τὴν ἀνίδρυσιν τοῦ ἐγχειρήματός σου θεμελίους καταβαλών, τῆς οἰκοδομῆς ἀπήρξω συλλογιζόμενος. τὴν προκειμένην θέσιν εἰς δέκα τμήματα διελών, καὶ τὸ τέταρτον αὖθις τούτων εἰς τέσσαρα θεωρήματα. ἡμεῖς δέ σου τῆς νεμβρωδικῆς πυργοποιΐας τὰς ὑποβάθρας ἐπὶ ψάμμου δείξαντες ἀστηρίκτως ὑποβληθείσας, ἀκατάλυτον ζωγροῦμεν τοῖς τῆς ἀληθείας λόγοις, τὴν τῶν μηχανημάτων καταστροφήν. καὶ μὴν ἐκ τῆς ἐπιγραφῆς, ἀπὸ πρώτης βαλβίδος, ἀντιτίθεμαί σου ψευδῆ τὴν ὑπόθεσιν, καὶ ἣν ὤφειλες πρότερον ἰσχυρῶς ἀποδεῖξαι, ὡς ὁμολογουμένην παρείληφας, καὶ νῦν, καὶ εἰς τὰ ἑξῆς. ἀναγκαῖον οὖν ἐνταῦθα ὡς κἀπὶ τῶν ἑπομένων ἀνατρέψαι σου τὴν ματαίαν πρόληψιν. ὅτι οὐ τῆς λατινίδος ἡ ἀνατολὶς, ἀλλ' ἡ λατινὶς τῆς ἀνατολίδος ἀπέσχισται. εἰ γὰρ οὐκ ἀιτίως, οὐδὲ πάντως ἐπὶ ψόγου λαμβάνεται τὸ χωρίζεσθαι καὶ ἀφίστασθαι, καὶ ἀποσχίζεσθαι, εἰ μὴ ὅτε κεῖται ῥητῶς, ἀπὸ τοῦ ἀληθοῦς δικαίου καὶ ἀγαθοῦ, ὅμως ἐπειδήπερ ἐπὶ διασυρμῷ καὶ διαβολῇ παρ' ὑμῶν ἐπὶ τῶν ἀνατολικῶν λέγεται τὸ κεχωρίσθαι ἀπὸ τῆς λατινίδος, ἅτε ἀπὸ τῆς ἀληθοῦς ἐκκλησίας, (ὡς ὑμεῖς λέγετε) καὶ τῆς γνησίας τῶν ἀποστόλων διαδοχῆς, διὰ τοῦτο εἰς πάσης ἀπάτης καὶ ὑποψίας ἀναίρεσιν διχῇ χωρῆσαι πρὸς ἀπάντησιν ἡγησάμην, πρῶτον μὲν ἐκ τῶν γραφῶν δεικνύων, ὅτι ὁ χωρισμὸς ὁ τοιοῦτος ἀπὸ τῆς τῶν ὀλεθρίων κοινωνίας καὶ ἐπαινετὸς καὶ ἐπιτεταγμένος ἐστί. δεύτερον δὲ ὅτι ὁ χωρισμὸς ἐπὶ κατηγορίᾳ καὶ μέμψει τοῖς λατίνοις ὑμῖν ἔπρεπε λέγεσθαι, οὐ τοῖς ὀρθοδόξοις ἡμῖν, ὡς τὰ νῦν λανθανόντως προστρίβετε. προϊόντος δὲ τοῦ λόγου, καὶ ἀναφανδὸν συκοφαντεῖτε. ὅτι μὲν οὖν ἐπ' ἀγαθῷ ἐστιν ὅτε νοεῖται, παραίτησις, ἀπόστασις, ἀποτροπὴ, ἤτοι ἀποστροφὴ, χωρισμὸς, ἀπόσχισις, καὶ τὰ τοιαῦτα, δῆλον ὅτι ἀπὸ ἀπίστων, αἱρετικῶν, φθοροποιῶν καινοτόμων, καὶ τῶν τοιούτων διδάσκει σαφῶς ὁ μακάριος ἀπόστολος, ἐν τῇ πρὸς Τίτον ἐπιστολῇ, κεφαλαίῳ τρίτῳ αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς

λατινιστὶ φησὶν ὁ γεννάδας EX IMMVTATIONE ὅ ἐστι μεταβολῆς, δοκεῖ δὲ ἐκ τοῦ σκοποῦ, τὴν ἀμεταβλησίαν ἐννοεῖν.

ὅτι

Ἴδωμεν οὖν νυνὶ καὶ τὸ δεύτερον, ὅτι τοῦ χωρισμοῦ ἐπὶ διαβολῇ λαμ-
βανομένου (οὗ ἡ χρῆσις, ὡς προσῳκειωμένῳ μᾶλλον ὀνόματι σχίσμα λέ-
γεται) οἱ Λατῖνοι μὲν ὡς προφανῶς ὑπεύθυνοι, εἰς ἑαυτοὺς ἐπισπῶνται τὴν
κλῆσιν, οὐχ οἱ δὲ τὴν ἀνατολίδα ὀρθόδοξοι. τοῦτο δὲ πολλαχῶς οὕτω συνί-
5 στημι. πρῶτον ἐκ τῆς ὑπογραφῆς τοῦ σχίσματος, ὅπερ διττῶς ὁρίζω.
πρῶτον ὅτι μέρος ἐστὶν ἀποσπασθὲν τοῦ ὁλοκλήρου. δεύτερον ὅτι καὶ μέρος
ἧττον ἐστὶν ἀποσπασθὲν τοῦ μείζονος. κατὰ τὸν πρῶτον ὅρον οὕτω συλλογίζομαι.
σχίσμα ἐστὶ μέρος ἀποσπασθὲν τοῦ ὁλοκλήρου. ἀλλὰ μὴν ἡ Λατινὶς ἐν τῷ μέρει
τῷ ἀποσπασθέντι περιέχεται, ἡ δὲ ἀνατολὶς ἐν τῷ ὁλοκλήρῳ. ἄρα ψευδῶς
10 ἡ Λατινὶς καθολικὴ λέγεται, ἀληθῶς δὲ ἡ ἀνατολίς. τὴν ἐλάσσω δείκνυμι.
ὁλόκληρον σῶμα τῆς ἐκκλησίας λέγεται τὸ καὶ τοῖς ἤδη τελειωθεῖσι καὶ δοξα-
σθεῖσι τῶν ἁγίων πνεύμασι κοινωνοῦν, καὶ τῇ τελεταρχικῇ κεφαλῇ τῷ Χριστῷ
συναρμολογούμενον, μέρος δ' ἀποσπασθὲν τὸ οὐδέτερον τούτων. ἀλλὰ μὴν
ἡ ἀνατολὶς καὶ τοῖς ἁγίοις κοινωνεῖ καὶ τῇ κεφαλῇ τῷ Χριστῷ, ἡ δὲ Λατινὶς
15 οὔ. ἄρα ἡ ἀνατολὶς ἐστὶ τὸ ὁλόκληρον σῶμα τῆς ἐκκλησίας, ἡ δὲ Λατινὶς τὸ
ἀπόσπασμα. ἡ μείζων ὁμολογουμένη. ἡ ἐλάττων δείκνυται. ἡ ἀνατολὶς ἀπαρα-
βάτως τῇ ἀρχαίᾳ τῶν ἀπ' αἰῶνος ἁγίων στοιχεῖ καὶ ὁμολογίᾳ, καὶ παραδόσει,
καὶ κανόσι, καὶ ἔθεσιν. ἡ δὲ Λατινὶς ταῦτα παρέβη. ἄρα ἡ ἀνατολικὴ ἐκ-
κλησία κοινωνεῖ τοῖς ἁγίοις καὶ τῷ Χριστῷ, ἡ δὲ Λατινικὴ οὐδαμῶς. δείκνυται
20 τὸ ἡγούμενον. εἰ γὰρ ἀναστῶεν οἱ ἅγιοι, μεθ' ἡμῶν ἂν αὖθις διατρίβοιεν,
οὐδὲν ὧν ἡμῖν παρέδωκαν, καὶ ὧν ἐκ τοῦ θεοῦ παρειλήφαμεν εὑρίσκοντες παρη-
λλαγμένον ἐν τῇ ἀνατολίδι. ἐν δὲ τῇ Λατινίδι σχεδὸν πάντα. ἄρα τοῖς ἁγίοις
ἡ ἀνατολὶς κοινωνεῖ οὐχ ἡ Λατινίς. ἥτις ἐνόθευσε τὰς παραδόσεις πάσας σχε-
δόν. τὸ σύμβολον, τὰ μυστήρια, τὰς νηστείας, τὰς ἀγρυπνίας, τῶν ναῶν
25 τὰ σχήματα, τοὺς βαθμοὺς τῆς ἐκκλησίας. τὴν ἀδελφότητα δουλωθεῖ-
σαν, τὴν κοινὴν διοίκησιν τὴν ἐκ συμφωνίας μεταβληθεῖσαν εἰς μοναρχίαν.
τὴν ταπείνωσιν εἰς τῦφον, τὴν ποιμαντικὴν εἰς τυραννίδα, τὴν φροντίδα
τῶν ψυχῶν εἰς κοσμικὴν ἐξουσίαν, τὴν εἰρήνην εἰς μάχας, τὴν γαλήνην εἰς
πολέμους, τὴν φιλανθρωπίαν εἰς φιλαρχίαν, τὰ ὑπὲρ Χριστοῦ μαρτύρια
30 εἰς φόνους, καὶ τέλος τὴν σωτηρίαν τῶν ψυχῶν εἰς προφανῆ ἀπώλειαν. τούτων καὶ
ἄλλων ἕκαστον, οὐ τῆς προκειμένης νῦν ὕλης ὄντων, ἀλλὰ τῶν καθ' ἑκάστην
πρὸς ἀλλήλους διαφορῶν, ὑπερτιθέαμεν εἰς ἴδιον τόπον τὴν ἀπόδειξιν. ἀρ-
κοῦντος τούτου μόνου. ὅτι ἡ Λατινὶς πλεῖστα κεκαινοτόμηκεν, ἡ δ' ἀνατολὶς
ὅτι μάλιστα τὸ δυνατὸν, τὰ παραδοθέντα τηρεῖ καὶ τετήρηκε.

35 Δείκνυμι δεύτερον, καὶ ἐκ τῆς δευτέρας ὑπογραφῆς. σχίσμα ἐστὶ τὸ ἧττον Β´
ἀποσπασθὲν τοῦ μείζονος. ἡ Λατινὶς ἔχει τὸ ἧττον ἡ δ' ἀνατολὶς τὸ μεῖ-
ζον. ἄρα ἡ Λατινὶς ἔχει τὸ σχίσμα, ἤτοι τὸ κεχωρίσθαι ἀπὸ τῆς ἀνατολί-
δος. ἡ μείζων κατ' ἀκρίβειαν τῆς ἐτυμολογίας ἀληθεύει. τῶν γὰρ σχισθέντων
εἰ μέλλει πάλιν συνάφεια γίνεσθαι. τῷ μείζονι λέγεται τὸ ἧττον συνάπτεσθαι,
40 οὐ τὸ μεῖζον τῷ ἥττονι. (ἢ καὶ ἠθικώτερον ἄλλως γίνεται). κατὰ γὰρ λόγον νομί-
μου καὶ δικαίου συνάπτεται, εἴτε τῷ μείζονι, τὸ ἧττον, εἴτε τὸ μεῖζον τῷ

ἥττονι

ἢ ἥττονι μέρει. λόγον γὰρ ἔχει τοῦ μείζονος, ἢ μᾶλλον τοῦ κρείττονος τότε, οὐχ ἡ ποσότης, ἀλλ' ἡ ποιότης) ἡ ἐλάττων δῆλη. τῆς γὰρ καθόλου ἐκκλησίας, εἰς πέντε ἀρχὰς κορυφουμένης, ὑπὸ κεφαλὴν τὸν Χριστὸν, ἡ λατινὶς ἔχει μίαν τὸν πάπαν μόνον, ἡ δὲ ἀνατολὶς τοὺς τέσσαρας πατριάρχας καὶ ἄλλας ἔτι, ἥττονας μὲν ἀρχὰς ἀλλ' οὐδὲν ἧττον ἀρχὰς, καὶ θρόνους αὐτοκεφάλους λεγομένους. οἷοι ἀρχαιότατοι καὶ ἐξ αὐτῶν τῶν ἀποστόλων ὀκύπρου, ὁ βουλγαρίας ἀπὸ ἰουστινιανοῦ τοῦ μεγάλου, ὁ ἰβηρίας, καὶ ὁ μοσχοβίας, ὃς τις οὐκ εἰς ἀρχιεπισκοπὴν ἔτι, ἀλλ' εἰς πατριαρχεῖον ἤδει πρὸ ὀλίγων χρόνων τετίμηται τε καὶ λέγεται. τὸ δ' ὅτι δικαίως καὶ εὐλόγως, τόγε νῦν ἔχον, λέγειν παρίημι. καὶ τῶν μὲν τεσσάρων ἀποστολικῶν ἐκείνων ἦν ποτε ἅμιλλα περὶ πίστεως πρὸς ἀλλήλους πάλαι καὶ σχίσματα. ὁ δὲ ῥώμης ὡς ἐπὶ τὸ πλεῖστον τῷ κρείττονι προσετίθετο. ἀπὸ δὲ τῆς ἑβδόμης συνόδου ἀδιαζεύκτως θεοῦ χάριτι συνηνώθησαν οἱ τέσσαρες. καὶ ὁ ῥώμης διὰ φιλαρχίαν ἤρξατο διαζεύγνυσθαι. μέχρις αἱ ἀναμεταξὺ προκύψασαι διαφοραὶ εἰς τὸ μέγα τοῦτο καὶ δυσαφαίρετον σχίσμα κατήντησαν.

Δείκνυται τρίτον τὸ σχίσμα ἐκ μέρους εἶναι τῶν λατίνων οὕτως. εἰ γὰρ ἐστὶ τὸ σχίσμα ἀπόσπασμα, τὸ δὲ ἀπόσπασμα ἐστὶ κινητοῦ ἀπὸ ἀκινήτου. δῆλον, ὅτι ἐπειδήπερ τὸ κινητὸν ἁρμόζει τῇ λατινίδι, ἕπεται καὶ τὸ σχίσμα. τὸ δὲ ἀκίνητον τῇ ἀνατολίδι, καὶ ἀκολούθως τὸ καθολικόν. ὅτι δὲ τὸ ἀπόσπασμα ἐμφαίνει κίνησιν, ἀναντίρρητον. ὅτι δ' ἐστὶν ἀπὸ ἀκινήτου τὸ κινητὸν, δείκνυται. ἔχει γὰρ ἀναλογίαν μέρος πρὸς ὁλόκληρον. τὸ δὲ μέρος χωριζόμενον, κινητόν. τὸ δὲ ὁλόκληρον μένον ἀκίνητον. ὅτι δὲ τῇ λατινίδι τὸ κινητὸν, τῇ δὲ ἀνατολίδι τὸ ἀκίνητον ἀναλογεῖ, δείκνυται. ἡ γὰρ λατινὶς ἀπέστη τῆς ἀρχαίας ὁμολογίας, καὶ παραδόσεως, καὶ κανόνων. ἡ δὲ ἀνατολὶς ἕστηκεν ὡς οἷόν τε ἐν πᾶσι τῇ θεοῦ χάριτι.

Τέταρτον δείκνυται. ὃν γὰρ λόγον ἔχει τὸ σχίσμα, πρὸς τὸ ὁλοτελὲς, ἔχει καὶ τὰ ὑποκείμενα ταῦτα. τὸ καινοτομηθὲν πρὸς τὸ ἀρχαῖον καὶ ἀκαινοτόμητον. Πέμπτον, τὸ ἴδιον, πρὸς τὸ καθόλου. Ἕκτον, τὸ διεφθορὸς, πρὸς τὸ εἰλικρινὲς. Ἕβδομον, τὸ νόθον, πρὸς τὸ γνήσιον. Ὄγδοον, ἡ παράβασις, πρὸς τὴν ἐντολὴν καὶ παράδοσιν. Ἔννατον, τὸ ἀπηγορευμένον, πρὸς τὸ ὡρισμένον. Δέκατον, τὸ ἀνεκφώνητον, πρὸς τὸ ἐκπεφωνημένον. Δέκατον πρῶτον, τὸ ἀμφίβολον, πρὸς τὸ ἀσφαλὲς. Δέκατον δεύτερον, τὸ βεβιασμένον, πρὸς τὸ ἀβίαστον. Δέκατον τρίτον, τὸ περίεργον, πρὸς τὸ ἀπερίεργον. Δέκατον τέταρτον, τὸ ἀσαφὲς, πρὸς τὸ σαφὲς. Δέκατον πέμπτον, τὸ ἄηθες πρὸς τὸ εἰθισμένον. Δέκατον ἕκτον, τὸ παράλογον πρὸς τὸ εὔλογον. Δέκατον ἕβδομον, τὸ παράνομον, πρὸς τὸ νόμιμον. Δέκατον ὄγδοον, τὸ πρέπον, πρὸς τὸ ἀπρεπὲς. Δέκατον ἔννατον, τὸ δίκαιον πρὸς τὸ ἄδικον. Εἰκοστὸν, τὸ ἐπαινετὸν πρὸς τὸ ἐπίψογον. καὶ ἄλλα δὲ παραπλήσια πλεῖστα. ἀλλὰ μὴν τὸ καινοτομηθὲν, τὸ διεφθορὸς, τὸ νόθον, καὶ τὰ λοιπὰ ἀνάλογα προσῳκειώθη τῇ λατινίδι. τὸ δὲ ἀκαινοτόμητον, τὸ εἰλικρινὲς τὸ γνήσιον, καὶ τὰ λοιπὰ τῇ ἀνατολίδι. ἄρα τὸ σχίσμα προσῳκειώθη τῇ λατινίδι, τὸ δὲ ὁλόκληρον καὶ καθολικὸν τῇ ἀνατολίδι. δείκνυται ἕκαστον ἰδίᾳ ὡς ἔπεται.

Πατριάρχης μοσχοβίας.

Ὁ πάπας τῷ κρείττονι μέρει τῆς ἐκκλησίας προσετίθετο.

Οἱ τέσσαρες ἀνατολικοὶ θρόνοι ἀπὸ τῆς ζ' συνόδου συνηνωμένοι εἰσὶν, δίχα τοῦ ῥώμης.

Δ'

Ἀναλογίαι εἴκοσι, δεικνύουσαι τὴν λατινίδα ἐκκλησίαν σχισματικήν.

δ' Τὸ τέταρτον μὲν οὕτω. τὸ γὰρ προστεθὲν τῇ ἀρχαίᾳ ὁμολογίᾳ, ἐστὶ καὶ καινοτομηθέν. ἡ λατινὶς ἔχει τὸ προστεθὲν τῇ ἀρχαίᾳ ὁμολογίᾳ, ἤτοι τὸ καὶ ἐκ τοῦ υἱοῦ (ἔστι δὲ καὶ ἄλλα πολλά. ἀρκείτω δὲ τὸ περὶ πίστεως μέγιστον) ἡ δὲ ἀνατολὶς οὐθὲν προσέθετο, οὐθὲν ἀφείλετο. ἄρα ἡ λατινὶς ἔχει τὸ καινοτομηθὲν, καὶ ἑπομένως τὸ σχίσμα. ἡ δὲ ἀνατολὶς τὸ ἀκαινοτόμητον, καὶ ἑπομένως τὸ καθολικὸν ἤτοι ὁλόκληρον.

ε' Τὸ πέμπτον οὕτω δείκνυται· ὅσα περ εἰσάγει τις ἐκκλησία ταῖς οἰκουμενικαῖς συνόδοις καὶ ἀποστολικαῖς παραδόσεσιν ἀντικείμενα, ἴδια λέγονται τῇ αὐτῇ ἐκκλησίᾳ. ἀλλὰ μὴν ἡ λατινὶς εἰσήγαγε καὶ ἐν τῇ ὁμολογίᾳ, καὶ τῷ βαπτίσματι καὶ τῇ θυσίᾳ, καὶ νηστείαις, καὶ ἑορταῖς, καὶ ἀγρυπνίαις, καὶ ἱερέων ἠναγκασμένην ἀγαμίαν, καὶ ἑτέροις πλείστοις. ἄρα ἴδια ἔχει καὶ οὐ τὰ τῆς καθόλου ἐκκλησίας.

ϛ: ζ: η: θ: ι: Ὁμοίως δείκνυται ἀποσχίσασα ἡ λατινὶς ὡς τὸ πέμπτον καὶ τὰ ἑπόμενα· τὸ ϛ', τὸ ζ': τὸ ὄγδοον: τὸ θ', καὶ τὸ ι'. εἰ γὰρ εἰλικρινῆ τὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας πάντα, γνήσιά τε, καὶ ἐκ παραδόσεως, ὡρισμένα τε, καὶ εἰθισμένα. ἡ δὲ λατινὶς παρὰ ταῦτα τηρεῖ ἕτερα ἐναντία, δῆλον, ὅτι διεφθαρμένα, καὶ νόθα, καὶ μὴ παραδόσεως, καὶ ἀπηγορευμένα καὶ ἀήθη.

θ' Ῥητῶς ἀπαγορεύουσιν αἱ σύνοδοι, τρίτη, τετάρτη, ϛ', καὶ ζ'. μηδὲν προστεθῆναι, μηδὲν ἀφαιρεῖν. ἡ δὲ λατινὶς καὶ προστίθησι τῇ ὁμολογίᾳ τῆς πίστεως, καὶ ἀφαιρεῖ ἐκ τῶν παραδόσεων. ἄρα ῥητῶς ποιεῖ ἀπηγορευμένα.

ι' Ἡ προσθήκη ἐν τῷ συμβόλῳ ἐστὶν ἀνεκφώνητος ταῖς ἁγίαις γραφαῖς, καὶ οἰκουμενικαῖς συνόδοις. ἀλλὰ μὴν ἡ λατινὶς εἰσήνεγκε τὴν προσθήκην. ἄρα καὶ τὸ ἀνεκφώνητον.

ια' Ἀσφαλές ἐστι τὸ κείμενον ἐν ταῖς γραφαῖς ῥητῶς καὶ ἐν ταῖς συνόδοις. τὸ δὲ μὴ κείμενον, ἢ καὶ ἀντιλεγόμενον ἐστὶν ἐπισφαλὲς, ἐπικίνδυνον, καὶ ἀμφίβολον. ἡ ἀνατολὶς τηρεῖ τὸ κείμενον ῥητῶς ἐν ταῖς γραφαῖς, καὶ συνόδοις, ἡ δὲ λατινὶς εἰσεποιήσατο τὸ μὴ κείμενον. ἄρα ἡ ἀνατολὶς τὸ ἀσφαλὲς τηρεῖ, ἡ δὲ λατινὶς τὸ ἀμφίβολον.

ιβ' Τὸ κοινῇ ὑπὸ τῶν συνόδων καὶ γραφῶν ὁμολογούμενον, καὶ κηρυττόμενον κατέχειν ἑδραίως, ἐστὶ καὶ ἀβίαστον, βεβιασμένον δὲ τὸ κατέχειν ἰσχυρῶς τὸ μὴ κοινῇ ὁμολογούμενον, καὶ κηρυττόμενον. ἀλλὰ μὴν ἡ ἀνατολὶς κατέχει ἑδραίως τὸ κοινῇ ὁμολογούμενον, ἡ δὲ λατινὶς τὸ μὴ κοινῇ. ἄρα ἐκείνη κατέχει τὸ ἀβίαστον, αὕτη τὸ ἐκβεβιασμένον.

ιγ' Ἀπερίεργον ἐστὶ τὸ τὰ κείμενα πιστεύειν, καὶ τὰ τῆς πίστεως ἀκατάληπτα μὴ πολυπραγμονεῖν. περίεργον δὲ τὸ πολυπραγμονεῖν. ἀλλὰ μὴν ἡ ἀνατολὶς τὰ κείμενα μὲν πιστεύει καὶ τὰ τῆς πίστεως ἀκατάληπτα οὐ πολυπραγμονεῖ. καθόλου γάρ φησι (περὶ θείων ὀνομάτων ὁ ἰσαπόστολος Διονύσιος) οὐ τολμητέον εἰπεῖν, οὔτε μὴν ἐννοῆσαί τι περὶ τῆς ὑπερουσίου καὶ κρυφίας θεότητος, παρὰ τὰ θεοειδῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα. ἄρα τῆς ἀνατολίδος ἐστὶ τὸ ἀπερίεργον, τῆς δὲ λατινίδος τὸ περίεργον.

ιδ Τὸ κείμενον ῥητῶς ἐν συνόδοις καὶ γραφαῖς, καὶ πᾶσιν ὁμολογούμενον ἄνωθεν, καὶ μὴ ἀντιλεγόμενον, ἐστὶ καὶ σαφὲς εἰς διδασκαλίαν τῆς πίστεως. τὸ δὲ ῥητῶς μὴ κείμενον οὐδὲ πᾶσιν ὁμολογούμενον, ἀλλὰ δὴ καὶ ὑπὸ πολλῶν ἀντιλεγόμενον, ἐστὶν ἀσαφὲς εἰς διδασκαλίαν τῆς πίστεως. τὸ πρῶτον ἐστὶ τῆς ἀνατολικῆς ἐκκλησίας, τὸ δεύτερον τῆς λατινικῆς, ἄρα καὶ τὸ σαφὲς τῆς ἀνατολικῆς, τὸ δ' ἀσαφὲς τῆς λατινικῆς.

ιε Ἄνω εἰρήκαμεν κατὰ τὸ ἕκτον.

ις Εὔλογον ἐστὶ τὸ μέχρις ὀκτὼ οἰκουμενικῶν συνόδων (ἕως Ἰγνατίου καὶ Φωτίου τῶν Πατριαρχῶν καὶ Βασιλείου μακεδόνος τοῦ Βασιλέως) μηδὲν σαλευθὲν, καὶ μάλιστα ἐπειγούσης ἀνάγκης ἀπὸ αἱρέσεων, μένειν ἀσάλευτον καὶ εἰς τὸ ἑξῆς. παράλογον δὲ τὸ σαλεύεσθαι μετὰ ταῦτα, καὶ δίχα συνόδου, καὶ ἀνάγκης, καὶ συζητήσεως. ἀλλὰ μὴν τὸ πρῶτον ἔχει ἡ ἀνατολικὴ, τὸ δεύτερον ἡ λατινικὴ, ἄρα τῆς ἀνατολικῆς τὸ εὔλογον, τῆς λατινικῆς τὸ παράλογον.

ιζ Νόμιμον καὶ ἀπὸ γραφῶν, καὶ ἀπὸ συνόδων καὶ ἁγίων Πατέρων μηδὲν τῇ πίστει προστιθέναι, μηδὲν ἀφαιρεῖν, παράνομον δὲ τὸ καταπολμώμενον. ἀλλὰ μὴν ἡ ἀνατολικὴ οὐδὲν προσέθετό ποτε τῇ πίστει, οὐδὲν ἀφείλετο. ἡ δὲ λατινικὴ καὶ μάλα. ἄρα τὸ νόμιμον τῆς ἀνατολικῆς, τὸ δὲ παράνομον τῆς λατινικῆς.

δευτερονό: δ'. ιη' ἀποκάλυψ: κβ': συνοδ: γ': δ' ς': ζ'

ιη Πρέπον τὰς ὅρους τῶν Πατέρων εὐλαβεῖσθαι. ἀπρεπὲς δὲ τὸ ἀθετεῖν. ἀλλὰ μὴν ἡ ἀνατολικὴ τὰς ὅρους τῆς ζ. συνόδου καὶ τῶν πρὸ αὐτῆς. ναὶ δὴ καὶ τοῦ δευτερονομίου, καὶ τῆς ἀποκαλύψεως, τοῦ μὴ προστιθέναι ἢ ἀφαιρεῖν, εὐλαβεῖται, ἡ λατινὶς δ' ἀθετεῖ. ἄρα ἡ ἀνατολικὴ τὸ πρέπον ποιεῖ. ἡ δὲ λατινὶς τὸ ἀπρεπές.

ιθ Δίκαιον τὴν παρακαταθήκην τῶν πατέρων ἐν τῇ κοινῇ ὁμολογίᾳ τηρεῖν πιστῶς ἀπαραχάρακτον. ἄδικον δὲ τὸ παραχαράσσειν. ἀλλὰ μὴν τὸ πρῶτον τῆς ἀνατολίδος, τὸ β', τῆς λατινίδος, ἄρα τὸ δίκαιον καὶ τὸ ἄδικον, τὸ μὲν τούτοις, τὸ δὲ ἐκείνοις.

κ Ἐπαινετὸν κατὰ τὸν ἀπόστολον (πρὸς ῥωμαίους ιβ) μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν. ἐπίψογον δὲ τὸ ἐναντίον. ἀλλὰ μὴν ἡ λατινὶς ὑπερφρονεῖ, παρ' ὃ δεῖ φρονεῖν, ἐν τῷ ἀνερευνᾶν τοὺς τρόπους τῶν ἀκαταλήπτων, καὶ ἀγγέλοις αὐτοῖς προόδων. ἡ δὲ ἀνατολὶς οὐδαμῶς. ἄρα τὸ ἐπαινετὸν τῆς ἀνατολίδος, τὸ δὲ ἐπίψογον τῆς λατινίδος. ἀλλὰ μὴν τὰ τῆς λατινίδος οἰκεῖα, ἐπιφέρει σχίσμα. τὰ δὲ ἀνατολίδος τὸ καθολικόν. ἄρα τὸ σχίσμα τῆς λατινίδος ἐστὶ, τὸ καθολικὸν δὲ τῆς ἀνατολίδος.

ΠΡΟ`Σ ΤΟ Α' ΤΜΗΜΑ ΤΗΣ Ε ΘΕ΄ΣΕΩΣ

Καὶ πρὸς τοὺς συλλογισμοὺς αὐτῆς.

Ἤδη δὲ πρὸς τὴν ἀπόδειξιν συλλογιζόμενος ὅτι ἀληθὴς ἐστὶν ἐκκλησία τοῦ θεοῦ ἡ λατινὶς, διὰ τῷ μέσῳ χρώμενος ἀναποδείκτῳ καὶ ἑκατέρῳ σφαλερῷ.

λεγῷ, οὕτως ἐπιχειρεῖς, ἡ λατινὶς ἐκκλησία, ἣν ἀληθὴς τοῦ θεοῦ ἐκκλησία καὶ πρὸ τοῦ χωρισμοῦ, ἐκοινώνει γὰρ αὐτῇ ἡ ἀνατολὴ (ὡς καλωτέρῳ ἐπιφέρεις ὀγδόῳ ἐπιχειρήματι) ἄρα καὶ μετὰ τὸν χωρισμὸν, ἔμεινε γὰρ ἐν τῇ αὐτῇ πίστει, ὑπὸ τὴν αὐτὴν κεφαλὴν, μετὰ τῶν αὐτῶν μυστηρίων, καὶ τῶν λοιπῶν ὡς καὶ πρότερον.

ἈΠΆΝΤΗΣΙΣ

Οὐκ ἔμεινεν ἐν τῇ αὐτῇ πίστει καινοτομήσασα τὴν προσθήκην. ἀλλ' οὐδὲ ὑπὸ τὴν αὐτὴν κεφαλὴν, ὡς καὶ οἱ λοιποὶ ἀποστολικοὶ θρόνοι, τουτέστιν ὑπὸ τὸν Χριστὸν. ἀλλ' ἑαυτῇ κεφαλὴν ὁρατὴν, φθαρτὴν ἁμαρτωλὸν ἄνθρωπον ἐπισοφισαμένη, ὑπερέθετο τὸν Πάπαν, ὃν καὶ ἀναμάρτητον κατὰ πίστιν ἐδογμάτισεν, ὑπὲρ τὰς οἰκουμενικὰς συνόδους, ὅπερ οὐ δὲ Πέτρος, οὐ δὲ οἱ ἀπόστολοι αὐτοὶ οἱ θεόπνευστοι καὶ πνευματοκήρυκες, οὐδ' Ἰωάννης ὁ μυστολέκτης ἔσχον, οὔτε ἔχειν ἠδύναντο, ὑφ' ὕβρει τῆς κοινῆς μητρὸς ἐκκλησίας, μάλιστα δὲ καὶ Χριστοῦ, κεφαλῆς οὔσης μόνου, ὡς παρακαπόντες δείξομεν. ἔτι καὶ περὶ τὰ μυστήρια ἐκαινοτόμησεν, ἀπορρίψασα τὴν παράδοσιν ἐν τῷ βαπτίζειν τῶν τριῶν καταδύσεων καὶ ἀναδύσεων, ἀντεισαγαγοῦσα τὰς ἐπιχύσεις καὶ ἕτερα πλεῖστα, τιγαροῦν οὐκ ἔμεινεν ἡ λατινὶς ἡ αὐτὴ μετὰ τὸν χωρισμὸν ὡς καὶ πρότερον, ὅτε αὐτῇ ἐκοινώνουν οἱ ἀνατολικοί. μᾶλλον δὲ διὰ ταῦτα ὁ χωρισμός.

ἜΝΣΤΑΣΙΣ Β'

Ὁ μὲν χωρισμὸς ἤρξατο ἐπὶ Φωτίου, τὸ δὲ δόγμα τῆς ἐκ τοῦ υἱοῦ τοῦ πνεύματος ἐκπορεύσεως ὁλοκλήροις ἑκατοντάσιν ἐτῶν πρότερον ἐπισεύετο, καὶ τῷ συμβόλῳ προσετέθειτο. ἄρα ἡ αὐτὴ ἔμεινεν ἡ λατινὶς ἐκκλησία ὕστερον ὡς καὶ πρότερον. δείκνυται τὸ προηγούμενον πολλαχῶς. ἐξ ὧν ἱστορικῶς ὑπεστρώθη.

α' Ἀπὸ τῆς ἐπιστολῆς ἀγάθωνος πρὸς τὴν ἕκτην σύνοδον (ἑκατοντάδι ζ') ὅθεν χειρὶ γραικῶν ἀπεξέσθη ἡ προσθήκη, καθὰ μέμφεται ἰουλιανὸς ὁ καρδηνάλις ἐν τῇ κατὰ φλωρεντίαν συνόδῳ. καὶ πολλῷ πρότερον Ἐμμανουὴλ ὁ καλέκας ἐν τοῖς ὑπομνήμασιν ὑπεσημειώσατο.

β' Ἔτους πεντακοσιοστοῦ ἐννενηκοστοῦ τρίτου ἡ ἐν τολέτῳ (τῆς ἱσπανίας) τρίτη σύνοδος ἑβδομήκοντα ἐπισκόπων, προεδρεύοντος λεάνδρου τοῦ ἁγιωτάτου τοῦ αὐτοῦ καὶ πρεσβείαν ἐπέχοντος ὑπὲρ Γρηγορίου τοῦ ἁγιωτάτου Πάπα (τοῦ διαλόγου) τὸ δόγμα τῆς ἐκπορεύσεως, καὶ ἐκ τοῦ υἱοῦ ῥητῶς ἔχει.

γ' Ἔτους ἑξακοσιοστοῦ τριακοστοῦ ἑβδόμου, ἐπὶ ὁνωρίου Πάπα ἐν τῇ τετάρτῃ συνόδῳ τῇ ἐν τολέτῳ προεδρεύοντος ἐπισκόπων πάλιν ἑβδομήκοντα τοῦ ἁγίου ἰσιδώρου Μητροπολίτου ἱσπάλεως, καὶ διδασκάλου ἐπισημοτάτου τὸ αὐτὸ δόγμα ἐξεφωνήθη.

δ' Τὸ αὐτὸ καὶ ἐν τῇ κατ' ἀγγλίαν συνόδῳ ἔτους ἑπτακοσιοστοῦ ἑξηκοστοῦ ἕκτου, κατὰ μονοθελητῶν.

ε' Ἔπειτα κἀν τῇ συνόδῳ τῇ κατὰ τὸ Φορολίβιον, περὶ τῆς αὐτῆς ὑποθέσεως συναθροισθείσῃ ἔτους ἑπτακοσιοστοῦ ἐννενηκοστοῦ πρώτου.

ς' Μᾶλλον δὲ εὐθὺς μετὰ τὴν δευτέραν (οἰκουμενικὴν) σύνοδον ἐπὶ Δαμάσου Πάπα τὴν προσθήκην ἐν τῷ συμβόλῳ γεγονέναι διαγορεύει Γρηγόριος Χριστῖνος ὁ ἱστορικός.

ζ' Τοὐλάχιστον πρὸ τῆς ἕκτης συνόδου (γεγονέναι τὴν προσθήκην) μαρτυρεῖ Μάξιμος ὁ ὁμολογητὴς ἐπιστολῇ πρὸς Μαρῖνον πρεσβύτερον κύπριον. εἰ τοιγαροῦν πρὸ τοῦ χωρισμοῦ τὸ δόγμα τῆς ἐκπορεύσεως ἐκ τοῦ υἱοῦ πιστεύουσα, καὶ τῷ συμβόλῳ προσθεῖσα ἡ λατινὶς, ἦν ἀληθὴς τοῦ θεοῦ ἐκκλησία, ἔστι καὶ μετὰ τὸν χωρισμὸν, ἡ αὐτὴ διαμένουσα ἀμεταβλήτως.

η' Πρὸ Φωτίου τῇ λατινίδι ἐκοινώνει ἀεὶ ἡ ἀνατολὶς, ἄρα οὐχ αἱρετικὴν ἐνόμιζεν, ἀλλὰ θεοῦ ἀληθῆ ἐκκλησίαν. πῶς οὖν ἀμεταβλήτως ἔχουσα εἰς αἱρετικὴν μεταβέβηκεν, ὥστε μὴ κοινωνεῖν αὐτῇ μετὰ ταῦτα.

ἈΠΆΝΤΗΣΙΣ

Λεγόμενα πρῶτον δὲ καὶ πρὸς τὸ ὕστερον ἁρμοζέσθω, ἐφ' ὅσον χρόνον ἐκοινώνει τῇ λατινικῇ ἐκκλησίᾳ ἡ ἀνατολική, αἱρετικὴν πάντως αὐτὴν οὐκ ἔκρινεν. ἀλλ' οὐ γὰρ καινοτομίας εἶχεν ἐκείνη προφανεῖς περὶ τὴν πίστιν, οὐ γὰρ περὶ τὰ λοιπὰ τοιαύτας, ὥστε καὶ χωρισμὸν ἐμποιεῖν· εἰ δὲ καὶ λανθανόντως εἶχέ τινας, ὅμως ἐν ταῖς ἀμφισβητήσεσιν (ὡς ἑξῆς προϊόμεθα) συμφρονεῖν κατὰ πάντα, καὶ συνομολογεῖν ἐπηγγέλλετο· εἰ δὲ καί ποτ' αὐτῆς ὑπώπτευεν ἡ ἀνατολική, ὑφ' αἱρέσεων μέντοιγε ἀλλεπαλλήλων πιεζομένη, καὶ τῆς ἀπ' ἐκείνης συμμαχίας χρήζουσα, ὑπέφερε σιωπῇ· εἰς καιρὸν τὸν προσήκοντα ταμιεύουσα τὴν διόρθωσιν, ἢ καὶ ἐξέτασιν· τινὰ γὰρ καὶ οὐ λίαν ἦσαν δεινά. πολλὰ δὲ καὶ δεξιῶς ἐν κανόσιν ἐπηνώρθουν αἱ σύνοδοι. ὥσπερ τὰ κατὰ τοὺς τῆς ἕκτης κανόνας, οὓς καὶ ἡ ἑβδόμη κανόνι πρώτῳ καὶ ἕκτῳ ἐκύρωσεν. ῥητῶς γὰρ περὶ τῆς νηστείας τοῦ σαββάτου, ἐν κανόνι πεντηκοστῷ πέμπτῳ. καὶ περὶ τῆς ἠναγκασμένης ἀγαμίας τῶν ἱερωμένων ἐν κανόνι :ιγ: καὶ περὶ τῆς προηγιασμένης ἱερουργίας ἐν κανόνι νβ'. καὶ περὶ τῆς μοναρχίας καὶ ὑπεροχῆς τοῦ Πάπα καὶ τῶν ἴσων πρεσβείων τοῦ Κωνσταντινουπόλεως ἐν κανόνι λς'. περὶ τοῦ μὴ εἰκονίζειν τὸν Χριστὸν ὡς ἀμνὸν, ὡς ἔθος λατίνοις εἰς προσκύνησιν, ἀλλ' ὡς ἄνθρωπον, ἐν κανόνι πβ': καὶ περὶ τῆς αἱμοβορίας καὶ πνικτοφαγίας κανόνι ξζ'. καὶ περὶ τῆς νηστείας τῆς μεγάλης τεσσαρακοστῆς, μὴ καταλύειν ὠὰ καὶ τὰ ἐκ γάλακτος κανόνι νς': καὶ περὶ γάμων ἀθέσμων κανόνι νδ': περὶ τοῦ μὴ προτάττεσθαι τοὺς ὑποδεεστέρους βαθμοὺς τοῖς ὑψηλοτέροις κανόνι ζ', ἀπὸ τοῦ τῆς πρώτης κανόνος δεκάτου ὀγδόου. τοῦτο γὰρ καὶ λίαν παραβαίνεται νῦν ὑπὸ τῶν ἐν ῥώμῃ. μέχρι διακόνων καὶ ὑποδιακόνων, καὶ ἀναγνωστῶν αὐτῶν, διὰ κοσμικὴν πορφύραν προτιμωμένων ἐν συνόδοις, καὶ ἐν ἐκκλησίαις, καὶ ἱερουργίαις αὐτῶν ὑπὲρ αὐτοὺς τοὺς ἀρχιεπισκόπους. καὶ τοὺς ἐκεῖ λεγομένους Πατριάρχας, προκαθεζομένων. καὶ περὶ τοῦ κρίνεσθαι τὸν Πάπαν ἁμαρτάνοντα ἐν συνόδοις, ἡ ὀγδόη

λεγομένη

λεγομένη ἐπὶ τοῦ ἁγίου Ἰγνατίου τοῦ Κωνσταντινουπόλεως. κανόνι ιγʹ: περὶ τοῦ μὴ ἐκκαλεῖσθαι εἰς τὸν Πάπαν, ἀλλὰ μένειν βεβαίαν τὴν Πατριαρχικὴν διάγνωσιν. ἡ αὐτὴ ὀγδόη ἐπὶ Ἰγνατίου κανόνι εἰκοστῷ ἕκτῳ παρὰ λατίνοις, ἣν καὶ ἀποδέχονται. τὸ αὐτὸ καὶ ἡ ἐπὶ Φωτίου οἰκουμενικὴ τὸ δεύτερον. ἀλλ' οἱ λατῖνοι ταύτην, οὐκ οἶδ' ὅπως ἠθέτησαν. καὶ ἡ

5 ἑβδόμη σύνοδος πράξει πρώτῃ, καὶ κανόνι πρώτῳ καὶ ϛ: κυροῖ ὡς τῆς ϛʹ αὐτῆς συνόδου τοὺς λεγομένους τῆς ἐν τρούλλῳ κανόνας. καὶ κατασείζει ὡς ἀμαθεῖς τοὺς ἀμφιβάλλοντας· οὗτοι δ' ἦσαν οἱ Πάπαι καὶ οἱ περὶ αὐτούς. καὶ ἕτερα δὲ παραπλήσια διωρθοῦντο πράως τε καὶ ἐπιεικῶς ἐν συνόδοις, σφα-

10 λλόμενοι, ἢ καὶ ὑποπτευόμενοι οἱ λατῖνοι.

Ὅτε δὲ περιφανῶς ἐξηλέγχθη ὁ ῥωμαϊκὸς θρόνος, καινοτομήσας περὶ τὴν πίστιν, καὶ περὶ δεινὰ ἕτερα. διόρθωσίν τε ὡς καὶ πρότερον μὴ ἐπιδεχόμενος. τότε καὶ τῶν ἱερῶν διπτύχων ἐξήλειπται, καὶ οἱ καινοτομοῦντες κανονικῶς ἐπετιμήθησαν, ὡς εἴδομεν ἐπὶ Σεργίου Πατριάρχου Κωνσταν-

15 τινουπόλεως, ἔτους ἐνναποσιοστοῦ ἐννενηκοστοῦ ὀγδόου. καὶ ἐπὶ Μιχαὴλ κηρουλαρίου, ἔτει χιλιοστῷ πεντηκοστῷ τρίτῳ, καὶ τετάρτῳ. τὰ δὲ ἐπὶ Φωτίου κατὰ τοῦ Πάπα Νικολάου γενόμενα ἐπὶ τῆς πρώτης Πατριαρχείας: ἢ μᾶλλον ἐπὶ βάσεως: καὶ μετὰ Ἰωάννου τοῦ ὀγδόου ἐπὶ τῆς δευτέρας κανονικῆς προεδρείας, εἰ καὶ προφάσει παραβάσεων ἐκπροσώπου τῶν ῥωμαϊκῶν ἀρχιερέ-

20 ων ἐγένετο: ὡς ἐδηλώσαμεν ἐν τοῖς περὶ Φωτίου κατὰ τὴν ἐννάτην ἑκατοντάδα: ὅμως οὐχ αἵρεσιν, ἢ περιφανῆ καινοτομίαν εἶχεν ὁ ἔλεγχος, καὶ ἡ δίκη. ὑποψίαν δὲ μᾶλλον καὶ ἕτερ' αἴτια ἰάσιμα. καὶ διὰ τοῦτο μετὰ τὸν Φώτιον αἱ ἐκκλησίαι καὶ οἱ θρόνοι εἰς κοινωνίαν ἐπανήρχοντο. δῆλον δὲ ὅτι ἀπεχθανόμενοι οὐ μόνον ὁ Πάπας τὸν Φώτιον, ἀλλὰ καὶ οἱ περὶ Ἰγνάτιον ἅπαντες πάσας

25 τὰς τοῦ Φωτίου χειροτονίας ἀκύρους ἐποίουν. ἔτυχε καὶ ὁ τοῦ Βασιλέως λέοντος τοῦ σοφοῦ ἀδελφὸς στέφανος, παρὰ Φωτίου χειροτονίαν διακόνου λαβεῖν καὶ συγκαταδικασθῆναι καὶ τοῦτον τοῖς ἄλλοις τοῖς ὑπὸ Φωτίου χειροτονηθεῖσι. καιροῦ δὲ καλέσαντος εἰς τὸν Πατριαρχικὸν θρόνον τὸν στέφανον προβιβασθῆναι συνεχώρουν μὲν οἱ κανονικῶς οἱ ἐν Κωνσταντινουπόλει πατέρες

30 τὴν προγεγονυῖαν τούτου καθαίρεσιν, συμψήφου δὲ ὄντος ταύτῃ καὶ τοῦ ῥώμης ἀρχιερέως, ἐζήτησαν καὶ παρ' αὐτοῦ τὴν τοῦ στεφάνου ἀθώωσιν: στέφανος ἐλέγετο καὶ οὗτος. οὗ διάδοχος ὁ φόρμωσος ἐγεγόνει: ἵνα πρότερον ἀθωωθεὶς παρὰ πάντων, γνησίως προβιβασθῇ εἰς τὸ Πατριαρχικὸν ἀξίωμα. ὃ καὶ γέγονεν. ὁρᾷς ὡς καὶ μετὰ τὸν Φώτιον ἡνοῦντο αἱ ἐκκλησίαι. ψευδῶς οὖν κάν-

35 ταῦθα Φωτιανοὺς ἡμᾶς ἐγκαλεῖς, ὡς ἀπὸ Φωτίου χωρισθέντας ἀφ' ὑμῶν. ἡμεῖς γὰρ ὡς εἴπομεν, οὔτε πάντα τὰ τοῦ Φωτίου ἐπαινοῦμεν, οὔτε μὴν αὐτὸν τέλεον ἀποβάλλομεν. ὅτι μὲν γὰρ πρὸς τοὺς Πάπας ἐπανισταμένους κατὰ τῆς ἐλευθερίας τῆς ἀνατολικῆς ἐκκλησίας γενναίως ἀντέστη, καὶ λίαν ἐπαινοῦμεν. ἀλλὰ καὶ τὸ σοφὸν καὶ ὀρθόδοξον ἀποδεχόμεθα τοῦ ἀνδρός. ὅσα δὲ κατὰ

40 Ἰγνατίου τοῦ ἁγιωτάτου διεπράξατο, καὶ κατὰ τοῦ Βασιλέως λέοντος: εἴγε ἀληθῆ λέγεται: ἐπενόησεν, οὐ πάνυ παρ' ἡμῖν ἀποδεικτέα. εἰ δὲ καὶ οὐ κατὰ θεῖον ζῆλον.

ζῆλον, ἀλλ᾽ ἐχθρωδῶς πρὸς λατίνους διεφέρετο. προσθήσομεν σὺν χάριν καὶ τοῦτο. ὅτι μὲν γὰρ περὶ τοῦ δόγματος τῆς ἐκπορεύσεως ἐνεκαλοῦντο εἶναι τινοι παρ᾽ αὐτοῦ, ἀλλὰ τὴν μέμψιν προφανῶς ἐκεῖνοι ἀπεσείοντο, καὶ τοῖς ἀνατολικοῖς ὁμοφρονεῖν διϊσχυρίζοντο, καὶ τοὺς ἄλλως φρονοῦντας, καὶ τὴν προσθήκην πρώτως τολμήσαντας, ἐπὶ τῇ κατὰ φώτιον συνόδῳ ἀναθέματι καθυπέβαλον. μαρτυρεῖ τὸ λεγόμενον καὶ ἡ τοῦ Ἰωάννου Πάπα ὀγδόου ἐπιστολή, ἣν κατωτέρω ὑποσημανοῦμεν. οὐχ ὁ φώτιος τοίνυν τοῦ χωρισμοῦ αἴτιος. ἀλλ᾽ αἱ ἐσημέραι καινοτομίαι παρ᾽ ὑμῶν ἀναφυόμεναι μέν, μὴ διορθούμεναι δέ.

Πρὸς δὲ τοὺς συλλογισμούς σου κατὰ τάξιν προχωροῦντες, οὕτως ἀποκρινόμεθα

Α΄ Λέγεις τοιγαροῦν ὅτι περὶ τοῦ χωρισμοῦ ἦν τὸ δόγμα, καὶ ἡ προσθήκη παρὰ λατίνοις. Ἑτοίμως ἀρνούμεθα. καὶ πρὸς μὲν τὴν δεῖξιν ἐκ τῆς ἐπιστολῆς Ἀγάθωνος ἀπηλέγξαμεν κατὰ τὴν ἑβδόμην ἑκατοντάδα. τὰ νῦν ἐλέγχομεν εὐθείας καὶ σέ, μάρτυρα παριστάνοντα τοῦ ψεύδους ἐκ τῆς συμμορίας τῆς σῆς, ἰουλιανὸν τὸν καρδηνάλιν. πόθεν δ᾽ ἐκεῖνος ὠβέλτιστε; ἆρ᾽ οὐκ αἰσθάνεσθε περὶ τὰ μέγιστα τῆς πίστεως ἀγωνιζόμενοι, ἀμαρτύρους εἰσφέροντες ἱστορίας, ἢ καὶ ἀσήμους, καὶ μικρολόγους τινὰς καὶ ἀντιδίκους ἡμῶν, καὶ ταῦτα ὑμεῖς τοὺς οἴκοθεν ἀποβαλλομένους, καὶ τοῖς ἔξω νόμοις; περὶ δὲ τοῦ καλέκα ὅπως τοῦτο ὑπεσημειώσατο, ὤφειλες ἡμᾶς ὑπομνῆσαι, τὰς ἐκείνου λέξεις λαβών, καὶ οὕτως αὐτὸς εἰκὸς τῇ ἀληθείᾳ ἀπημειψάμεθα. νῦν δὲ τοῦ συγγραφέως ἀμοιροῦντες, στοχὴν ἄγειν ἀναγκαζόμεθα, μηδέν τι δ᾽ ὅμως μαρτυρεῖν καθ᾽ ἡμῶν ἀσφαλῶς τεκμαιρόμεθα.

ς΄ Ὁμοίως καὶ κάτωθεν εἰσάγεις, ἀγριστῖνόν τινα ἱστοροῦντα ὀνείρων ἀδηλότερα, καὶ σκηνικῶν πλασμάτων γελοιότερα. ὅτι εὐθὺς ἀπὸ τῶν τῆς δευτέρας συνόδου ἐπὶ τῶν δαμάσου χρόνων, καὶ τὸ δόγμα καὶ ἡ προσθήκη ἐλέγετο. καὶ πῶς οὐ καταγέλαστος σὺ καὶ μειρακίσκοις, ὁπότε τὰ ψευδῆ σου ἐπιχειρήματα μὴ ἔχων ἄλλοθεν πόθεν οὐδαμόθεν ἀποδεικνύειν, ἐπὶ ἀσήμους καταφεύγεις ἱστορικούς, καὶ ἰδίους, καὶ νεωτερικοὺς καθ᾽ ὑμᾶς; δέον ἐκ τῶν συγχρόνων τοῖς πράγμασι, καὶ παλαιτάτων τὰς μαρτυρίας προκομίζειν, οἷος ἦν σωκράτης, σωζόμενος, θεοδώρητος, οἷος ὁ παρ᾽ ὑμῖν ῥουφῖνος, καὶ ἱερώνυμος, καὶ κασσιόδωρος. τότ᾽ ἂν εἶχεν ὁ λόγος τὸ ἀξιόπιστον. βέλτιον δ᾽ ἂν εἰρήκει ὁ ὑμέτερος ἀγριστῖνος, ὅτι οὐκ ἀπὸ τῆς δευτέρας, ἀλλὰ πρὸ τῆς δευτέρας συνόδου, ἀπὸ τῆς πρώτης ὑπαναφύεσθαι ἤρξατο τὸ δόγμα τοῦτο τῆς ἐκπορεύσεως ὑπὸ τῶν αἱρετικῶν πνευματομάχων, αἴτιος γὰρ καὶ εὐνόμιος ὁ αὐτοῦ μαθητής, καὶ πρὸ αὐτοῦ μακεδόνιος, κτίσμα λέγοντες υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἑπομένως ἐξ αὐτοῦ ἐκπορεύεσθαι ὡς κτίσμα κτίσματος δημιούργημα. πῶς δ᾽ ἔλαθεν ὦ σοφοί, τοὺς τὴν οἰκουμενικὴν δευτέραν περὶ τούτου σύνοδον συγκροτήσαντας θεοφόρους πατέρας. ἐξὸν ἐμφαντικώτερον καὶ οἰκειότερον, εἴγ᾽ ἀληθὲς ἦν, ἀποφαίνεσθαι, ὅτι δῆθεν ἔστι μὲν τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ. καθὼς ὁ υἱὸς ἐκ τοῦ πατρός, οὐκ ἔστι δὲ κτίσμα υἱοῦ, καθὼς οὐκ ἔστι κτίσμα πατρὸς ὁ υἱός. ὅμως τὴν αἵρεσιν ὁλοτελῶς ἀναιροῦντες, ἀπειρήκεισαν

ἀπειρήκεισαν τὸ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα. ἁπλῶς δὲ ἐκ τοῦ πατρὸς μὲν ἐκ-
πορεύεσθαι ἐδογμάτισαν, συμπροσκυνεῖσθαι δὲ καὶ συνδοξάζεσθαι ἅμα πατρὶ καὶ
υἱῷ ὡς ὁμοούσιον, ἀντιδιαστέλλοντες. μάτην ἄρα λέγετε κατὰ Γρηγόριον ἀριστῖ-
νον ἀπὸ τῆς δευτέρας συνόδου τὴν προσθήκην εἶναι, ἥτις μᾶλλον ὡς τὴν τῶν
5 ἡμιαρειανῶν δόξαν ἀριδήλως ἐμπεριέχουσα συνοδικῶς ἀναθέματι καθυπε-
βλήθη, καὶ τὸ ὀρθόδοξον ἁπλῶς δόγμα κατὰ τὴν τοῦ κυρίου φωνὴν ἐκπεφώνηται.

Φῂς ἔτι λογομαχῶν ὅτι αἱ δυτικαὶ σύνοδοι ἐδογμάτισαν τὸ δόγμα τοῦτο
τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, ὅτι καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται.
ταύτας οὖν τὰς συνόδους παρ' ἡμῖν μὴ οὔσας οὐκ ἴδομεν, ἐζητήσαμεν δὲ εἴπου
10 ἐν διαλέξεσι ταῖς μεταξὺ ἀνατολικῶν καὶ δυτικῶν γεγονυίας εἰσφέρονταί που,
ἀλλ' οὐδαμοῦ εὕρηνται. ὀψέποτε δέ, θεοῦ χορηγοῦντος εἰς τὴν τῆς ἀληθείας
σαφήνειαν ἐνετύχομεν βιβλίῳ τινὶ λατινικῷ σύνοψιν ἔχοντι τῶν συνόδων.
ἀνερευνήσαντες ἐν τούτῳ τοιγαροῦν δι' ἑρμηνέως εὕρομεν εἶναι συνόδους ἐν
τολέτῳ γενομένας, πρώτην φημὶ, τρίτην, καὶ ἑνδεκάτην φανερῶς ἐκ τοῦ υἱοῦ
15 τὸ πνεῦμα λεγούσας. ἦσαν δ' αὗται πρὸ τῆς οἰκουμενικῆς ἕκτης, περί που
τὸ ἑξακοσιοστὸν πεντηκοστὸν ἔτος καὶ τοπικαί. μάλιστα δὲ ἡ τρίτη τούτων, καὶ
ἀναθέματι ὑποβάλλει ἄγαν τολμηρῶς, τοὺς οὕτω μὴ φρονοῦντας. ἀλλ' ἔπει-
σί μοι θαυμάζειν, οὐχ ἧττον τῆς ἐκείνων παντολμίας, ἢ σὲ τῆς ἀφελείας.
πῶς εἰς σύστασιν τῶν σῶν λόγων ἀπὸ συνόδων, ἀποκρύφων μὲν ἡμῖν, ὑμῖν
20 δὲ μόνοις ἀναγινωσκομένων βούλει συνιστᾶν τοὺς σοὺς λόγους. ἔδει γὰρ
σε, ὦ λίαν ἔμπειρε τῶν ἐκκλησιαστικῶν πραγμάτων, ἀπὸ τῶν κοινῇ
ὁμολογουμένων τὰ λεγόμενά σοι ἀποδεικνύειν. ὅτι γὰρ αὗται αἱ σύνοδοι
οὐδ' ὀνομάζονται παρὰ τοῖς ἀνατολικοῖς εἴρηται, ὅτι δὲ οὔτε παρ' ὑμῶν ἐλή-
φθησάν ποτε εἰς μαρτυρίαν ὑμῖν πρὸς ἡμᾶς διαλεγομένοις, ἔξεστιν ἀκρι-
25 βῶς ἰδεῖν ἐκ τῶν πρακτικῶν τοῦ φλωρεντινοῦ συλλόγου ἐκείνου. φησὶ γὰρ ὁ
συρόπουλος, ὅτι κατὰ τὴν πέμπτην συνέλευσιν, ὁ ῥόδου ἀνδρέας προσε-
κόμισε τὴν ἐν τολέτῳ σύνοδον, καὶ ἑτέρας ἄλλας, ἃς οὐδ' ὀνομάζει, ὅ-
που καὶ πότε γεγένασιν, αἵ τινές φησιν ἀνεθεμάτιζον τοὺς τὴν προσθήκην μὴ
στέργοντας, ἀλλ' οὐδεὶς οὐδέποτε περὶ τούτων ἄλλος ἐκινήθη λόγος. καὶ ὁ μὲν
30 συρόπουλος οὕτω φησίν, ἃ δὲ πρακτικὰ ὑμεῖς ἐν ῥώμῃ ἐτυπώσατε, οὐδα-
μοῦ τούτων μνήμην πεποίηνται. μόνην γὰρ εὕρομεν, κατὰ τὴν ἕκτην συνέλευ-
σιν ζητηθεῖσαν ἀπὸ μέρους τῶν λατίνων, τὴν κατὰ φωτίου ὀγδόην λεγομένην.
ἥν τινα ὁ ἐφέσου ἀκυρωθεῖσαν ἀπεδείκνυεν οὕτως, ὥστε καὶ τὸν καρδηνάλιν ἰου-
λιανὸν εἰπεῖν· ὅτι ζητοῦμεν τὸ βιβλίον ἐκεῖνο, οὐχ ὅτι εἰπεῖν ἔχομέν τι περὶ
35 τῆς ὀγδόης, ἀλλ' ἵνα ἴδωμεν ἀπὸ τῆς ἕκτης καὶ ἑβδόμης τινά. ποῦ τοίνυν
πρὸς θεοῦ καιριώτερον ἦν ἐξετασθῆναι ταύτας ὑμῶν τὰς συνόδους, παρὰ ἐν-
ταῦθα, ὅπου καὶ ἐν ταῖς προλαβούσαις πέμπτῃ καὶ τετάρτῃ, οἱ ὅροι τῶν οἰ-
κουμενικῶν συνόδων ἀνεγινώσκοντό τε καὶ ἐσαφηνίζοντο ἐξηγούμενοι, καὶ ὁ ἀ-
γὼν ἅπας περὶ τῆς προσθήκης ἐνίστατο· ἀλλ' ᾐδοῦντο ὡς εἰκὸς οἱ δυτικοὶ
40 τὰς τοιαύτας συνόδους βεβαιοῦν. οὐχ ὅτι τοπικαὶ ἦσαν μόνον, καὶ οὐδεμί-
αν ἔχουσαι ἰσχὺν κατὰ τῶν οἰκουμενικῶν συνόδων, ἀλλ' ὅτι ᾔδησαν οἱ ὑμέτε-

Β': Γ': Δ': Ε'.

ροι, ὅτι νενοθευμένας εἶχον αὐτὰς ἀποδεικνύειν, ὡς καὶ τὸ τῆς ἑβδόμης σύμβολον, ἢ τὸ χείριστον, ἀσφαλῶς ἐσφαλμένας. ἢ καὶ μὴ νενοθευμένας, πῶς γὰρ οὐ διεσφαλμέναι, ὅπου ταῖς πρότερον οἰκουμενικαῖς ἁγίαις συνόδοις ἀντινομοθετοῦσι; πῶς οὐκ ἐσφάλησαν μεγάλα καὶ οὖσαι καὶ τολμῶσαι προσθεῖναι τῷ κοινῷ τῆς πίστεως ὅρῳ, πῶς οὐ παύτη ἀπαράδεκτος τοῖς ὀρθὰ φρονεῖν ἑλομένοις, αὕτη ἡ ἐν Τολέτῳ τρίτη, ἡ καὶ ἀναθεματίζειν τολμηρῶς καὶ ἀνερυθριάστως τοὺς μὴ πειθομένους αὐτῇ. ὅπου προδήλως καὶ ἀποστολικοῖς καὶ συνοδικοῖς κανόσιν ἐν τοῖς καιρίοις ἀντιλέγει. ἐν γὰρ τῷ τρίτῳ αὐτῆς κανόνι, τὸν ἀποστολικὸν πεντηκοστὸν ἀνατρέπει κανόνα, ἐκεῖσε γὰρ τοῖς ἀποστόλοις εἰς τρία βαπτίζειν βαπτίσματα νενομοθέτηται, αὕτη δὲ ἐν τῷ εἰρημένῳ ταύτης κανόνι εἰς μίαν μόνην κατάδυσιν βαπτίζειν ἐθέσπισεν, εἰ δὲ ἄλλα ἀντ' ἄλλων ἐπὶ τοῦτο προφασιζόμενοι φαίνονται, καὶ τὸ τοῦ Πάπα Γρηγορίου θέσπισμα ἐρωτηθέντος προβάλλουσιν, ἢ ὅτι διὰ τοὺς ἀρειανοὺς ἐν τρισὶ καταδύσεσι βαπτιζομένους τοῦτο πεποιήκασιν. ἀλλ' οὔτε Γρηγόριον ἔδει (καίπερ τοιοῦτον ὄντα) τοῖς ἀποστολικοῖς ἀντιβαίνειν κανόσιν. οὐθ' οἱ ἀρειανοὶ μόνοι ἐν τρισὶ καταδύσεσιν ἐβαπτίζοντο. ὥστε διὰ τούτους τοιαῦτα τολμᾶν. εἰ γοῦν ἀποδεκτέαι αἱ ἐν Τολέτῳ σοι σύνοδοι, εἰς μίαν βαπτίζειν νομοθετοῦσαι κατάδυσιν, ἀποδεκτέαι καὶ περὶ τῆς ἐκπορεύσεως, καὶ τὴν προσθήκην γράψασαι καὶ ἀναθεματίζουσαι. ἀλλὰ μὴν οὐ τὸ πρῶτον, οὐ δὲ τὸ δεύτερον ἄρα. αἰσχύνη ἄρα σοι τοιαῦτα λέγοντι. οὐκ ἄν ποτε γὰρ δυνηθείη, κυβευτική τις ἐπίνοια, ἀντισχεῖν πρὸς τὴν ἀκτῖνα τῆς ἀληθείας.

ζ´ Πλὴν ὅπως ὑπενόουν οἱ πάλαι λατῖνοι περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, ἤδη ἀπὸ τῆς τοῦ ἁγίου μαξίμου ἐροῦμεν ἐπιστολῆς. ὅτι καὶ περὶ τὴν ἕκτης συνόδου περὶ τὸ α ϖα´ ἔτος γεγενημένας ἐδόκουν μὲν ὅσον ταῖς φωναῖς μόνον οἱ ῥωμαῖοι τὴν, καὶ ἐκ τοῦ υἱοῦ τοῦ πνεύματος ἐκπόρευσιν ὁμολογεῖν. ἐγκαλούμενοι δὲ ὑπὸ τῶν ἀνατολικῶν ὡς ὕστερον καὶ μέχρι τοῦδε, οὐχ ὡς αἰτίαν ἀπελογοῦντο ποιεῖν τὸν υἱὸν τοῦ πνεύματος, ἀλλ' ἵνα τὸ συναφὲς τῆς οὐσίας δείξωσιν, ὥς φησιν αὐτολεξεὶ αὐτὸς ὁ θεῖος μάξιμος ἐν ἐκείνῃ τῇ ἐπιστολῇ. παραγινόμενος γὰρ οὗτος ἐν ῥώμῃ ἐπὶ μαρτίνου τοῦ ἁγιωτάτου Πάπα καὶ ὁμολογητοῦ, σύνοδον ἐκεῖ κατὰ μονοθελητῶν γενέσθαι παρεσκεύασε. καὶ τὴν γνώμην αὐτῶν ἐπὶ λέξεσιν οὕτως ἐρευνήσας παρεκάλει τούτους ἐκβαλεῖν τὰ παρείσακτα ἐκεῖνα καὶ σαφηνίζειν ἑτέραις λέξεσι καὶ ἑρμηνείαις τὸ περὶ τούτου δόγμα, ἵνα τὰς ὑποκλοπὰς τῶν ὑποπιπτόντων ἐκφύγωσιν. πλὴν, ἐπάγει, ἔθους κεκρατηκότος, οὕτω ποιεῖν, καὶ στέλλειν, οὐκ οἶδα τυχὸν, εἰ πεισθεῖεν. καὶ ταῦτα μὲν αὐτολεξεὶ γράφει πρὸς μαρῖνον πρεσβύτερον κύπριον, ἰδοὺ ὑποστρώννυμι καὶ τὰ κατ' ἀρχὰς τῆς ἐπιστολῆς.

„ Τῶν τανῦν ἁγιωτάτου Πάπα συνοδικῶν, δυσὶ μόνοις κεφαλαίοις ὑπελά-
„ βοντο οἱ τῆς βασιλίδος. τὸ μὲν ὅτι κἀκ τοῦ υἱοῦ, εἶπεν, ἐκπορεύεσθαι
„ τὸ πνεῦμα τὸ ἅγιον, τὸ δὲ ὅτι περιγέγραφεν, μὴ δίχα τὸν κύριον εἶναι προ-
„ πατορικῆς ἁμαρτίας ὡς ἄνθρωπον. καὶ τῷ μὲν πρώτῳ συμφώνους παρήγαγον
„ χρήσεις, τῶν ῥωμαίων πατέρων, ἔτι γε μὴν καὶ κυρίλλου ἀλεξανδρείας, εἰς

τὸν

τὸν εὐαγγελιστὴν Ἰωάννην. ἐξ ὧν οὐκ αἰτίαν τὸν υἱὸν ποιοῦντας τοῦ πνεύ-
ματος, σφᾶς αὐτοὺς ἀπέδειξαν. μίαν γὰρ ἴσασιν υἱοῦ καὶ πνεύματος τὸν πα-
τέρα αἰτίαν, τοῦ μὲν κατὰ γέννησιν, τοῦ δὲ κατ᾽ ἐκπόρευσιν. ἀλλ᾽ ἵνα τὸ δι᾽
αὐτοῦ προϊέναι δηλώσωσι, καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλα-
κτον παραστήσωσιν. ἴδε τοιγαροῦν ὅπως ἔλεγον οἱ περὶ τῆς ἕκτης συνόδου λα-
τῖνοι, καὶ ἐφρόνουν τὴν ἐκπόρευσιν. ἀλλ᾽ οὐ δὲ εἰ καὶ ἔλεγον προστεθεῖν τῷ συμ-
βόλῳ. ὁ γὰρ τῆς ἕκτης συνόδου ὅρος, ἀναγνωσθέντος ἀπαρατρώτως τοῦ
συμβόλου, ὡς ὑπὸ τῆς πρώτης καὶ δευτέρας συντέθειται, ἐπάγει ἀνάθεμα,
τοῖς καινοφωνίαν, ἤτοι, ὡς διατρανοῖ, λέξεως ἐφεύρεσιν, εἰσάγουσι τῷ συμ-
βόλῳ, καὶ τοῖς ὅροις τοῖς συνοδικοῖς· ἀλλὰ δὴ καὶ ἡ τετάρτη τῶν οἰκουμενι-
κῶν περὶ τοῦ συμβόλου τῆς, ά: (τί δὴ κωλύει νοεῖν τὸ αὐτὸ καὶ περὶ τοῦ τῆς δευ-
τέρας ὅπερ ἅμα τε ἀνέγνων καὶ τῷ τῆς πρώτης συνέταξαν.) οὕτω λέγει.
οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων
ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβήν. τίνος ἕνεκεν; ἄκουε. μεμνη-
μένοι τοῦ λέγοντος μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. οὐ γὰρ
ἦσαν αὐτοὶ οἱ λαλοῦντες ἀλλὰ τὸ πνεῦμα τοῦ θεοῦ καὶ πατρὸς ὃ ἐκπορεύεται
μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. ὁμοίως
καὶ κύριλλος περὶ τοῦ συμβόλου πρὸς ἀκάκιον λέγει. ἐπ᾽ αὐτῷ οὐκ ἔνι προσ-
θεῖναι, καὶ ἀπ᾽ αὐτοῦ οὐκ ἔνι ἀφελεῖν. καὶ ὁρμίσδας ὁ ἁγιώτατος πάπας,
γράφων πρὸς ἐπιφάνιον Κωνσταντινουπόλεως καὶ τὴν ἐκεῖ σύνοδον, περὶ τὸ
πεντακοσιοστὸν δέκατον ὄγδοον ἔτος, οὕτως ἀποφαίνεται. τέλεια τὰ τῶν πατέ-
ρων, καὶ προσθήκης οὐδέονται, καλῶς βέβαια, καὶ διὰ τοῦτο οὐκ ἀμειπτέα. ἡ δὲ
τῆς ἐπιστολῆς ἀρχὴ αὕτη. πολλῆς ἐπλήσθην χαρᾶς. ἴδε οὖν ἐκ λατίνου πα-
τρὸς καὶ τὸν λόγον, τίνος ἕνεκεν οὐ συγχωρεῖται σαλεύεσθαι τὸ σύμβολον, ἢ
τοὺς ὅρους τῶν συνόδων. προστίθησι καὶ ἡ τετάρτη ἕτερον λόγον· οὐ γὰρ ἦσαν αὐ-
τοὶ οἱ πατέρες λαλοῦντες, ἀλλὰ δι᾽ αὐτῶν τὸ πνεῦμα τὸ ἅγιον. οὕτως ἐμ-
περιέχεται τῷ ὅρῳ. εἰ γοῦν τὸ πνεῦμα τὸ ἅγιον ἐλάλει, τελείως καὶ ἀνελλι-
πῶς ἐλάλει. οὐ χρῄζομεν οὖν τινος προσθήκης, οὐ δὲ νεωτέρων πατέρων διορθώ-
σεως, ἢ μᾶλλον εἰπεῖν κιβδηλεύσεως. φησὶ γὰρ ὁ μέγας Βασίλειος ἐπιστολῇ
πρὸς ἀντιοχεῖς, ἧς ἡ ἀρχή. τίς δώσει μοι πτέρυγας. νεωτέρων πίστιν οὐδε-
χόμεθα, ἀλλ᾽ ἅπερ παρὰ τῶν πατέρων ἐδιδάχθημεν, πιστεύομεν. ἔστι δ᾽ ἡ ῥῆ-
σις τοῦ θείου διδασκάλου αὐτολεξεὶ τοιαύτη. πίστιν ἡμεῖς οὔτε παρ᾽ ἄλλων γρα-
φομένην ἡμῖν νεωτέραν παραδεχόμεθα. οὔτε αὐτοὶ τὰ τῆς ἡμετέρας δια-
νοίας γεννήματα παραδιδόναι τολμῶμεν, ἵνα μὴ ἀνθρώπινα λογίζωνται τὰ τῆς
εὐσεβείας ῥήματα. ἀλλ᾽ ἅπερ παρὰ τῶν ἁγίων πατέρων δεδιδάγμεθα ταῦτα
τοῖς ἐρωτῶσιν ὑμᾶς διαγγέλλομεν. καὶ εὐθὺς ἐπάγει τὸ σύμβολον τῆς ἐν νικαίᾳ
συνόδου. οὔπω γὰρ τὸ τῆς δευτέρας. εἰ τοίνυν Βασίλειος ἀπὸ τῶν ἀποστόλων
μόγις τετρακόσια ἔτη μεταγενέστερος, νεωτέρων φησὶ πίστιν οὐ δεχόμεθα.
ἀλλ᾽ ἡμεῖς οἱ χίλια καὶ τετρακόσια περίπου ἔτη, ἐπὶ τὰ τέλη τῶν αἰώνων ἀπόγο-
νοι, πῶς τοσούτων ἀρχαίων διδασκάλων πίστιν ἀθετήσομεν; ἵνα τῶν νεωτέ-
ρων ὑμῶν λατίνων καὶ συγχρόνων ἡμῖν, ἀλλὰ δὴ καὶ ὑπὸ τῶν περὶ ἡμῶν

μαθητευθέντων, τὰς καινοτομίας, καὶ κενοφωνίας ἀποδεξώμεθα. καὶ λέων δὲ ὁ ἁγιώτατος Πάπας πρὸς Φλαβιανὸν Κωνσταντινουπόλεως λέγει. ἔστι δὲ ἡμῖν παραφυλακτέον, ἵνα μὴ αἱ διαλυπώσεις τῶν πατέρων θεόθεν τὴν ἰσχὺν ἔχουσαι, καὶ εἰς τὴν τελειότητα τῆς πίστεως ἀνήκουσαι, φαύλη τινὸς ἑρμηνεία μολυνθῶσιν.

Ἀλλ᾽ ἐπὶ τὸν θειότατον μάξιμον ἐξ ἐπεισοδίου ἐπαναστρέψαντες, λέγομεν, ὅτι μαρτυρεῖ ὁ ἁγιώτατος ἐκεῖνος πατὴρ, πρόπαλαι φρονήσαντας ἄλλως λατίνους περὶ τῆς ἐκπορεύσεως ἤπερ ὡς κύριλλον καὶ τοὺς ἀνατολικούς. οὔτε μὴν προσθήκην γινομένην ἐν συμβόλῳ νοεῖν ἐφίησιν, ἀλλὰ μόνον ἐν ἰδίᾳ ἴσως ἐκθέσει. καὶ οὐκ ἄλλως δοξάζοντας τὸ ἐκ τοῦ υἱοῦ, ἢ τὸ διὰ υἱοῦ, καὶ τὸ συναφὲς, καὶ ἀπαράλλακτον τῆς οὐσίας, καὶ ταῦτα συνεπέραινον οἰκονομικῶς οὕτως οἱ πάλαι ἀνατολικοὶ, εἰς τὴν ἀνατροπὴν τῶν μειζόνων αἱρέσεων ἀσχολούμενοι. ἐθεράπευον δὲ τὸ τῶν λατίνων πάθος ἐν τοῖς συνοδικοῖς ὅροις, ἐπαπειλοῦντες αὐτοῖς λανθανόντως καὶ ἐπαρώμενοι, ὡς τοῖς προστιθεῖσι καὶ ἀφαιροῦσιν. ὧν γέμει ἀρχῶν καὶ ἡ ἑβδόμη τῶν οἰκουμενικῶν, καὶ ἡ πεντάρτη, καὶ ἡ ϛ′, πρώτη, καὶ δευτέρα ἤτοι ἡ τῶν κανόνων εἰς ἐχρῆν ταπεινῶς ὑπακούειν ὡς λαλοῦσιν ἐξ ἁγίου πνεύματος. καὶ μὴ τοσοῦτον ἰδίοις ἐπισφαλέσι φρονήμασι φιλαυτεῖν.

Η′ Πρὸς τὸ ὄγδοον κατ᾽ ἀρχὰς ἀποκρινόμεθα καὶ συμπεραίνομεν αὖθις. ὀρθόδοξον ἡγοῦντο τὴν λατινίδα οἱ ἀνατολικοὶ κἂν τῷ δοκεῖν κοινωνοῦντες. καὶ ὑπὸ ὀρθοδόξους τῷ δοκεῖν κἀκεῖνοι τὰς ἐμπεπλυσας ἀμφισβητήσεις ἐξετίθεντο. καὶ τὰ τῆς ἐκπορεύσεως κατὰ τὸν θεῖον μάξιμον συμφώνοις ἐξηγήσεσι πρὸς τοὺς ἀνατολικοὺς ὡμολόγουν. ἀλλὰ δὴ καὶ λέων ὁ τρίτος ὡς εἴδομεν ἐν τοῖς προστεθειμένοις ἱστορικοῖς κατὰ τὸ ὀκτακοσιοστὸν ἑβδομηκοστὸν ἔννατον ἔτος, ἄνευ προσθήκης τὴν ἀνάγνωσιν τοῦ συμβόλου ἐν ἀργυραῖς ἀσπίσι προὐβάλετο. καὶ βενέδικτος ἔτι τρίτος ἐπὶ ἰγνατίου τοῦ ἁγιωτάτου Κωνσταντινουπόλεως περὶ τὸ ὀκτακοσιοστὸν πεντηκοστὸν πέμπτον ἔτος (καθὰ ἱστορεῖ ὁ μοναχὸς ἐπιφάνιος) ὁρῶν τὴν λύμην τῆς αἱρέσεως ὡς φησὶ τὰ κατὰ ῥώμην νεμομένην, ἑλληνιστὶ παρέδωκε τὸ σύμβολον τῆς πίστεως, καὶ πρὸς τοὺς τέσσαρας Πατριάρχας ἐπέστειλε, μὴ παραδέχεσθαι τοὺς μετὰ ταῦτα προσηνωμένους τῆς ῥωμαϊκῆς καθέδρας, ἂν μὴ ὁμολογῶσι δίχα τῆς προσθήκης τὸ τῆς πίστεως σύμβολον. ὅπερ μέχρι χριστοφόρου Πάπα ἀκαινοτόμητον διετηρήθη. εἰ καὶ ἀπὸ φορμώσου ἤρξατο ὑπούλως ἡ ὁμολογία μετὰ προσθήκης μὴ γραφομένη μὲν, φρονουμένη δέ. ἕως ὅτου χριστοφόρος ἐτόλμησε κἂν ταῖς ὁμολογίαις ἐγγράφειν.

Ἔνστασις γ΄

καὶ : β΄ : ἐπιχείρημα·

Μέχρι μὲν τούτων ἐπεχείρησας τὸ πρῶτον πολλῷ παλαίτερον, ἢ ἐπὶ Φωτίου τὸ τῆς ἐκπορεύσεως δόγμα, καὶ τὴν προσθήκην· ὅπερ ἀνεσκευάσαμεν, ὡς προὐβάλλετο, ὅπως δ' ἀληθῶς εἶχε διεσαφήσαμεν. ἐπὶ τοῦ παρόντος ἑτέρῳ ἐπιχειρήματι χρώμενος, οὕτω συλλογίζῃ πρῶτον.

Α΄ Εἴπερ κοινόν τι ἐπὶ Φωτίου ἐδογμάτισεν ἡ λατινικὴ ἐκκλησία, οὐδὲν ἧττον ἐστὶν ἀληθὴς τοῦ θεοῦ ἐκκλησία, καὶ ὁ αὐτῆς διὰ τοῦτο ἀφιστάμενος, σχίσματός ἐστιν ἔνοχος, τῷ γὰρ ὑπὸ τῆς ἀποστολικῆς (ἤτοι ῥωμαϊκῆς) καθέδρας τὸ τοιοῦτον δόγμα δεδέχθαι μετὰ πάσης τῆς λατινίδος, ὅρος ἐστὶ πίστεως. ἀλλὰ μὴν ἡ λατινὶς ὅρον δεχομένη πίστεως μένει ἀληθὴς τοῦ θεοῦ ἐκκλησία, ἄρα καὶ δεχομένη τοιοῦτον δόγμα. τὴν μείζονα δεικνύεις οὕτως. ἡ ἀληθὴς ἐκκλησία κατὰ πίστιν διαμαρτεῖν οὐ δύναται. ἀλλὰ μὴν ἡ λατινὶς ἐν τῷ γενέσθαι τοιοῦτον ὅρον, ἦν ἀληθὴς τοῦ θεοῦ ἐκκλησία, ἄρα διαμαρτεῖν οὐκ ἠδύνατο. ἄρα οὔτε διήμαρτεν, ἄρα τὸ τοιοῦτον δόγμα διὰ τὸ τὴν ῥωμαϊκὴν συνδοκοῦσαν καθέδραν ἔχειν τὴν λατινίδα, ὅρος ἐγένετο πίστεως, ἄρα καὶ διέμεινεν ἡ λατινὶς ἀληθὴς ἐκκλησία, νέον δόγμα ἐκφωνοῦσα. καὶ ὁ αὐτῆς ἀφιστάμενος σχίσματός ἐστιν ἔνοχος.

Β΄ Ὅτι δὲ Φώτιος ἢ καὶ ἡ ἀνατολικὴ ἐκκλησία τὸν ὅρον οὐκ ἐδέξατο, οὐδὲν κωλύει, ὥστε μὴ εἶναι τὸν τῆς λατινίδος ὅρον πίστεως, καὶ γὰρ τὸν Φώτιον ἢ Πατριάρχην τινὰ χωρίζεσθαι διὰ τοῦτο, οὐδὲν ἧττον ἡ ὁρίσασα μετὰ τοῦ Πάπα ἐκκλησία μένει ἀληθὴς ἐκκλησία. ὥς ποτε Διόσκορος ὑπὲρ Εὐτυχοῦς ἀπέστη μετὰ πάσης Αἰγύπτου καὶ Λιβύης, ὅμως ἡ συνηνωμένη τῷ ῥωμαϊκῷ Πάπᾳ, ἤτοι τῷ ἁγίῳ τότε Λέοντι ἐκκλησία, ἴσχυσε κατὰ Διοσκόρου ἀποφήνασθαι.

Ἀπάντησις

Πρὸς τὸ πρῶτον.

Α΄ Ἀναποδείκτως προλαμβάνεις ὦ βέλτιστε τὸ, καὶ ἀσύστατον ὅπερ καὶ ἐν τοῖς ἑξῆς ἑδράσαι θέλων, εἰς κρημνοὺς διολισθαίνεις μάλιστα καταγελώμενος. οὐ γὰρ ἡ ῥωμαϊκὴ καθέδρα ὑπὲρ τὰς ἀποστολικὰς ἄλλας τι δύναται, ὡς καὶ κατωτέρω ἐν τῷ ἰδίῳ τόπῳ δειχθήσεται, κατὰ τὸ τέταρτον τμῆμα, θεωρήματι τρίτῳ, καὶ ἑξῆς. οὐδὲ γὰρ ἐστὶν ὑπὲρ ἀποστόλους. οἳ καὶ ἰδίᾳ ὡς θεόπνευστοι, καθὼς καὶ γραφὰς ἁγίας συντιθέναι, οὕτω καὶ ὅρους προστιθέναι ἠδύναντο πίστεως· καὶ γὰρ προβληθέντων τῶν κατὰ τὴν περιτομὴν, καὶ τῶν κατὰ τὰ νομικὰ ἀμφισβητημάτων (ὡς ἐν τῷ δεκάτῳ πέμπτῳ τῶν πράξεων φέρεται) συνῆλθον φησὶν ἅμα καὶ τοῖς λοιποῖς, τοῖς ὑπ' αὐτοὺς ἐπισκόποις, ἢ καὶ πρεσβυτέροις συνδιασκέψασθαι, καὶ ὁρίσαι. ἄνευ τοιγαροῦν οἰκουμενικῆς συνόδου οὐδέν τι δύναται θρόνος οἷός περ καὶ αὐτὴν νεωστὶ προκύψασαν μόνος ἀμφισβήτησιν διορίσαι, μήτοι γε ὁ ῥώμης, ἐπεὶ τοῦτ' αὐτὸ ἐγκαλούμενος. ὃ δὲ γελοιότατον ἐν τῷ σῷ ἐπιχειρήματι (πα-

ρὰς τὰ

(παρεὶς τὰ λοιπὰ) τοῦτο παρίστημι. ὅτι ἀνακύκλησιν πλημμελεῖς ἀπο-
δεικνύων περὶ τὸ ζητούμενον. προκειμένου γὰρ δεῖξαι, ὅτι καινοτομοῦσα περὶ
πίστιν ἡ λατινὶς, ἐστὶν ὅμως ἀληθὴς ἐκκλησία. τὸ ζητούμενον αὖθις ἀναλαμ-
βάνεις εἰς παράστασιν λέγων. ἡ ἀληθὴς ἐκκλησία. διαμαρτεῖν κατὰ πίστιν οὐ-
δύναται. ἀλλὰ μὴν ἡ λατινὶς ἐν τῷ δόγματι ὁρίζειν, ἣν ἀληθὴς ἐκκλησία.
ἄγε τῆς ἐντέχνου λεπτολογίας εἰς τὰ σοφίσματα. ἢ μᾶλλον ἀτέχνου λογο-
μαχίας εἰς τοὺς συλλογισμούς. καὶ πάλιν εἴπομεν κατ' ἀρχὰς θέσει: α':
καὶ: β': κολοβὴν εἶναι. εἰ καὶ ψευδῆ ἁπλῶς λαμβανομένην τοιαύτην πρό-
τασιν. οὐ γὰρ πᾶσα ἀληθὴς ἐκκλησία ἐστὶ καὶ ἀναμάρτητος. εἰσὶ γὰρ καὶ
αἱ μερικαὶ πᾶσαι, αἱ ὀρθοδοξοῦσαι δῆθεν ἀληθεῖς. οὐ μὴν περὶ τὰ περιβαλλό-
μενα ἀναμάρτητοι. εἰ μὴ μόνη ἡ καθολικὴ καὶ ἀποστολικὴ, εἰς ἣν πιστεύομεν
καὶ ὁμολογοῦμεν.

β' Πρὸς δὲ τὸ δεύτερον, πολλῶν οὐ χρήζομεν λόγων. μάλιστα περὶ φωτίου, ὃν
τοσοῦτον ἡμῖν ἀντιτείνεις. οὐ γὰρ ἐσμὲν ἡμεῖς φωτιανοὶ ὥστε παροξύνεσθαι
δι' ἐκεῖνον. ἀλλ' οὐδὲ κατὰ αὐγουστῖνον φάναι (βιβ: ιή. περὶ πόλεως θεοῦ
κεφαλ: νή:) πετριανοί. οὐ γὰρ εἰς Πέτρον πιστεύομεν, ἀλλ' εἰς ὃν ἐπί-
στευε Πέτρος. ἐσμὲν δὲ μᾶλλον καὶ καλούμεθα χριστιανοὶ τῆς καθολικῆς καὶ
ἀποστολικῆς ἐκκλησίας καὶ τοῦ σωτῆρος Χριστοῦ καὶ θεοῦ διὰ πίστεως, καὶ πνεύματος
ἁγίου τέκνα. ἀλλὰ δὴ καὶ φωτίῳ πλεῖστα ὀφείλομεν, τὸν καλὸν ὑπὲρ πίστεως
ἀγῶνα κατὰ τὸν ἀπόστολον τελέσαντι, καὶ τὴν πίστιν ἐν τῇ ἐκκλησίᾳ τηρήσαντι
ἀπαράτρεπτον, καὶ τοὺς ῥωμαϊκοὺς ἀρχιερεῖς, ἰωάννην μάλιστα, καὶ τοὺς περὶ
αὐτὸν τὴν ἀρχαίαν ἀλήθειαν καθομολογῆσαι γραφῇ καταναγκάσαντι. καὶ
ἐν τῇ ὑπ' αὐτὸν οἰκουμενικῇ συνόδῳ τοὺς ὅρους τῶν πατέρων καὶ τὰς ἀρὰς
τοῖς καινοτόμοις τρανώτερον ἀνακεφαλαιώσαντι. ἔχει δὲ οὕτως. εἴ τις ἑτέραν
ἔκθεσιν παρὰ τοῦτο τὸ ἱερὸν ἀναγνωσθὲν νυνὶ σύμβολον (τῆς β': συνόδου)
τολμήσειεν ἀναγράψασθαι καὶ ὅρον πίστεως ὀνομάσαι, συλῆσαί τε τὸ ἀξίωμα
τῆς τῶν θεσπεσίων ἀνδρῶν ὁμολογίας, καινόν τε μάθημα τοῦτο προστεθῆναι
πιστοῖς, ἢ τοῖς ἐξ αἱρέσεων ἐπιστρέφουσι, καὶ ῥήμασι νόθοις, ἢ προσθήκαις, ἢ
ἀφαιρέσεσι τὴν ἀρχαιότητα τοῦ ἱεροῦ τούτου καὶ σεβασμίου ὅρου κατακιβδηλεῦ-
σαι θρασυνθείη, εἰ μὲν τῶν ἱερωμένων εἴη, παντελεῖ καθαιρέσει καθυπο-
βάλλομεν. εἰ δὲ λαϊκῶν ἀναθέματι παραπέμπομεν, κατὰ τὴν ἤδη ἐξενεχ-
θεῖσαν καὶ πρὸ ἡμῶν ὑπὸ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων ἀπόφασιν. τὰ
αὐτὰ ἐξεβόησαν καὶ οἱ ἐκεῖ πατέρες, περὶ τοὺς: τ'ω: ὄντες, ἐπισφρα-
γίσαντες, ὅτι κατάκριτος ἔσω, καὶ πάσης χριστιανικῆς πολιτείας ἀπόβλη-
τος, ὁ τοιαῦτα τολμῶν. τὸ γὰρ ἀφαιρεῖν, φησὶν ἢ προστεθῆναι, ἀτελῆ τὴν εἰς
τὴν ἁγίαν τριάδα μέχρι τήμερον κατιοῦσαν ἀνέκαθεν ἡμῶν ὁμολογίαν δεί-
κνυσι. καὶ τῆς ἀποστολικῆς παραδόσεως, καὶ τῆς τῶν πατέρων διδασκαλίας κα-
ταγινώσκει. καὶ τὸ κράτιστον, παραλαβόντες οἱ τοποτηρηταὶ τοῦ Πάπα Παῦλος καὶ
εὐγένιος οἱ ἐπίσκοποι, καὶ Πέτρος πρεσβύτερος καὶ καρδινάλιος, εἶπον. πρέ-
πον ἐστὶ μὴ ἕτερον ὅρον καινουργηθῆναι, ἀλλ' αὐτὸν τὸν ἀρχαῖον, καὶ ἀνὰ πᾶσαν
τὴν οἰκουμένην κρατούμενόν τε, καὶ δοξαζόμενον ἀναγνωσθῆναι, καὶ ἐπιβεβαιω-
θῆναι.

θῆναι. μετὰ δὲ τὴν ἀνάγνωσιν αὐτῆς τῆς προσθήκης ἐξεφωνήθησαν τὰ προγραφέντα.
Ἴδωμεν νῦν καὶ τὴν πρὸς Φώτιον Ἰωάννου τοῦ Πάπα ἐπιστολὴν, ἣν ὑμεῖς κατὰ
πολλὴν ἄδειαν ὡς νόθον συκοφαντεῖτε, ὡς καὶ ἄλλα πλεῖστα, καὶ σχεδὸν εἰπεῖν
ὅσα τῇ δόξῃ ὑμῶν ἐναντιούμενα φαίνονται. καὶ ἐκ ταύτης γὰρ τῆς ἐπιστολῆς
5 ἀριδήλως ἔστι μαθεῖν, οὐκ ἐν τῇ ῥωμαίων ἐκκλησίᾳ τότε λεγομένην τὴν προσ-
θήκην, ἀλλαχοῦ δέ, ὃ καὶ περιελεῖν ὁ Πάπας ἐσπούδαζε. φησὶ δὲ ῥηταῖς
λέξεσι μετὰ πολλά.

Ἐκ τῆς ἐπιστολῆς Ἰωάννου Πάπα πρὸς Φώτιον
Κωνσταντινουπόλεως μετ' ὀλίγα.

10 Ἡ σὴ ἀδελφότης ἐπίσταται, ὡς ὅταν παρεγένετο πρὸς ἡμᾶς ὁ μικρὸν ἔμ-
προσθεν ἀποσταλεὶς παρ' αὐτῆς, καὶ περὶ τοῦ ἁγίου συμβόλου ἡμᾶς ἐ-
δοκίμασεν, εὗρεν ἀπαράτρεπτον, καθὼς ἀρχῆθεν παρεδόθη ἡμῖν,
διατηροῦντας. καὶ μήτε προστιθέντας τι, ἢ ἀφαιροῦντας. ἀκριβῶς εἰ-
δότας, ὡς τοῖς τὰ τοιαῦτα τολμῶσι, βαρεῖα καταδίκη ἀναμφίβολως ἀπόκει-
15 ται. καὶ πάλιν οὖν παραδηλοῦμεν τῇ σῇ σεβασμιότητι, ἵνα περὶ τοῦ ἄρθρου
τούτου, δι' ὃ συνέβη τὰ σκάνδαλα μέσον τῶν ἐκκλησιῶν τοῦ θεοῦ, ἔχῃ πλη-
ροφορίαν εἰς ἡμᾶς, ὅτι οὐ μόνον οὐ λέγομεν τοῦτο, ἀλλὰ καὶ τοὺς πρῶτον θα-
ῤῥήσαντας, τῇ ἑαυτῶν ἀπονοίᾳ τοῦτο ποιῆσαι, παραβάτας τῶν θείων λό-
γων κρίνομεν, καὶ μεταποιητὰς τῆς θεολογίας τοῦ δεσπότου Χριστοῦ καὶ τῶν λοι-
20 πῶν Πατέρων, οἳ συνοδικῶς συνελθόντες, παρέδωκαν τὸ ἅγιον σύμβολον.
καὶ μετὰ τοῦ Ἰούδα αὐτοὺς τάττομεν, ὅτι καὶ ταυτὸν ἐκείνῳ τετολμήκασι, τοὺς
πιστοὺς τὰ μέλη τοῦ σώματος αὐτοῦ διασχίσαντες καὶ τεμόντες ἀλλήλων καὶ
οὕτως αἰωνίῳ παραπέμψαντες θανάτῳ, καὶ μᾶλλον ἑαυτοὺς, κατ' ἐκεῖνον
ἀποπνίξαντες. οἰόμεθα δὲ μηδὲ τὴν σὴν ἱερότητα ἀγνοεῖν ὡς οὖσαν νουνεχῆ
25 καὶ πλήρη σοφίας, ὅτι καὶ τοὺς λοιποὺς ἡμῶν ἐπισκόπους, καταπεῖσαι οὕτω
φρονεῖν, εἰς δυσχέρειαν ἡμῖν οὐ μικρὰν ἐμπίπτει. ὅτι πρᾶγμα τι θειότερον,
οὕτω ταχέως μεταβαλεῖν, οὐδεὶς ἂν εὐκόλως δυνηθείη. εἰ καὶ βραχεῖ χρό-
νῳ τὴν ἔναρξιν εἴληφε. καὶ οὐκ ἔστι παγιωθὲν ἐκ πολλῶν ἐνιαυτῶν· καὶ διὰ
ταῦτα καλῶς ἔχειν ἔδοξεν ἡμῖν, ἵνα μὴ μετὰ βίας ἀναγκασθῇ τις παρ' ἡ-
30 μῖν, ἐάσαι τὴν προσθήκην ἣ ἔφθασεν ἐν τῷ συμβόλῳ προστεθῆναι. ἀλλὰ
μᾶλλον μετὰ ἐπιεικείας καὶ οἰκονομίας παρασκευάσαι τούτους, κατὰ βραχὺ
παραινοῦντας, ἀποστῆναι τῆς βλασφημίας. ποιμάνατε γὰρ φησὶ, τὸ ἐν ὑ-
μῖν ποίμνιον οὐκ ἀναγκαστῶς, ἀλλ' ἐπιεικῶς. οὐδ' ὡς κατακυριεύοντες,
ἀλλ' ὡς τύποι γενόμενοι ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος ἔφη. οἱ τοίνυν
35 οὕτως ἡμῶν κατηγοροῦντες, ὡς τοῦτο φρονούντων, οὐκ ἀληθείᾳ πρὸς τὴν κα-
τηγορίαν κέχρηνται. ὅσοι δὲ περὶ τῆς ἐμῆς γνώμης τοῦτο οὐκ ἀμφιβάλλουσιν,
ἄλλοις δέ τισι τετολμημένον καὶ νῦν καθ' ἡμᾶς, καταγγέλλουσιν· οἱ τοιοῦτοι οὐ
ψευδῶς λέγουσι· τῇ σῇ τοίνυν ἀδελφότητι ἁρμόζει, μήτι ἔχειν καθ' ἡμῶν
σκάνδαλον, μὴ δὲ ἐκκόπτειν τοῦ λοιποῦ τοῦ τῆς ἐκκλησίας ἡμᾶς σώματος.
40 ἀλλὰ μᾶλλον συναγωνίζεσθαι ἡμῖν μετ' οἰκονομίας καὶ ἐπιεικείας. καὶ τοὺς
λοιποὺς, ὅσοι τῆς ἀληθείας ἐξέκλιναν, πρὸς αὐτοὺς ἐπανάγειν, ἵνα δὴ καὶ τὸν

ὑπὲρ

ὑπὲρ τούτου μισθὸν σὺν ἡμῖν οἱ αὐτοὶ λήψονται, ἔῤῥωσο.

Καὶ ταῦτα μὲν Ἰωάννης ὁ Πάπας. ὅσα δὲ ἐκ τούτων καρποῦσθαι ὑπὲρ τῆς ἀληθείας τοῦ ζητήματος, πρόδηλον. καὶ ποταπὸς ὁ φώτιος, καὶ οἵας ὑπολήψεως οἱ τότε Πάπαι, καὶ ὅσον νεαρὸν τὸ δόγμα, καὶ ὅτι βλάσφημον ἔκρινεν Ἰωάννης, καὶ διορθοῦν τοὺς οὕτω φρονοῦντας ἠγωνίζετο, καὶ ἑαυτοῦ ὑπεραπελογεῖτο, δεδιὼς τὴν ἀπὸ τῶν διπτύχων ἐκβολήν.

Ἀλλ' ὑμεῖς ὡς εἴπομεν ὡς νόθον τὴν ἐπιστολὴν ἀποσείεσθε. τοῦτο γὰρ συνήθες πρὸς τὰ ἰσχυρῶς ὑμῖν ἀντιτιθέμενα. ὁμοίως καὶ τὴν μαξίμου ἣν προσηνέγκαμεν. ἣν ὑμεῖς οἱ λατῖνοι ὡς μὲν δοκοῦσαν ἀνέκαθεν μαρτυρεῖν τὸ δόγμα καὶ πρὸ τῆς ἕκτης συνόδου (τάχα δὲ καὶ τὴν προσθήκην) ὡς ἕρμαιόν τι τίμιον εὑρόντες, αὐχεῖτε καὶ ἐπαγάλλεσθε. ὡς δὲ κατὰ τὰς φωνὰς παραδηλοῦσαν, μὴ εἶναι καὶ τὴν τῆς ἐκπορεύσεως τοῦ πνεύματος ἐκ τοῦ υἱοῦ ὡς αἰτίου διάνοιαν ἀκούοντες δυσχεραίνετε. καὶ ὡς μὴ ὁλόκληρον οὖσαν. (τὴν καὶ ὁλόκληρον ταυτὶ εὑρισκομένην παρὰ Νείλῳ τῷ θεσσαλονίκης, ἐν οἷς περὶ τῆς διαφορᾶς ταύτης ἐπραγματεύσατο.) ἀπαγορεύετε. ὕστερον ἐπὶ ταύτῃ τῇ ἐπιστολῇ τὴν ἕνωσιν οἱ ἀνατολικοί. καὶ ἐρωτήσαντες ὑμᾶς λιπαρῶς, οὐκ ἀπημείψασθε συνελεύσει εἰκοστῇ τρίτῃ. περὶ τὸ τέλος μᾶλλον κατὰ συρόπουλον ἐνδεκάτῃ συνελεύσει παρὰ τὸ σκευοφυλάκιον τοῦ ἁγίου φραγγίσκου ἐν φεῤῥαρίᾳ συνελεύσει ἑβδόμῃ, ἐξαιτησαμένοις τοῖς γραικοῖς, ἐδέχεσθε τὴν ἐπιστολὴν τοῦ ἁγίου μαξίμου, ἐπεὶ ὁ ῥόδου φρὰ ἀνδρέας αὐτὴν προλαβὼν ὑπὲρ λατίνων προὐβάλλετο, ἐπαχθῶς ἀπεκρίθητε. ὅτι καὶ τῷ ἀρχιεπισκόπῳ ἐπεπλήξατε καὶ ἐπεσκώψατε προθεμένῳ ταύτην. οὕτως ὑμεῖς ἐναντίως φρονεῖτε περὶ τοῦ αὐτοῦ καὶ ἑνὸς πράγματος, καὶ ὁτὲ μὲν ἀποδέχεσθε, ὁτὲ δὲ ἀποβάλλετε. ὅπερ ἴδιον ἀνδρὸς ἀτάκτως πηδῶντος, καὶ τὰ ἴχνη τῶν ποδῶν ἄνω καὶ κάτω τεταραγμένα ὑποκινοῦντος, ὥσπερ ἡ τραγῳδία ποιεῖ τὸν μαινόμενον ἅπαντα. πλὴν ἀλλ' ἡμῖν ἀγὼν οὐ πρόκειται νῦν περὶ τῆς γνησιότητος τῶν προσκομιζομένων. περὶ ὧν οὐδὲν ἀμφιβάλλομεν, ἔχων πρὸς ἄλλα στοιχεῖα παραπλήσια, ὥστε καὶ λειπομένων αὐτῶν, οὐδὲν ἐπάγεται πρόσκομμα τῇ ἀληθείᾳ.

Ὃ δὲ προβάλλεις, ὅτι τὸ χωρίζεσθαι φώτιον ἢ τινὰ Πατριάρχην μετὰ τῆς αὐτοῦ διοικήσεως ἀπὸ τῆς ὁμολογίας τῆς λατινίδος, οὐδὲν ὅμως κωλύει μὴ τὴν αὐτὴν εἶναι ὀρθοδόξως τὰ τῆς πίστεως ὁρίζουσαν. πῶς διὰ παραδείγματος τοῦ διοσκόρου παριστάντες εἰς ἀπόδειξιν; ὁ γὰρ διόσκορος, οὐκ ἀπὸ τῆς λατινίδος, ἀλλ' ἀπὸ τῆς οἰκουμενικῆς ἀπεῤῥάγη συνόδου. καὶ οὐκ ἀπὸ τοῦ λέοντος, ἀλλ' ἀπὸ πάντων τῶν θρόνων καὶ αὐτῷ λέοντι συνηνωμένη ἦν ἡ οἰκουμενικὴ τετάρτη σύνοδος, ἀλλὰ τῇ συνόδῳ ὁ λέων. καὶ ἡ σύνοδος τῷ χριστῷ, καὶ οὐ μετὰ διοσκόρου συναπήχθη, ὡς φῂς, ἡ λιβύη πᾶσα, καὶ αἴγυπτος. μετὰ γὰρ τὸν καθαιρεθέντα διόσκορον πάσης ἐκείνης τῆς διοικήσεως, προέστη ὁ ἅγιος προτέριος, καὶ μετ' αὐτὸν ὁ ἅγιος τιμόθεος, οὐχ ὁ τυραννήσας αἴλουρος, ἀλλ' ὁ σαλοφακίολος λεγόμενος. καὶ μετ' αὐτὸν Ἰωάννης. ὑπὲρ οὗ κατὰ Πέτρου τοῦ μογγοῦ οἱ τότε Πάπαι σιμπλίκιος καὶ φῆλιξ ὑπερηγωνίσθησαν. καὶ ἵνα τοὺς μεταξὺ παρέλθω, ἀθανάσιον καὶ ἑτέρους δύο Ἰωάννας,

καὶ διό

καὶ Διόσκορον ἕτερον, καὶ Τιμόθεον ἕτερον καὶ καλλίνικον, καὶ Θεοδόσιον, πα-
ρήτω ὁ ἐπὶ τῆς πέμπτης συνόδου Ἀπολινάριος, καὶ ὁ μετ' αὐτὸν Ἰωάννης,
καὶ ὁ ἐπὶ Γρηγορίου τοῦ ἁγιωτάτου Πάπα ἁγιώτατος εὐλόγιος, καὶ Θεό-
δωρος ὁ γραφεύς, καὶ Ἰωάννης ὁ ἐπιώνυμος ἐλεήμων, ἐφ' οὗ αἰχμά-
5 λωτος ὑπὸ ἀράβων ἡ Ἀλεξάνδρεια, ὃν ὁ Γεώργιος διεδέξατο, ἀφ' οὗ Κῦ-
ρος ὁ μονοθελήτης, καὶ Πέτρος ὀρθόδοξος ἐπὶ τῆς ἕκτης, καὶ πολιτιανὸς
ἐπὶ τῆς ἑβδόμης, καὶ Μιχαὴλ ἐπὶ τῆς Φωτίου· καὶ καθεξῆς ἕτεροι ὀρθό-
δοξοι· πῶς οὖν λέγεις συναπορραγῆναι Διοσκόρῳ τὴν Αἴγυπτον πᾶσαν, εἰ
καὶ μέρος ἀπεκλάσθη, ὧν οἱ νῦν κόπται ἀπόγονοι; μὴ δῆτα ὑπερυψῶσαι
10 τὸν ῥώμης θρόνον προελόμενος, τὴν ἀλήθειαν εἰς τὸν βάραθρον καταγάγῃς
ἢ μᾶλλον τὴν σύμπασαν ἐκκλησίαν ἀδικήσῃς. μένει οὖν σοι ἐκ τούτων οὐ
μόνον ἀναπόδεικτον τὸ προβληθὲν, ἀλλὰ καὶ κατασεσοφισμένον φωραθὲν, διὰ
τῆς εἰς τὸ ζητούμενον ἀνακυκλήσεως. Ἴδωμεν οὖν καὶ τὸ τρίτον ἐπιχείρημα.

ἘΝΣΤΑΣΙΣ Δ΄

15 Τρίτον ἐπιχείρημα. οὕτως

Ἅπερ ἀπελέγχουσιν ἐν λατίνοις οἱ ἀνατολικοὶ δόγματα ῥητῶς, ἀπὸ
τῶν ἁγίων διδασκάλων τῶν ἐν λατίνοις ἐκλαμβάνονται. ἀλλὰ μὴν
αὐτοὺς ἀποδέχεται καὶ πάντα ἡ πέμπτη σύνοδος (πράξει τετάρτῃ) ἄ-
ρα οἱ τὰ δόγματα τῶν λατίνων ἀπελέγχοντες, τὴν πέμπτην σύνοδον ἀ-
20 πελέγχουσιν. ἁγίους τέσσαρας ὀνομάζει ῥητῶς ἡ σύνοδος· ἀμβρόσιον, Ἰ-
λάριον, αὐγουστῖνον, καὶ λεόντα ἐν τοῖς λατίνοις, καὶ τοὺς ἄλλους ἔτι φησὶν
ἁγίους ἀποδέχεσθαι καὶ ὀρθοδόξους Πατέρας, οἵτινες ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκ-
κλησίᾳ, τὴν ὀρθὴν πίστιν ἀμέμπτως μέχρι τέλους ζωῆς αὐτῶν ἀνεκήρυξαν.
κἀκ τούτων συνάγεις καὶ τοὺς μὴ ῥητῶς ὀνομασθέντας, προειρημένους δὲ
25 τοῖς ἐγκειμένοις συνέχεσθαι. οἷον τὸν ἱερώνυμον, καὶ Γρηγόριον τὸν διάλογον.

ἈΠΑΝΤΗΣΙΣ

Εἰ τῶν σκοπῶν τῶν ὑπὸ τῆς συνόδου γεγραμμένων ἐπέστησας, οὐκ ἂν το-
σούτῳ προχείρως ἐπεχείρεις. τί γὰρ ἄλλο συνάγεται ἐκ τοῦ συλλογισμοῦ σου,
ἢ ὅτι καὶ τὴν σύνοδον ἀσφαλῆ πάντα τὰ γεγραμμένα, καὶ ἀναντί-
30 ῥῥητα τὰ τῶν ἁγίων πατέρων, καὶ ἑπομένως δεῖν αὐτοῖς προσέχειν ὡς ἁ-
γιογράφοις; ὅπερ τίς οὐκ εὐθέως ἂν παράλογον κρίνειεν, εἰδὼς ὅτι πο-
λλὰ πολλάκις πρὸς ἀλλήλους διαφέρονται γράψαντες; ἔστι μὲν οὖν ὁ σκοπὸς τῆς
συνόδου πρῶτον διδασκάλους ἀναγνωρίζειν τῆς ἐκκλησίας τοὺς τοιούτους, ἤτοι
τοὺς ἀμέμπτως ἐν ὀρθοδόξῳ πίστει ἀποβιώσαντας. δεύτερον ὅταν λέγει πάν-
35 τα, καὶ κατὰ πάντα. συστέλλει ῥητῶς ἐπιφέρουσα, τά τε περὶ τῆς ὀρθῆς πίστεως καὶ
ἀνατροπῆς τῶν αἱρέσεων ἐξέθεντο. τὸ δὲ δόγμα τῆς ἐκπορεύσεως καὶ ἐκ τοῦ υἱοῦ,
οὔπω εἰς ἀμφισβήτησιν ἦν τηνικαῦτα. τοιγαροῦν κατὰ τὸν σκοπὸν τῆς συνόδου
ἡ τοιαύτη ἐκπόρευσις οὐχ ὑπενοεῖτο, μᾶλλον δὲ οὔτε ἐσέβετο, ῥητῶς γὰρ λέ-
γειν ταύτην, καινοτομία ἐκρίνετ' ἄν, κατὰ τῶν πρὸ αὐτῆς συνόδων ἀντι-

βαίνουσα.

βαίνουσα. Ἔτι Ἑλληνικῆς φωνῆς πατέρες, πῶς ἂν τοσούτων λατίνων διδασκά-
λων βίβλους ἄνευ ἑρμηνείας τε καὶ μακρᾶς ἐρεύνης ἠδύναντο κατὰ πάντα δο-
κιμάζειν καὶ ἀποδέχεσθαι, ὃν τρόπον αὐτὸς ἐκλαμβάνεις; καὶ εἰ μόνος αὐγου-
στῖνος τοσαῦτα, περὶ ὧν ἐγεγράφει, μεταμελόμενος διωρθώσατο, πῶς ἄρα
εἰ μὴ ἐπανορθώσαιτο (καθὼς οὐδεὶς ἄλλος τοῦτο διαπραξάμενος ἔγνωσται)
ἔμελλεν ὑπ' αὐτῶν οὕτως ὡς ἀψευδῆ τὰ ψευδῆ μεθ' ὕστερον ἐλεγχθέντα, ἐπι-
βεβαιώσασθαι; οὐχ ἁπλῶς ἄρα πάντα τὰ τῶν ἁγίων, ἀλλὰ συνεσταλμένως
ἐνεκολπώσατο, ὅσα σύμφωνα δήπου πρὸς ἀλλήλους, καὶ στοιχοῦντα τῆς γρα-
φαῖς, εἰς ἀναίρεσιν τῶν αἱρέσεων καὶ τῶν τηνικαῦτα μάλιστα. μάρτυς αὐτὸ
πολλῶν παρέστω περὶ ἑαυτοῦ ὁ θειότατος αὐγουστῖνος πολλάκις περὶ τούτου διαγο-
ρεύων. καὶ μάλιστα ἐπιστολῇ τεσσαρακοστῇ ὀγδόῃ πρὸς βιγκέντιον. μὴ ζυνά-
γης (φησὶ) κατὰ τῶν θείων μαρτυριῶν συκοφαντίας ἐκ συγγραμμάτων τῶν
ἐπισκόπων, εἴτουν εἰ ἱλαρίου, κυπριανοῦ, καὶ τῶν λοιπῶν. τοῦτο γὰρ τὸ γένος
τῶν γραφῶν ἀπὸ τῶν κανονικῶν διαιρεῖται. οὐ γὰρ οὕτως ἀναγινώσκονται, ὥστε
καὶ ἐναντία μὴ φρονεῖν μὴ ἐξεῖναι, ἐὰν ἴσως που ἄλλως ἐφρόνησαν, ἢ τὸ ἀ-
ληθὲς ἀπαιτεῖ. ὁ αὐτὸς τὰ αὐτὰ καὶ πρὸς ἱερώνυμον ἐπιστολῇ ιθ': ἐγὼ φησὶ
μόναις ταῖς κανονικαῖς γραφαῖς ταύτην ἔμαθον τὴν εὐλάβειαν καὶ τιμὴν
ἀπονεῖμαι, ὥστε μηδὲν ἐσφάλθαι τοὺς αὐτὰς συγγράψαντας στερρότατά
με πιστεύειν. τοὺς δ' ἄλλους οὕτως ἀναγινώσκω, ὥστε καὶ ὅσῃ περ διδασκαλίας
ἁγιοσύνῃ διέπρεψαν, οὐ διὰ τοῦτο πιστεύειν με ἀληθὲς διότι οὕτως ἐφρόνη-
σαν, ἀλλ' ὅτι με ἢ διὰ γραφῆς κανονικῆς ἢ λόγῳ τινὶ πιθανῷ πείθειν ἠδύναν-
το. καὶ πάλιν ὁ αὐτὸς βιβλίῳ δεκάτῳ πέμπτῳ εἰς τὴν γένεσιν, μείζων φη-
σίν ἐστιν ἡ τῆς ἱερᾶς γραφῆς αὐθεντία, ἢ πᾶσα νοὸς ἀνθρωπίνου ἀγχίνοια.
καὶ σαφέστερον, περὶ τῆς τῆς ἐκκλησίας ἑνότητος λέγει: κεφαλαίῳ: ι: οὐ δὲ
τοῖς καθολικοῖς ἐπισκόποις συμφωνητέον, ἐάν που διαμαρτάνωσι κατὰ τῶν
κανονικῶν γραφῶν τι φρονοῦντες. ἐῶ νῦν λέγειν, ὅτι καὶ ὁ μέγας Βασίλει-
ος ταυτὰ νουθετεῖ, καί τινων τοῦ ἱερομάρτυρος διονυσίου περὶ τοῦ ἀδέκτου τῶν
πεπουζηνῶν βαπτίσματος ἐπιλαμβάνεται εἰ καὶ ὡς ἀρειανισμὸν ἀπόζοντος, μι-
κροῦ δεῖν καὶ τοῦ τοῦ θαυματουργοῦ Γρηγορίου ἐν οἷς πρὸς τὸν ἀδελφὸν Γρηγό-
ριον ἐπιστέλλει. εἰ τοιγαροῦν ἡ: ε': ζωνοδος τοῦ Μακαρίου αὐγουστίνου, καὶ
τῶν ἄλλων ἁγίων διδασκάλων ἀπεδέξατο τὰ φιλοπονήματα. οὕτω δήπουθεν
ὑποληπτέον ὃν τρόπον τὰ τῶν ἄλλων ἁγίων αὐτὸς ἀποδέχεται, καὶ οὐχ ὡς
ὑπολαμβάνεις αὐτὸς κατὰ πάσας τὰς συλλαβάς.

Ὃ δὲ λέγεις περὶ τῶν αἰωνομάστων, οὐκ ἀντιλέγω κἀγὼ τούτους συμπερι-
λαμβάνεσθαι. ἐμὴν δὲ Γρηγόριον τὸν διάλογον παλαίτερον δέχομαι,
ὃν ὑπὲρ τὰ τεσσαράκοντα ἔτη μετὰ τὴν σύνοδον ἐκ τῆς τῶν ἱστοριῶν χρονο-
λογίας εὑρίσκω προεδρεύσαντα.

Ἐπιμέμφῃ μετὰ ταῦτα ἐν τῇ ἐκθέσει τοῦ ἄνω μείζονος, τοὺς ἀνατο-
λικοὺς, ὡς ὀλιγωροῦντας τῶν ἐν λατίνοις ἁγίων, καὶ τὴν ἔλλα-
μψιν τοῦ ἁγίου πνεύματος ἐν τοῖς ἀνατολικοῖς μόνοις περιορίζοντας, καὶ
δογματισταῖς τοῖς αἱρετικοῖς παραβάλλεις, ταυτό περ περὶ ἑαυτῶν κἀκείνοις αὐ-
χοῦσιν.

χοῦσιν, ἀλλ' ἡμεῖς ὦ γαθὲ χρηστῶν πατέρων εὐπειθεῖς ἔφυμεν παῖδες, καὶ
τὰς αὐτῶν ἐντολὰς καὶ παραδόσεις οὐ παραβαίνομεν. εἰ τοὺς ἐν λατίνοις ἁ-
γίους ἡ :ε: σύνοδος ἀπεδέξατο καὶ περὶ ταύτης διακοινωνίας αἱ γεγενημέναι
σύνοδοι, καὶ οἱ κατὰ καιρὸν διδάσκαλοι καὶ ποιμένες. πῶς οὖν ἡμεῖς παραι-
5 τησόμεθα; ἀλλὰ τιμῶμεν καὶ ὑπακούομεν, καὶ ἑπόμεθα, καὶ ἑορτάζομεν οὐ-
δὲν ἧττον ἢ τοὺς αὐτοὺς ἀνατολικούς. πόθεν σοι πρὸς ἡμᾶς τὰ τῆς συκοφαντί-
ας ταύτης ὦ βέλτιστε; πόθεν μαρτυρεῖς τὰ τῆς μέμψεως; πόθεν ἀνα-
γνοὺς ἐκ τῶν ἡμετέρων διδασκάλων πρὸς ἡμᾶς τὸν ψόγον ἀντέτεινας; ὅθεν
σοι δήποθεν καὶ τὸ ἀπεικάζειν ἡμᾶς τοῖς περὶ δονάτον. ἀλλ' ὅγε σοι καὶ τῆς πρὸς
10 ἡμᾶς βλασφήμου σου ὑπολήψεως. πλὴν εἰ καὶ ὡς θεοσπουδάστους περὶ τὴν ὀρθο-
δοξίαν ὁμολογοῦμεν καὶ τοὺς παρὰ λατίνοις ἁγίους πατέρας, ὅμως ἀλλή-
λων τούτων κἀκείνων διαφερομένων, πολὺ μέσον ἡγούμεθα καὶ τὸ διά-
φορον ἀπὸ τῆς ἐκθέσεως τῶν ἁγίων γραφῶν. οὐ γὰρ δήπου καὐτοί γε ἀρνήσε-
σθε, εἰλικρινέστερον διαυγάζειν τὸν νοῦν τῶν θείων λογίων ἐν τῇ ἑλληνίδι ἢ
15 ἐν τῇ λατινίδι φωνῇ, ὡς δῆλον δι' ἑρμηνείας οὐδέποτε κρεῖττον, ἢ κατὰ ἀ-
κρίβειαν δυνατὸν ἀφικνεῖσθαι τοὺς ξένους καὶ ἀλλογλώττους εἰς τὴν κατάληψιν,
ὑπὲρ τοὺς χρωμένους τῇ οἰκείᾳ φωνῇ. κἀντεῦθεν τοσαῦτα μάταια παρ' ὑμῖν
ζητήματα οὐ μόνον διὰ τὴν ἄγνοιαν τῆς ἑλληνίδος, ἀλλὰ καὶ διὰ τὸ οὐκ
ὀρθὸν (οὐκ οἶδ' ὅπως) τῆς ἑρμηνείας. ὡς τὸ περὶ προορισμοῦ τοῦ Χρι-
20 στοῦ, ὅπου κατὰ τὸ πρῶτον πρὸς ῥωμαίους. οὐ λέγει Παῦλος προορισθέντος
υἱοῦ θεοῦ. ἀλλ' ὁρισθέντος. καὶ ἵνα παραλείπω τὰ κουφότερα, τὰ ἐν
τῷ :ιε: κεφ. τῆς α' πρὸς κορινθίους, στίχῳ ε'. ὅπου κεῖται παρὰ λατίνοις
ἕνδεκα ἀντὶ δώδεκα. καὶ λγ', ὅπου κεῖται δίκαιοι ἀντὶ δικαίως. καὶ τὸ
χεῖρον στίχῳ να', ὅπου λίαν ἀντεστραμμένη, καὶ διεστραμμένη ἡ ἔννοια.
25 ὅπου γὰρ δεῖ λέγειν, πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμε-
θα. κεῖται πάντες μὲν ἀναστησόμεθα, ἀλλ' οὐ πάντες ἀλλαγησόμεθα. καὶ ἐν
τῷ :ιδ', στίχῳ :λη', εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω. παρ' ὑμῖν ἀγνοείσθω
γέγραπται. οὐ μὴν ἀλλὰ τὸ μέγα ἐκεῖνο παρελεύσομαι, ὅθεν παρὰ λατίνοις
τὸ δόγμα τοῦ καθαρτηρίου πυρός. ἐν τῷ αὐτῷ κεφαλαίῳ. :γ: λέγει ὁ ἀπόστολος,
30 ὅτι τὸ πῦρ δοκιμάσει ἑκάστου τὸ ἔργον καὶ οὗτινος κατακαήσεται, οὗτος σωθήσεται.
οὕτω δὲ ὡς διὰ πυρός. τὸ γὰρ σώζεσθαι παρὰ λατίνοις, σημαίνει, ἐπὶ καλοῦ
ἀεὶ λέγεται. παρ' ἡμῖν δὲ τὸ ἁπλῶς διαμένειν. ὡς καὶ ἐξηγεῖται ὁ χρυσορρή-
μων. καὶ τὸ δόγμα τῆς ἐκπορεύσεως διὰ τὸ στενὸν τῆς λατινίδος μᾶλλον, ἢ
διὰ τὴν τῆς γραφῆς δύναμιν ἀνηγέρθη. πλεῖστα ἐπισωρεύειν οὐ τοῦ παρόντος
35 σκοποῦ, πλὴν ὅσον γε δεῖξαι, ὅτι κατὰ τὴν ἑρμηνείαν τῶν γραφῶν, καὶ τὸ εἰλι-
κρινὲς τῶν παραδόσεων, πολὺ τὸ ἀξιοπιστότερον καὶ ἀξιολογώτερον τίθεμεν
τοῖς ἀνατολικοῖς, ἄνευ ὕβρεως, τῆς ἀληθείας χάριν, ἢ τοῖς ἑσπερίοις.
ὥστε ἐν τοῖς λοιποῖς μεματαίωταί σου ἡ μέμψις. ἐπίσης τετιμημένων ἡμῖν τῶν
λατίνων ἁγίων καὶ τῶν ἑῴων, πλεῖσται δ' αἱ μαρτυρίαι παρὰ νείλῳ τῷ θεσ-
40 σαλονίκης, καὶ γενναδίῳ Πατριάρχῃ τῷ σχολαρίῳ, ὅσοι περὶ τῆς ὑποθέ-
σεως ταύτης γράφουσιν.

Ἐκ τῆς εἰρημένης ψήφου τῆς ἑ' συνόδου συνάγεις δευτέραν μέμψιν κατὰ τῶν περὶ Φώτιον, ἅτε ἀδίκως νομιζόντων ὑπὸ τῆς ἐννικαίᾳ συνόδου κατακρίνεσθαι λατίνους. πῶς γάρ φῂς ἀμβρόσιος, καὶ αὐγουστῖνος, καὶ ἱερώνυμος οἱ μετὰ τὴν σύνοδον ἐκείνην ἀκμάσαντες, κατακρίνονται; ὅπερ γε τούτους ἡ ἀνατολικὴ ἐκθειάζει ἐκκλησία, καὶ τὰ τούτων φιλοπονήματα.

Ἑάλως ὦ ἑταῖρε διὰ ὁμωνυμίας. οὐ γὰρ ἡ ἐννικαίᾳ πρώτη σύνοδος ἀλλ᾽ ἡ ἐννικαίᾳ τὸ δεύτερον, τῇ δὲ τάξει ζ', τοὺς καινοτόμους ἐπαρᾶται καὶ ἀναθεματίζει, ὧν οὐθὲν ἅπτεται τῶν καθ᾽ ὑμᾶς καὶ ἡμᾶς ἁγίων πατέρων. βλέπετε μὴ καθάπτηται τῶν νεωτέρων ὑμῶν, τῶν ἐπὶ καινοτομίαις χαιρόντων τε καὶ αὐχούντων.

Περὶ τὸ τέλος οὐδ᾽ αὐτοῦ φείδῃ Μάρκου τοῦ ἐφεσίου, περὶ οὗ τινος, ὡς ἐκ πολλῶν ὄντος ἑνὸς, οὐκ ὀφειλόμενον ἴδιον ἐν τῷ κοινῷ τούτῳ ἀγῶνα συστήσασθαι. ὅμως γε ἐπειδήπερ πολλάκις τοῦ ἀνδρὸς ἐπιλαμβάνῃ τε καὶ ὑβρίζεις, καὶ θάνατον ὀνειδίζεις ἐπάρατον, τὰς περὶ τούτου ἀπολογίας ἡμεῖς ἐν τῷ τέλει ταμιεύσωμεν ἐννάτῳ τμήματι, σημείῳ ὀγδόῳ. τανῦν δὲ ἀναθεωρήσωμεν τῶν σῶν τμημάτων, τὸ δεύτερον.

ΤΜΗΜΑ Β'.

Ἀπόδειξις ἐκ τῆς ἀναλλαγῆς τῆς πίστεως αὐτῆς τῆς λατινίδος, ἐκ τῶν ἔξωθεν.

Κἀνταῦθα ὡς καὶ συχνάκις ἐν τοῖς ἑξῆς τῇ ψευδεῖ συμπρολήψει ἑπόμενος, κεχωρισμένην ὑποτίθεσαι τῆς λατινικῆς τὴν ἀνατολικὴν ἐκκλησίαν. ὃ καὶ ἀνατρέψαντες ἐναργῶς ἡμεῖς ἤδη ἐν τοῖς ἔμπροσθεν, ἀρκεῖν ἡγούμεθα τὰ ἐκεῖσε ῥηθέντα. προβαίνων τοιγαροῦν πρὸς τὴν προκειμένην σύνθεσιν ταύτην, δοκεῖς μοι τραγελάφους, καὶ ἐμπούσας ἀναπλάττειν, καὶ πτερωτοὺς ἀνθρώπους, ἱπταμένους εἰς ἀέρα ὀνειροπολεῖν. πῶς καινοτομοῦσα, ὡς φῂς, ἡ δυτικὴ ἐκκλησία δύναται καὶ ὀρθόδοξος μένειν; ἀντιφατικῶς γὰρ ταῦτα ἀντίκειται. καὶ εἴπερ ἀληθὲς ὃ λέγεις, συνδεῖται καθ᾽ ἑαυτὴν ἡ ἀντίφασις. πῶς δὲ καὶ ἐνάγουσα ἡ ἀνατολικὴ τὴν δυτικὴν ἐκκλησίαν, ἡ μὲν ἐξουσίαν οὐκ ἔχει κατὰ τῆς ἐναγομένης ἀποφαίνεσθαι. ἡ δὲ αὐτὴ κριτὴς ἑαυτῆς τοῦ πράγματος προκαθίζεται; ἀσύμφωνα πάντη, ἢ μᾶλλον εἰπεῖν βίαια ταῦτα καθέστηκεν ἄνθρωπε.

Ἀλλ᾽ εὐδοκεῖ ἀποκρινόμεθα πρὸς ταῦτα κεφαλαιωδῶς, ἵν᾽ εὐσυνόπτως μᾶλλον ἀπελεγχθείησαν τὰ σοφίσματα, εἰς πέντε τοιγαροῦν ἡμεῖς τὴν ἔνστασιν διελόντες, συντόμως ἀπαντήσομεν.

Α' Πρῶτον μὲν οὖν λέγεις ἐκ τοῦ χωρισθῆναι τῆς λατινικῆς ἐκκλησίας τὴν ἀνατολικὴν διὰ τὸ δόγμα πίστεως καινοτομηθὲν, οὐδὲν ἧττον ἡ λατινὶς μένει ὀρθόδοξος καὶ ἀληθὴς ἐκκλησία.

Β' Δεύτερον δὲ φάσκεις, οὐ γὰρ αἱρετικὸν διὰ τοῦτο φρονεῖ, ἢ ἀπέστη τῆς πίστεως.

Γ' Τρίτον, εἰ δὲ καὶ αἱρετικόν τι κατ᾽ αὐτῆς προτείνεται, ἀλλ᾽ οὐδ᾽ οὕτως αἱρετικὸν κυρίως τι κρίνεται, τὸ μὴ τοιοῦτον ἀποφαινόμενον, καὶ ἀποβαλλόμενον.

λόμενον, παρὰ τοῦ ἔχοντος τοιαύτην ἐξουσίαν.

Τέταρτον. ἀλλὰ μὴν τοιαύτην ἐξουσίαν οὐκ ἔχει, οὐδὲ πᾶσα ἡ ἀνατολικὴ ἐκκλησία, οὔτε καθ' ἑαυτὴν, οὔτε ἐν συνόδῳ ἰδίᾳ. Δ'

Καὶ πέμπτον (πάνυ σαφῶς ἀποφαινόμενον) ἄνευ τῆς ἀδείας τοῦ Πάπα συγκροτεῖν σύνοδον, ἄνισχυρον, καὶ παρὰ κανόνας, ὡρίσθη. Ε'

5 Καὶ πρὸς μὲν τὸ πρῶτον λέγομεν, ὅτι εἴπερ ὁμολογεῖς, κεκαινοτομηκέναι περὶ τὴν πίστιν τὴν λατινίδα, ἀκόλουθον μηκέτι ὀρθοτομεῖν, ἤτοι μένειν ὀρθόδοξον. τὸ γὰρ καινοτομεῖν ἐκκλίνειν ἐστὶ τῆς ὀρθῆς παραδόσεως, καὶ ἐπὶ ψόγου ἀεὶ λαμβάνεται. ὡς καὶ ὑμεῖς οἱ λατῖνοι τοὺς περὶ Α'

10 λούθηρον καὶ καλβῖνον καινοτόμους ἀποκαλεῖτε. καὶ οὐκ ἔστιν εὑρεῖν ἐπ' ἀγαθῷ καὶ ἐπαίνῳ ἐν τοῖς ἱεροῖς καὶ θείοις λαμβανόμενον τὸ καινοτομεῖν. ἀλλ' ἀπάτην καὶ παράβασιν τῶν καλῶς, καὶ ὀρθῶς ὁρισθέντων πραγμάτων δηλοῖ. τοῦτο δὲ τί ἂν εἴη ἄλλο ἢ ἑτεροδοξεῖν; τὸ δὲ ἑτεροδοξοῦν, πῶς ὀρθόδοξον; ὅτι δὲ τὸ καινοτομεῖν ὄνειδος, καὶ ἐφ' ὕβρει, ἑαυτοῦ ὑπερα-

15 πολογούμενος δείκνυται ἀκούσας ὁ μέγας Βασίλειος ἐπιστέλλων πρὸς τοὺς ὑφ' ἑαυτὸν ἀσκητάς. οὗ ἡ ἀρχὴ δυνατὸς μὲν ὁ ἅγιος θεός. ἐν οἷς μετὰ τὸ

» μέσον λέγει, διαβάλλουσιν ἡμᾶς ὡς καινοτομοῦντας περὶ τοῦ πνεύματος τοῦ

» ἁγίου. ἐρωτήσατε οὖν, τίς ἡ καινοτομία; ἡμεῖς γὰρ ὁμολογοῦμεν ὃ καὶ πα-

» ρελάβομεν μετὰ πατρὸς καὶ υἱοῦ τετάχθαι τὸ παράκλητον. ἀκούεις ὅτι ὁ ὁμο-

20 λογῶν καθὼς παρέλαβεν οὐκαινοτομεῖ, ἀλλ' ὁ καθὼς οὐ παρέλαβεν; ὁ αὐτὸς ἐπιστολῇ πρὸς τοὺς δυτικούς, ἧς ἡ ἀρχὴ κύριος ὁ θεὸς ἡμῶν. περὶ καινοτό-

» μων οὕτω λέγει πρὸς τὸ τέλος, ὀλίγοι τὸν ἀρχαῖον τῆς εὐσεβείας δια-

» σώζουσι χαρακτῆρα. οἱ δὲ πολλοὶ ταῖς καινοτομίαις προσέχοντες (συνέτω

» καὶ ὧδε τὰ περὶ ὑμῶν ὑποτυπούμενα) ἐξετράπησαν εἰς ζητήσεις καὶ φιλονεί-

25 » κους αἱρέσεις τῶν ἀνωφελῶν ῥημάτων. ποῖα δ' ἀνωφελέστερα, πρὸς τῆς ἀληθείας, ἢ τολμηρότερα; ἤπερ περὶ τῶν ἀκαταλήπτων πάντη τῶν ὑποστατικῶν προόδων διερευνᾶν. τὸ καὶ ὡς ἐν παραδείγματι (εἰ καὶ πολλῷ τοῦτο ὑποδεέστερον) τυφλὸν ἐκφυέντος ὄντα περὶ χρωμάτων φιλοσοφεῖν. αὖθις

» ὁ αὐτὸς διδάσκαλος τοὺς ἑσπερίους πατέρας παραινῶν οὕτω γράφει. ἐπι-

30 » στεῖλαι καταξιώσατε πάσαις ταῖς κατ' ἀνατολὴν ἐκκλησίαις, τοὺς ταῦτα

» παραχαράσσοντας (τὰ τῆς πίστεως δῆθεν) εἰ μὲν διορθοῖντο εἶναι κοινωνικούς,

» εἰ δ' ἐπιμένειν φιλονείκως βούλοιντο ταῖς καινοτομίαις, χωρίζεσθαι ἀπ' αὐ-

» τῶν. ἴδε οὖν τὸ καινοτομεῖν ὅσον ὄνειδος καὶ ὀλέθριον. καὶ ὅτι καινοτόμος λέγεται πρῶτον ὅστις οὐκ ὢν οὐκαθὼς παρεδόθη ὑπὸ τῶν συστάντων τὰ δόγ-

35 ματα, εἴτε ἀποστόλων εἴτε συνόδων. δεύτερον ὁ μὴ σώζων τὸν ἀρχαῖον τῆς εὐσεβείας χαρακτῆρα, καὶ ὁ ἐκτρεπόμενος εἰς ζητήσεις καὶ φιλονείκους αἱρέσεις. τρίτον μὴ εἶναι κοινωνικούς, ἀλλὰ χωρίζεσθαι πάντας ἀπ' αὐτῶν, τὰ τρία ταῦτα, τίσι μᾶλλον ἁρμόζοιεν, συνορᾶν ἔξεστι παντὶ τῷ κρίνειν ὀρθῶς ἐπισταμένῳ, τὰ τῆς ἀρχαίας διδασκαλίας ἀναντίρρητα δόγματα.

40 Πρὸς δὲ τὸ δεύτερον ἀπαντῶμεν, ὅτι οὐ διὰ μόνην αἵρεσιν γίνεται διάστασις τῶν ἐκκλησιῶν, ἀλλὰ καὶ διὰ πᾶσαν καινοτομίαν μάλιστα ἐν Β'

Μέγας βασί: πρὸς τοὺς ὑφ' ἑαυτὸν ἀσκητάς.

Ὁ αὐτὸς πρὸς τοὺς δυτικούς.

πις περὶ τὴν πίστιν, ἔτι καὶ περὶ τὰς ἀρχαίας παραδόσεις, ὡς ποτὲ συνέ-
βη περὶ τὸ πάσχα, ὡς αὐωτέρω ἱστορήσαμεν. καὶ περὶ τὰ ἔθιμα δέ, ὡς περὶ τῆς
εὐφημίας τοῦ οἰκουμενικοῦ, καὶ τῶν ἄνωθεν προνομιῶν τῶν τοῦ θεοῦ ἐκκλησιῶν.
ἔτι καὶ περὶ τὰ νόμιμα, ὡς περὶ τὰ μυστήρια. καὶ τέλος περὶ τοὺς κανόνας,
ὅσοι αὖ μετὰ σκανδάλου κοινοῦ παραβαίνονται, καὶ ὅτι τοῦτ' ἀληθὲς, παρίτωσαν
εἰς μαρτυρίαν ὑμέτεροι Πάπαι. διατί γὰρ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ διάλο-
γος, τῆς πρὸς τὸν ἅγιον Ἰωάννην τὸν νηστευτὴν κοινωνίας διέστελλε τοὺς οἰκεί-
ους ἀποκρισιαρίους, καὶ ἑαυτὸν ἑπομένως καὶ τὴν ῥωμαϊκὴν καὶ λατινικὴν πᾶ-
σαν; ἢ πρόδηλον ὅτι διὰ τὴν τοῦ οἰκουμενικοῦ προσηγορίαν, ἣν τῷ Κωνσταντινου-
πόλεως οὐ παρεχώρει. διατί Φῆλιξ καὶ σύμμαχος τῆς πρὸς εὐφήμιον, καὶ
μακεδόνιον, διὰ τὸ ἐνδιπτύχοις ἀκάκιον. διατί Ἰωάννης ὁ ὄγδοος τὴν πρὸς
τὸν ὄντως ἁγιώτατον Πατριάρχην Ἰγνάτιον τοῖς ἰδίοις πρὸς αὐτὸν ληγάτοις
τὴν κοινωνίαν ἀπηγόρευσε; διὰ τὴν διοίκησιν τῆς Βουλγαρίας. ἧς ὑπὸ τοῦ
Κωνσταντινουπόλεως τελούσης ἀντεποιεῖτο ὁ Πάπας. καθάπερ ἡ ἐκείνου πρὸς
Φώτιον ἐπιστολὴ, καὶ τὴν αὐτοῦ σύνοδον μαρτυρεῖ. καὶ ἄλλα δὲ πλεῖστα εὑρεῖν
ἐστι παραπλήσια καὶ κουφότερα τῆς περὶ δογμάτων ὑποθέσεως. ἃ κατὰ τὸν μέ-
γαν Βασίλειον κανόνι πρώτῳ, πρὸς ἀμφιλόχιον, ἰάσιμα λέγονται. σχίσμα-
τα δῆθεν ὄντα. ὥστε οὐ μόνον διότι φρόνημα περὶ πίστιν αἱρετικὸν διΐστανται
ἀλλήλων αἱ τοῦ θεοῦ ἐκκλησίαι, ἀλλὰ καὶ διὰ πᾶσαν καινοτομίαν, πρόσκομ-
μα τῇ κοινότητι προξενοῦσαν. οἷα ἡ προσθήκη ἐν τῷ συμβόλῳ τετολμημένη,
καὶ τὸ χεῖρον οὐ μόνον δόγμα ἐπισφαλὲς ὂν, ἀλλ' ἰδίᾳ, καὶ δι' ἔριν συμπεραν-
θὲν, οὐ κοινῇ καὶ κανονικῶς. καὶ πρὸς τούτοις ἡ παρὰ θείους καὶ ἱεροὺς καὶ ἀν-
θρωπίνους θεσμοὺς φιλαρχία τοῦ Πάπα.

Γ' Ἀλλὰ καὶ πρὸς τὸ τρίτον φαμὲν, ὅτι οὐχ ὡς αἱρετικὸν τι προτείνεται μόνον
τὸ κυρίως ὑπὸ συνόδου αὐθεντικῆς τοιοῦτο κρινόμενον, ἀλλὰ καὶ πᾶν τὸ
φανερῶς ἐκκλῖνον τοῖς κοινῆς ὁμολογίας, καὶ πᾶσα περὶ τὴν πίστιν καινοτο-
μουμένη, παρὰ τὴν κοινὴν διδασκαλίαν καὶ παράδοσιν καινοφωνία, καὶ μά-
λιστα ῥητῶς τῷ συμβόλῳ ἐντιθεμένη. οὕτω καὶ πᾶσα αἵρεσις ἐκκύπτουσα, (πρὶν
συνοδικῶς ἀποβάλλεσθαι ταύτην, καὶ κατακρίνεσθαι) ὑπὸ τῶν ὀρθοτομούντων
διδασκάλων ὡς αἵρεσις ἀπεκηρύττετο. ὅθεν καὶ τὸ δόγμα τῆς ἐκπορεύσεως
πρὸ πολλοῦ εἰς ὑποψίαν γενόμενον, καὶ πλειστάκις ὑπὸ μέμψιν, ὡς ἐκ τῆς
τοῦ Μακαρίου μαξίμου πρὸς Μαρῖνον ἐπιστολῆς συνορᾶν ἐστι, καὶ πρὸ τῆς
ἕκτης μικρὸν συνόδου, τέλος εἰς ῥητὴν τῶν συνόδων διακώλυσιν ὁρι-
σθὲν. πῶς ἀναφανδὸν οὐ κηρυττόμενον ὕστερον ὑπὸ λατίνων, καὶ τῷ συμ-
βόλῳ τολμηρῶς ἐντιθέμενον, οὐκ ἔμελλεν ἐνδίκως ὡς αἱρετικὸν ἀποβάλλε-
σθαι, ἐκκλῖνον οὕτω καὶ τοσοῦτον ἀνεπαισχύντως τῆς ὀρθῆς ὑπὸ τῶν Πατέρων
παραδοθείσης ὁμολογίας. τοσοῦτος γὰρ τοῖς περὶ πίστεως κεφαλαίοις πραγ-
μάτων ὄγκος ἐπίκειται, ὥστε θαρρεῖν τὸν μέγαν τῆς οἰκουμένης ἱερο-
κήρυκα, καὶ κατὰ πνευμάτων οὐρανίων ἀποφαίνεσθαι, αὖ δυνατὸν ποτὲ γεννηθείη,
τὰ παρ' αὐτοῦ παραδοθέντα πρότερον μεταστρέψαι, ἐν τῇ πρὸς γαλ: κεφ: ά:
φρικτὰ ἐπαρώμενος. ἐὰν φησὶν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται
ὑμῖν

ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω, ὡς προειρήκαμεν ἄρτι
πάλιν λέγω. εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε ἀνάθεμα ἔστω.
εἰ δὲ ῥητῶς παρελάβομεν ἐκ τοῦ πανσόφου καὶ προγνωστικοῦ θείου στόματος,
τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, καὶ πλέον οὐδέν, τί-
5 νος ἕνεκεν ὑμεῖς τὸ σιωπώμενον ὑπὸ τῆς αὐτοσοφίας ὡς σοφώτεροι δῆθεν
προστεθήκατε τὸ, καὶ ἐκ τοῦ υἱοῦ; ὁμοίως ἐν τῷ παραδοθέντι, εἰς ὃ βεβα-
πτίσμεθα σύμβολον, οὐ μόνον οὐκ εἴρηται τὸ ἐκ τοῦ υἱοῦ, ἀλλὰ καὶ διὰ τῶν προ-
σεχῶς ἀντιδιαστέλλεται τὸ, σὺν υἱῷ προσκυνεῖσθαι τοῦ ἐκ Πατρὸς ἐκπορεύε-
σθαι. αἱρέσεως οὖν ἐγγὺς ἡ προσθήκη τοιαύτη, εἰ μήπω καὶ ὡς αἵρεσις ἐκ
10 κεκήρυκται. τὸ γὰρ μὴ κείμενον ἐν ταῖς γραφαῖς ῥητῶς, ἢ ἰσοδυνάμως
προφανῶς, τολμηρὸν καὶ ἐπισφαλὲς, καὶ εἰπεῖν καὶ νοῆσαι κατὰ τὸν ἰσαπόστολον
Διονύσιον (περὶ θείων ὀνομάτων κεφ': α':) περὶ ταύτης φησὶ τῆς ὑπερουσίου ,,
καὶ κρυφίας θεότητος οὐ τολμητέον καθόλου εἰπεῖν, οὔτε μὴν ἐννοῆσαί τι ,,
παρὰ τὰ θειωδῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα. καὶ ἀνωτέρω ,,
15 κατ' ἀρχὴν. ἔστω φησὶν, ἐπὶ τὴν τῶν θείων ὀνομάτων ἀνάπτυξιν καὶ νῦν ἡ- ,,
μῖν ὁ τῶν λογίων θεσμὸς προδιωρισμένος, τὸ τὴν ἀλήθειαν ἡμᾶς κα- ,,
ταδείκνυσθαι τῶν περὶ θεοῦ λεγομένων, οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λό- ,,
γοις, ἀλλ' ἐν ἀποδείξει τῆς πνευματοκινήτου τῶν θεολόγων (ἤτοι τῶν ἱερο- ,,
γραφησάντων) δυνάμεως· καθ' ἣν τοῖς ἀφθέγκτοις καὶ ἀγνώστοις, ἀφ- ,,
20 θέγκτως καὶ ἀγνώστως συναπτόμεθα. καθόλου τοιγαροῦν οὐ τολμητέον εἰ- ,,
πεῖν ἢ ἐννοῆσαί τι παρὰ τὰ θειωδῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα. ,,
ἅπερ καὶ ἐπαναλαμβάνει κατωτέρω ὡς προεγράψαμεν. ἐπάγει δὲ εὐθὺς καὶ
τὸν λόγον φάσκων ἐπὶ λέξεως. τῆς γὰρ ὑπὲρ λόγον καὶ νοῦν καὶ οὐσίαν αὐ- ,,
τῆς ὑπερουσιότητος ἀγνωσίᾳ, αὐτῇ τὴν ὑπερούσιον ἐπιστήμην ἀναθετέον, ,,
25 (ἀκούετε ὦ ὑπέρσοφοι) τοσοῦτον ἐπὶ τὸ ἄναντες ἀνανεύοντες, ὅσον ἑαυ- ,,
τὴν ἐνδίδωσιν ἡ τῶν θεαρχικῶν λογίων ἀκτὶς πρὸς τὰς ὑπερτέρας αὐγὰς ,,
τῇ περὶ τὰ θεῖα σωφροσύνῃ καὶ ὁσιότητι συστελλομένους. (ἄκουσον καὶ δεύτερον ,,
ὑψηλότερον λόγον) καὶ γὰρ εἴ τι δεῖ τῇ πανσόφῳ καὶ ἀληθεστάτῃ θεολογίᾳ πεί- ,,
θεσθαι, κατὰ τὴν ἀναλογίαν ἑκάστου τῶν νοῶν ἀνακαλύπτεται τὰ θεῖα, καὶ ἐπο ,,
30 πτεύεται. :ἄκουσον καὶ τρίτον: τῆς θεαρχικῆς ἀγαθότητος ἐν σωστικῇ δικαιο- ,,
σύνῃ τῶν ἐμμέτρων τὴν ἀμετρίαν θεοπρεπῶς ὡς ἀχώρητον ἀποδιαστελλού- ,,
σης. πάντως γὰρ ἄληπτα καὶ ἀθεώρητα τοῖς αἰσθητοῖς ἐστι τὰ νοητὰ, καὶ τὸ ,,
ὑπερούσιον: καὶ κατωτέρω: καὶ γὰρ ὡς αὐτὴ περὶ ἑαυτῆς ἐν τοῖς λογίοις ἀγα- ,,
θοπρεπῶς παραδέδωκεν, ἡ μὲν αὐτῆς ὅ, τί ποτε ἐστὶν ἐπιστήμη καὶ θεωρία πᾶ- ,,
35 σιν ἄβατός ἐστι τοῖς οὖσιν, οὐ μόνον ὡς ἀόρατος καὶ ἀπερίληπτος κατὰ τοὺς ,,
ὑμνηκότας Θεολόγους, ἀλλὰ καὶ ὡς ἀνεξερεύνητος, καὶ ἀνεξιχνίαστος, ,,
ὡς οὐκ ὄντος ἴχνους οὐδενὸς τῶν ἐπὶ τὴν κρυφίαν αὐτῆς ἀπειρίαν διελη- ,,
λυθότων. :καὶ αὖθις: καὶ πρὸς τὴν ἐφικτὴν αὐτοῦ θεωρίαν καὶ κοινωνίαν καὶ ,,
ὁμοίωσιν ἀνατείνεται τοὺς ἱεροὺς νόας, ὡς θεμιτὸν αὐτῷ καὶ ἱεροπρεπῶς ἐπι- ,,
40 βάλλοντας. μήτε πρὸς τὸν ὑπέρτερον τῆς ἐναρμονίως ἐνδιδομένης θεο- ,,
φανείας ἀδυνάτως ἀπαυθαδιαζομένους, μήτε πρὸς τὸ κάταντες ἐκ τῆς ἐπὶ ,,

τὸ χεῖρον

» τὸ χεῖρον ὑφέσεως ἀπολισθαίνοντας, ἀλλ' εὐσταθῶς τε καὶ ἀκλινῶς ἐπὶ τὴν
» ἀκτῖνα τὴν αὐτοῖς ἐπιλάμπουσαν ἀνατεινομένους. τούτοις ἑπόμενοι τοῖς θεαρχι-
» κοῖς ζυγοῖς, δι' ὧν καὶ τὰς ὅλας διακυβερνᾶσι τῶν ὑπερουρανίων τάξεων ἁγίας
» διακοσμήσεις, τὸ μὲν ὑπὲρ νοῦν καὶ οὐσίαν τῆς θεαρχίας κρύφιον ἀνεξερευ-
» νήτοις καὶ ἱεραῖς νοὸς εὐλαβείαις, τὰ δὲ ἄρρητα, σώφρονι σιγῇ τιμῶντες 5
» ἐπὶ τὰς ἐλλαμπούσας ἡμῖν ἐν τοῖς ἱεροῖς λογίοις αὐγὰς ἀνατεινόμεθα. φω-
» ταγωγούμενοι πρὸς τὸ καὶ ὁρᾶν τὰ συμμέτρως ἡμῖν διὰ τῶν ἱερῶν ὑμνολογι-
» ῶν (ἤτοι γραφῶν) δωρούμενα φῶτα. καὶ τὴν ἀγαθοδότιν ἀρχὴν ἁπάσης ἱερᾶς
» φωτοφανείας ὑμνεῖν, (συνεὶς ἀκριβῶς) ὡς αὐτὴ περὶ ἑαυτῆς παραδέδωκε.
» καὶ ἐν κεφ' : β' : μικρὸν κατ' ἀρχήν. οὔτε τὰ ἡνωμένα φησὶ διαιρεῖν θε- 10
» μιτὸν, οὔτε τὰ διακεκριμένα συγχεῖν. ἀλλὰ τῇ τῶν λογίων ἀληθείᾳ χρω-
» μένους ὡς φωτὶ καὶ κανόνι ἐπὶ τὰς θείας μαρμαρυγὰς ἀνανεύειν. καὶ γὰρ
» ἐκεῖθεν τὰς θείας ἐκφαντορίας παραλαβόντες ὥσπερ τινὰ κανόνα κάλλιστον
» ἀληθείας τὰ ἐκεῖ κείμενα φρουρεῖν ἐν ἑαυτοῖς ἀπλήθυντα, καὶ ἀμείωτα,
» καὶ ἀπαράτρεπτα σπεύδομεν ἐν τῇ φρουρᾷ τῶν λογίων φρουρούμενοι (καὶ κα- 15
» τωτέρω) χρὴ δὲ ὡς οἶμαι κατὰ τὸν παντελῆ τῆς θείας ἑνώσεως καὶ διακρίσεως
» τρόπον, τὸ μὲν ποικίλον αὐτῶν καὶ ἀσαφὲς ἀπαναινομένους, εὐδιακρίτως,
» καὶ σαφῶς, καὶ εὐτάκτως τὰ οἰκεῖα κατὰ δύναμιν ὁροθετεῖν. (καὶ κατωτέρω)
» τὰ τῆς ὑπερουσίου θεογονίας οὐκ ἀντιστρέφει πρὸς ἄλληλα. μόνη δὲ πηγὴ τῆς
» ὑπερουσίου θεότητος ὁ πατήρ. : καὶ αὖθις κατωτέρω : ὅτι μέν ἐστι πηγαία θε- 20
» ότης ὁ πατήρ. ὁ δὲ υἱὸς καὶ τὸ πνεῦμα τῆς θεογόνου θεότητος : εἰ οὕτω χρὴ
» φάναι : βλαστοὶ θεόφυτοι, καὶ οἷον ἄνθη καὶ ὑπερούσια φῶτα, πρὸς τῶν ἱερῶν
» λογίων παρειλήφαμεν. ὅπως δὲ ταῦτά ἐστιν, οὔτε εἰπεῖν οὔτε ἐννοῆσαι δυνα-
τόν. καὶ ταῦτα μὲν πάντα ὁ ἐξ ἀποστόλων μαθητευθεὶς διονύσιος. οἷς ἡ ἀνα-
τολικὴ ἐκκλησία ἀκριβῶς ἐπακολουθεῖ καὶ ἐμμένει. ἡ δὲ λατινὶς παραβᾶσα 25
ἐλέγχεται. ἡμεῖς γὰρ παρὰ τὰ θεϊκῶς ἐν ταῖς γραφαῖς ἐκπεφασμένα οὐ τολ-
μῶμεν, οὔτε εἰπεῖν, οὔτ' ἐννοῆσαί τι, τηροῦντες ἀπλήθυντα καὶ ἀμείωτα
καὶ ἀπαράτρεπτα. καὶ κατὰ τὸν τρόπον τῶν θείων διακρίσεων ἅπαν τὸ ποικίλον
καὶ ἀσαφὲς μετὰ τοῦ ῥηθέντος μεγάλου διδασκάλου ἀπαναινόμεθα. καὶ μόνην
πηγὴν τῆς ὑπερουσίου θεότητος ὁμολογοῦμεν τὸν πατέρα. ἐξ οὗ ὡς βλαστοὶ 30
θεόφυτοι, καὶ ὡς ἄνθη μὴ ἐξ ἀλλήλων προϊόντα τὸν υἱὸν καὶ τὸ πνεῦμα κη-
ρύττομεν. εἰ δὲ ὑμεῖς ὑπὲρ ἀγγέλους σοφισθέντες, ὅπερ ἀδύνατον, καὶ τρό-
πους προόδων, καὶ ὑπερούσια ἀνερευνᾶτε. καὶ προσθήκας ποιεῖσθε, μὴ μέμ-
φεσθε ὡς καινοτόμοι γραφόμενοι, καὶ παραπλήσια μικροῦ δεῖν αἱρετικοῖς
συγκαταδικαζόμενοι. Καὶ μέχρι μὲν τούτων ἐχρῆν καταπαῦσαι τὰς 35
τῶν πατέρων μαρτυρίας, ὅτι, καὶ ἐν τῷ προηγησαμένῳ πρώτῳ τμήματι πρὸς
τὸ ἕβδομον σημεῖον, κἀκ τῶν συνόδων τρίτης, τετάρτης, ἕκτης, ἑβδόμης
προεκομίσαμεν, ἔκ τε τῶν ἐκκρίτων διδασκάλων, Βασιλείου, καὶ Κυρίλλου,
ἔκ τε τῶν ῥώμης προέδρων Λέοντος, καὶ ὁρμίσδα, καὶ ἰωάννου, τοῦ ἐπὶ φωτίου,
εἰ μὴ καὶ τὸ περὶ τοὺς Πάπας ὑμῶν εὐλαβὲς, καὶ τὸ περὶ τὰ πληρέστατα τῶν 40
φιλομαθεστέρων περίεργον, ἔτι καὶ τινὰς ἄλλας κατήπειγεν ἐκφέρειν
ἁγίων

ἁγίων εἰς βεβαίωσιν μαρτυρίας. προσαπτέσθωσαν δὲ οἱ ὑμῶν τῶν λατίνων φωστῆ-
ρες. Δάμασος ἐν πρώτοις, ἐν οἷς πρὸς τοὺς κατὰ τὴν ἑῴαν ἐπισκόπους ἐπιστέλ- Δάμασος.
„ λει. ἤδη, φησὶν, ἅπαξ τύπον δεδώκαμεν, ἵνα ὁ γινώσκων ἑαυτὸν Χριστιανὸν
„ ἐκεῖνο φυλάσσῃ, ὃ παρὰ τῶν ἀποστόλων παρεδόθη. λέγοντος τοῦ Μακα-
5 „ ρίου Παύλου, εἴτις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔ-
„ στω. Δεύτερος μετὰ τοῦτον τῷ χρόνῳ ἀκολουθείτω, ὁ λόγῳ ὑπὲρ τοῦτον ἀρι-
„ στεύων Κελεστῖνος, ἐν οἷς πρὸς Νεστόριον ἐπιστέλλει. τίς φησὶ πώποτε οὐκ Κελεστῖνος.
„ ἄξιος τοῦ ἀναθεματισθῆναι ἐκρίθη, ἢ ἀφαιρῶν τι ἢ προστιθεὶς τῇ πίστει;
„ τὰ ἀμέσως καὶ φανερῶς παραδοθέντα ἡμῖν παρὰ τῶν ἁγίων ἀποστόλων,
10 „ οὔτε προσθήκην, οὔτε μείωσιν ἐπιδέχεται. καὶ ἀνωτέρω. δεῖ μᾶλλον φοβεῖ-
„ σθαι, ἢ ἰδίας συνέσεως βάθος ζητεῖν. Τρίτον ἐπικυροῦσι ταῦτα οὐδὲν
ἧττον, ἢ καὶ τοὺς πρὸ αὐτοῦ προάγομεν ἐν τῇ ἕκτῃ συνόδῳ Ἀγάθωνα, ἐν οἷς Ἀγάθων
ἐπιστέλλει τοῖς βασιλεῦσιν ὡς κατὰ τὴν ἑβδόμην αὐτῶν ἑκατοντάδα προσηνέγκα-
„ μεν, ἐν εὐχῆς (φησὶ) μέρει ποιεῖται ἡμῖν, ἵνα μηδὲν παρὰ τὰ κανονικῶς
15 „ ὁρισθέντα μειωθῇ, ἢ ἐναλλαγῇ, ἢ προστεθῇ· ἀλλὰ ταῦτα ῥήμασι καὶ νο-
„ ήμασιν ἀπαράτρωτα φυλαχθῶσι. καὶ ταῦτα μὲν ἐκ τῶν καθ' ὑμᾶς λα-
τίνων. Ἐπισφραγιζέτωσαν τὸ προκείμενον οἱ ἐξ ἑῴας φωστῆρες, οἱ καὶ ἡλίου
δίκην τὸ τῆς ἐκκλησίας στερέωμα καταυγάζοντες. ὁ μὲν Ἰωάννης, ὅσῳ Χρυσός.
συνοπτικώτερον, οὕτω καὶ χρυσοῦ τιμαλφέστερον, ὡς παρὰ Νείλῳ τῷ Θε-
20 „ σσαλονίκης ἀποφθεγγόμενος οὕτως. ἃ μὴ γέγραπται, μηδὲ φρονεῖν ἔ-
„ ξεστιν. Ὁ δὲ τῆς θεολογίας ἐπώνυμος πρὸς τοὺς καλέσαντας πρὸς τὴν ἀρ- Θεολόγος.
„ χὴν λέγων. τὸ εὐσεβὲς μὴ ἐν τῷ πολλάκις περὶ θεοῦ λαλεῖν, ἀλλ' ἐν τῷ
„ τὰ πλείω σιγᾶν ἐστι. Καὶ ὁ ἐν μεγάλοις μέγιστος Βασίλειος μετ' ἐπι- Βασίλειος.
„ πλήξεως ἀποφαίνεται λέγων: περὶ τῆς ἀληθοῦς, καὶ εὐσεβοῦς, προδηλότατον
25 „ ἀπιστίας τεκμήριον σημεῖον τε ὑπερηφανίας ἀσφαλέστατον· ἐάν τι τῶν γεγρα-
„ μμένων ἐθέλῃ τις ἀποβάλλειν, ἢ τῶν μὴ γεγραμμένων εἰσάγειν. τοῦ Κυρίου
„ ἡμῶν λέγοντος. τὰ πρόβατά μου τῆς φωνῆς μου ἀκούει, ἀλλοτρίῳ δὲ οὐ μὴ
„ ἀκολουθήσωσι· Κἂν τῶν ἑσπερίων ὡς ἀνατέλλοντες ἀπλανεῖς λαμπτῆρες τὸ τῆς
ἐκκλησίας σύστημα ὁμοίως περιαστράπτουσιν. Ἰλάριος ἐν τοῖς ἀρχαίοις περὶ
30 „ τριάδος οὕτω φάσκων. καλῶς ἔχει, ἐν τοῖς γεγραμμένοις στέργομεν. ἐ- Ἱλάριος.
„ πάγω κἀγώ, κακῶς οὖν ἔχει τὸ παρὰ τὰ γεγραμμένα ζητεῖν. καὶ ὁ ἱερὸς Ἱε-
„ ρώνυμος εἰς τὸν ὀγδοηκοστὸν ἕκτον ψαλμόν. πλὴν τῶν ἀποστόλων εἴ τι μετὰ Ἱερώνυμος.
„ ταῦτα λέγεις περιαιρείσθω, καὶ κῦρος μὴ ἐχέτω. πλὴν ἄρα τῶν ἀποστό-
λων καὶ τῶν ἰσοτίμων τούτοις οἰκουμενικῶν συνόδων, οὔτε ἡμεῖς οἱ ἀνατολικοὶ
35 τι δεχόμεθα. τί οὖν τὸ ὑφ' ὑμῶν καινοτομηθὲν ἀποβάλλοντες δικαζόμε-
„ θα; καὶ ὁ μετ' αὐτοὺς Λέων Πάπας ὡς ἔχεται διαιρέσει δεκάτῃ: α. τοῦτο Λέων
„ τῇ ὑμετέρᾳ ἐντελλόμεθα ἀγάπῃ, ἵνα τοῦ λοιποῦ ἀπὸ τῶν ἀποστολικῶν δια-
„ τάξεων, μηδεμιᾷ ἐκκλίνητε παραβάσει. οὐδὲ ἀνεκδίκητον εἶναι δυνηθήσεται,
„ ἐάν τις τοὺς ἀποστολικοὺς κανόνας κατά τι ἀθετῆσαι ὑπολήψεται. καὶ ὁ σοφι-
40 στικώτατος τῶν νεωτέρων ὑμῶν θεολόγων Ἰωάννης ὁ Σκότος. εἰς τὸν Λομ-
„ πάρδον ἀκραιφνῶς λέγει. πρόδηλον ὅτι ἡ γραφὴ ἱκανῶς περιέχει τὰ ἀνα- Ἰωάννης Σκότος.

» γρίαν τοῖς ἐν ὁδῷ τοῦ βίου διδασκαλίας. εἰ οὖν ἀναγκαῖον, τί τὸ περιττὸν
Αὐγουστῖνος. προστίθετε; φήσεις ὅτι ἀναγκαίως συνάγεται. κἀγώ σοι μετ' Αὐγουστίνου
» βιβλίῳ περὶ τριάδος: ἀντιλέγω. ἄφες τοὺς συλλογισμοὺς ὅπου ζητεῖται
» πίστις. ἐν τοῖς ἰδίοις γυμνασίοις ἤδη σιγάτω ἡ διαλεκτική. τοῖς ἀλιεῦσι
» πιστεύεται οὐ τοῖς διαλεκτικοῖς. πρόφερε οὖν σαφεῖς τὰς γραφὰς καὶ τοὺς ὅρους
» τῶν συνόδων. εἰ δ' οὐκ ἔχεις, οὐδ' ἀκούω συλλογιζομένου. καὶ ταῦτα τὰ
ἐκ τῶν πατέρων συνᾴδοντά τε καὶ σύμφωνα, πᾶσαν περιττὴν καινοτομίαν ἀποτρέποντα, τὸ δὲ ἀκαινοτόμητον ταύτῃ συνιστῶντα. καὶ τίς ἂν καταριθμοίη
τοὺς λοιποὺς τῆς ἁγίας ἐκκλησίας ἱεροὺς διδασκάλους ἀνατολικούς τε καὶ δυτικούς, τῷ εὐσεβεῖ καὶ ὀρθῷ τούτῳ ἑπομένους κανόνι, καὶ ταυτὸ φρονοῦντας τῷ
μεγάλῳ τούτῳ πατρὶ Διονυσίῳ περί τε τῶν κρυφίων καὶ ἀπορρήτων τῶν θεαρχικῶν ὑποστάσεων ἰδιωμάτων, καὶ τῆς τούτων ἑνώσεώς τε καὶ διακρίσεως, καὶ
τὸ ἀνέκφραστον καὶ ἀκαταλανόητον, καὶ πολλῷ μᾶλλον τὸ ἀνεξερεύνητον τοῦ τρόπου
τῶν προόδων καλορθοῦντας, ὃν οἱ λατῖνοι ἐξέλιπον ἐξερευνῶντες. καὶ τὸ
προφητικὸν λόγιον. εἰ οὖν περὶ ταῦτα καινοτομοῦντες ἐλέγχεσθε, τί θαρρεῖτε λέγοντες, ὅτι οὐδέπω τις ὑμᾶς αἱρέσεως κατεδίκασεν, ἐπειδήπερ τὰ τῆς
ἀψηλαφήτου πίστεως, οὕτως ἀρχῆθεν οἱ ἅγιοι πατέρες ὑμῶν κοινῇ καὶ ἰδίᾳ
κατησφαλίσαντο.

Δʹ Πρὸς τὸ τέταρτον ὅτι μόνη ἡ ἀνατολικὴ ἐκκλησία τοιαύτην ἐξουσίαν οὐκ
ἔχει. τουναντίον, οὗ λέγετε, δείκνυται ἡ μᾶλλον πολλοῖς ἐπιχειρήμασι. πρῶτον, ἔξεστιν ὁμολογουμένως ταῖς ἐλάττοσιν ἐκκλησίαις, μᾶλλον δὲ
καὶ ἑνὶ ἑκάστῳ τῶν διδασκάλων τοὺς πλείους καὶ μείζονας ἐπὶ καινοτομίᾳ διελέγχειν, καὶ πρὸ συνοδικῆς διαγνώσεως, ὡς ὁ ἐν Κωνσταντινουπόλει κλῆρος,
ἀλλὰ δὴ καὶ οἱ μονάζοντες, ὡς αἱρετικὸν τὸν Νεστόριον ἤλεγξαν, καὶ αὐτῷ
οὐκ ἐκοινώνουν, ὡς φέρεται ἐν τῇ πρὸς τοὺς βασιλεῖς Θεοδόσιον καὶ Οὐαλεντινιανὸν
προσκομισθείσῃ ἐπιστολῇ παρὰ Βασιλείου διακόνου καὶ Ἀρχιμανδρίτου. ἐν ᾗ
ἐπιστολῇ ἀριδηλότατα δείκνυται, ὅτι καὶ πρὸ συνοδικῆς διακρίσεως ἠλέγχετο
ὡς αἱρετικὸς ὁ Νεστόριος κατὰ πρόσωπον παρὰ τῶν ὀρθοδόξων πρεσβυτέρων, καὶ
μοναζόντων, καὶ οὐδαμῶς ἐκοινώνουν αὐτῷ. Δεύτερον, ὅτι ἡ σύνοδος γίνεται, ἵνα τὴν αἵρεσιν ἀπελάσῃ τοῦ τῆς ἐκκλησίας πληρώματος, καὶ τὸ ταύτης στερέωμα ἀσάλευτον διαφυλάξῃ. καὶ τελευταῖον ἵνα τὰ διεστῶτα τοῦ Χριστοῦ μέλη εἰς ἓν συνάξῃ καὶ ἑνώσῃ. εὕρηται ταῦτα διατρανοῦσα ἐπιστολή, ἐν
τῷ πρώτῳ τόμῳ τῆς τρίτης συνόδου, ἐν κεφαλαίῳ: λʹ, τύποις ῥωμαϊκοῖς. εἰ
οὖν ἔξεστι τοῖς ἐλάττοσι τοὺς μείζονας ὡς αἱρετικοὺς κατὰ πρόσωπον διελέγχειν, καὶ τούτους ἀποστρέφεσθαι ὡς ἀκοινωνήτους, πολλῷ ἄρα μᾶλλον τοῖς
ἴσοις καὶ μείζοσιν. οἵα ἐστὶν ἡ ἀνατολικὴ σύμπασα ἐκκλησία. Δεύτερον,
ὅτι ἡ ἀνατολικὴ πᾶσα ἐκκλησία πολὺ μείζων ἐστὶ τῆς λατινικῆς. ἑκάστη δὲ τῶν
τεσσάρων θρόνων κορυφὴ ἰσότιμος καὶ ὁμοταγὴς ἐστὶ τῇ ῥωμαϊκῇ, εἰ καὶ τῇ
τάξει ὑποβέβηκε. δῆλον καὶ τοῦτο. μείζων μὲν γάρ, ὅτι αὕτη τέσσαρας ἔχει
ἀποστολικὰς κορυφάς, ἐκείνη δὲ μίαν. εἰ μέντοι καὶ πρόκριτον, οὐδὲν ὅμως τῶν
ἄλλων ὑπερισχύουσαν. τοῦτο δὲ παρίσταται πρῶτον ἐκ τῶν συνόδων τῶν οἰκουμενικῶν

νικῶν. δεύτερον ἐκ τῶν βασιλικῶν θεσπισμάτων. τρίτον ἐξ ὧν ἔχομεν συνο-
δικῶς πραχθέντων ῥητῶς ἐν τῇ β΄: δ΄: ε΄: καὶ ς΄. τῇ δεύτερον ἐν τρούλλῳ
ζ΄, ὡς ἐν τῷ τετάρτῳ θεωρήματι τοῦ τετάρτου τμήματος λεπτομερῶς θεωρήσομεν.

Ε΄

Πρὸς τὸ πέμπτον. ὅτι ἄνευ ἀδείας τοῦ Πάπα οὐκ ἔξεστι σύνοδον συγ-
5 κροτεῖν, γελοῖον πάντως ἐστὶ καὶ ψευδέστατον. γελοῖον μὲν, ὅτι οὐκ
αἰσθάνῃ παρεισκυκλῶν ἀεὶ πολλάκις, καὶ ὑποθέμενος τὸ ζητούμενον, ὡς
ὁμολογούμενον. ὅπερ ἐστὶ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. ὅτι δὲ καὶ ψευδέστατον, σαφές
ἐστιν, ἔκ τε τῶν πρακτικῶν τῶν ἀρχαίων συνόδων, καὶ τῶν ἱερῶν κανόνων
ἀποστολικῶν καὶ συνοδικῶν. λέγομεν γὰρ πρῶτον, ὅτι κατ' ἐξουσίαν μᾶλλον
10 τῶν βασιλέων μέχρι τοῦ νῦν συνεκροτήθησαν αἱ οἰκουμενικαὶ σύνοδοι αὐτῶν τε
καὶ βουλῇ, τῶν θρόνων, καὶ πολλῷ μᾶλλον θελήσει αὐτοκινήτῳ βασιλικῇ ὡς
ἡ ἐν Ἐφέσῳ τὸ δεύτερον, περὶ Εὐτυχοῦς, λῃστρικῶς ὅμως τελεσθεῖσα καὶ
συμπερανθεῖσα, πλήν γε σχήματι καὶ ἀρχῇ συνόδου οἰκουμενικῆς κατὰ πάντα.
Δεύτερον, ὅτι τὸ συγκροτεῖν συνόδους δὶς τοῦ ἐνιαυτοῦ ἐν ἑκάστῃ ἐπαρχίᾳ
15 κανών ἐστι τριακοστὸς ἕβδομος ἀποστολικός, καὶ πολλῶν ἄλλων συνόδων.
ὁ πέμπτος τῆς πρώτης, καὶ ὁ δέκατος ἔνατος τῆς τετάρτης. ἢ κἂν ἅπαξ
τοῦ ἔτους. ὡς ὁ ὄγδοος τῆς ἕκτης, καὶ ὁ: ς΄ τῆς: ζ΄. ἐν ᾧ φαίνονται βεβαι-
ούμενοι, ὅπερ ἡμεῖς ἀπαναίνεσθε. ὁρᾷς ὅτι πρόσταγμα ἀποστολικὸν καὶ συνό-
δων ἄλλων πολλῶν ἐστι τὸ γίνεσθαι συνόδους; καὶ πῶς σὺ τῶνδε τῶν κανόνων
20 ὥσπερ ἐπιλαθόμενος ἄνευ ἀδείας τοῦ Πάπα λέγεις οὐκ ἔστι σύνοδον συγ-
κροτεῖν; τὸ προστεταγμένον (ὦ τῶν νόμων ἐμπειρότατε) ὑπὸ τῶν μειζό-
νων, οὐδεῖται ἀδείας τῆς παρὰ τῶν ἐλαττόνων. ἐλάττων δὲ πάντως ὁ Πά-
πας τῶν οἰκουμενικῶν συνόδων, καὶ τῶν ἀποστόλων· εἰ μήπου καὶ τοῦτο ἴσως
τολμήσητε λέγειν, ὅτι καὶ ὑπὲρ τοὺς ἀποστόλους ὁ Πάπας. Τρίτον. ὅτι δὲ καὶ
25 ἄνευ τῆς τοῦ Πάπα ἀδείας συγκροτεῖται σύνοδος, πραγματικῶς δείκνυται.
ἡ γὰρ δευτέρα τῶν οἰκουμενικῶν, οὕτω συνεκροτήθη τε καὶ συνετελέσθη. μά-
λιστα δὲ καὶ ἡ: ε΄ παρὰ γνώμην τοῦ Πάπα. καὶ ἡ: ς΄ δὲ ἡ τῶν κανόνων, ἐν ᾗ
τοποτηρητὴς ἦν τῆς δυτικῆς συνόδου ὁ Κρήτης Βασίλειος ἣν καὶ ἐκύρωσεν ἡ
ζ΄. ὡς δείκνυται ἐν τετάρτῃ ταύτης πράξει, καὶ κανόνι πρώτῳ καὶ: ς΄ καὶ ἡ
30 τοῦ Φλαβιανοῦ κατ' Εὐτυχοῦς αὐτοσχεδίως, καὶ ἐκ μικρᾶς ἀφορμῆς ἤρξατο.
ἥτις εἰς μεγάλην οἰκουμενικὴν τὴν τετάρτην κατέληξε. καὶ ἡ ἐν Ἐφέσῳ τὸ
δεύτερον. ἄκοντος σχεδὸν συνεκροτήθη τοῦ Πάπα Λέοντος, ὃς καὶ ὑπεί-
κων τῷ Θεοδοσίου προστάγματι, τρεῖς ἐληγάτευσεν ἐκεῖσε, γράφων οὕτω
πρὸς Θεοδόσιον ἐν ἀρχῇ. ὅσῳ τῶν ἀνθρωπίνων πραγμάτων, ἐν οἷς ἐπιφέρει.
35 ὅθεν εἰ καὶ Εὐτυχὴς ἀπείρως καὶ ἀσυνέτως πεπλανῆσθαι ἀποδέδεικται, ὅμως
ἐπείπερ ἡ ὑμετέρα εὐσέβεια τετύπωκε συνοδικὸν κριτήριον (οἰκουμενικὸν
μέντοι) ὥστε τῷ ἀπείρῳ γέροντι τὴν ἀλήθειαν φανεροποιηθῆναι, τοὺς ἀ-
δελφοὺς ἡμῶν Ἰούλιον τὸν ἐπίσκοπον (κῶ) καὶ ῥενᾶτον τὸν πρεσβύτερον, καὶ
Ἵλαρον τὸν διάκονον πέπομφα. καὶ ἐκ τῶν τεσσάρων θρόνων, ἐπ' οὐδεὶς
40 ἑτέρῳ φθονεῖ, συγκροτοῦντι σύνοδον τοπικὴν πρὸς εὐσέβειαν, μᾶλλον δὲ
καὶ ἀρήγει. καὶ πλεῖστα τούτων τοῖς ἐμφιλοχωροῦσι ταῖς ἐκκλησιαστικαῖς ἱστο-

ἱστορίαις τὰ παραδείγματα. ὅτι οὐ κατ' ἐπιτροπὴν τοῦ Πάπα αἱ σύνοδοι
συγκροτοῦνται, ὥστε συνελόντα φάναι καθ' ἱερώνυμον εἰς τὸ κατὰ ματθαῖον
κεφαλαίῳ εἰκοστῷ γ'· εἴ τι ἐκ τῶν γραφῶν τὴν αὐθεντίαν οὐκ ἔχει, ὥσπερ εὐχε-
ρῶς λέγεται, εὐχερῶς καὶ καταφρονεῖται. ὀφείλετε τοιγαροῦν ἐκ τῶν συνό-
δων τὰ λεγόμενα παραστῆσαι, εἰ πείθειν θέλετε. καθὼς ἡμεῖς ὑπεστήσα- 5
μεν τοὐναντίον.

Ἀπάντησις εἰς τὸ ὅτι παρὰ κανόνας τολμᾶται
χωρὶς ἀδείας τοῦ Πάπα σύνοδος συγκροτεῖσθαι

Τοῦτο ἐξ ὧν ἀρτίως προηνέγκαμεν ἐξελέγχεται. καὶ ἐξ ὧν γράφει Λέων
ὁ Πάπας ἱκετικῶς πρὸς Θεοδόσιον τὸν νέον, ἐκλιπαρῶν συγχωρηθῆναι 10
αὐτῷ, σύνοδον ἰδικὴν ἐν ἰταλίᾳ συναγαγεῖν. ἧς ἡ ἀρχή. ἄνωθεν
καὶ ἐξ ἀρχῆς. καὶ τὰ ἑξῆς. ἐν ᾗ ἐπιστολῇ δείκνυται ὕποπτόν τι γραφόμενον. αἰ-
τεῖ γὰρ ἰδικὴν μὲν γενέσθαι σύνοδον, πληρεστάτην δὲ ἀπὸ πασῶν τῶν ἀνατολι-
κῶν καὶ δυτικῶν ἐπαρχιῶν. καὶ ἀνωτέρω φησίν. ἵνα περιμείνωσι τὸ μεῖζον
τῆς συνόδου κριτήριον, ἐν ᾗ πᾶς ἀριθμὸς τῶν ἐπισκόπων ἐκ πάσης τῆς οἰκου- 15
μένης συνάγεται. καὶ ἄνωθεν μὲν ἰδικὴν ἱκετεύει συγχωρηθῆναι παρ' αὐτῷ
σύνοδον γενέσθαι. παρακαλῶν δὲ, ἐξ ὧν λέγει οἰκουμενικὴν καὶ καθολικὴν
βούλεται ταύτην, τούτου λοιπὸν ἕνεκεν οὐδαμοῦ ἀποκρίσεως ἠξιώθη, ὡς αὐτῶν
ἀνοίκεια, ἤτοιγε ἀληθέστερον εἰπεῖν, οὐ τοσοῦτον μόνον περὶ δογμάτων ἐβού-
λετο, ὅτ' ἀλλ' ἁγιώτατος Λέων ταύτην παρ' αὐτῷ γενέσθαι τὴν σύνοδον, ἀλλ' 20
ὅσον καὶ ἀντιπαραλλάξασθαι καὶ οἱονεὶ ἀντινομοθετῆσαι τοῖς τοῦ Κωνσταντινουπό-
λεως, ἀπὸ τῆς τρίτης συνόδου ἐν κανόνι τρίτῳ, πρωτονομίοις. ἐπαχθὴς γὰρ
εὐθὺς ἔδοξε τοῖς ῥωμαϊκοῖς ὁ κανὼν ὁ κατ' εὐθεῖαν τὴν αὐτῶν ἐγκόπτων δόξαν καὶ
καύχησιν, τὸ παρὰ Χριστοῦ δῆθεν νομίζειν αὐτοὺς ὑπὲρ πάντας καὶ μόνους
ἔχειν τό τε πρωτεῖον, τήν τε ἐξουσίαν. καὶ καιροφυλακοῦντες ἦσαν, εἰ καὶ μὴ 25
δυνατὸν ἦν εἰς τὴν ἀνατροπὴν τούτου τοῦ συνοδικοῦ κανόνος, ἀλλὰ καὶ εἰς
στερεωτέραν ἀνόρθωσιν τοῦ τῆς ῥώμης θρόνου. ὥστε μηδὲν τοῦ λοιποῦ θαῤῥῆ-
σαι θρόνον ἕτερον τῷ ῥώμης παραβαλεῖν ἢ ἐξισῶσαί ποτε. καὶ τοῦτο οὐχ ὑπο-
νοίας ἐστὶ ματαίας θεώρημα, ἀλλὰ τεκμήριον προφανὲς ἐκ τῆς τοῦ Λέοντος
ἐντολῆς. εἴπερ ἐξ ὑποθέσεως ἔμελλεν ἀνακύψαι ἐν τῇ τετάρτῃ συνόδῳ 30
περὶ τοιούτου τις ἀμφισβήτησις, τῷ ληγάτῳ Βονιφατίῳ δεδομένης. μετὰ γὰρ
τὸν θεσπισθέντα εἰκοστὸν ὄγδοον ἐν χαλκηδόνι κανόνα περὶ τῶν ἴσων τοῖς τοῦ
ῥώμης πρεσβείων, τοῦ Κωνσταντινουπόλεως, ἀνθισταμένων τῶν ληγάτων ὡς καὶ
ἄνωθι κατὰ τὴν σύνοψιν εἴπομεν τῶν ἱστοριῶν, προήνεγκεν ἐκ τοῦ κόλπου τὴν
ἐντολὴν ὁ πρεσβύτερος, οὕτω διαγορεύουσαν ἑλληνιστὶ, τὸν ὅρον τῶν ἁγίων πα- 35
τέρων (ἤτοι τὸν ἕκτον κανόνα τῆς α') μὴ δὲ μιᾷ προπετείᾳ παρασαλευθῆναι
ὑπομείνητε. φυλαττέσθω τοιγαροῦν τοῦ ἡμετέρου προσώπου ἡ ἀξία
πᾶσι τρόποις ἐν ὑμῖν, κἄντινες τυχὸν πεποιθότες τῇ τῶν ἰδίων
λαμπρότητι πόλεων προσκτήσασθαί τι ἐπιχειρήσωσι, τούτους ἣν ἄξι-
ον ἐστὶν ἀνδρείᾳ κωλύσατε. ἐξ ὧν δῆλος ὁ σκοπὸς Λέοντος, ὅτι τοῦ 40
γενέσθαι παρ' αὐτῷ τὴν σύνοδον μὴ ἐπιτυχὼν, ὅπερ ὑπὲρ ἑαυτοῦ
μηκέτι

μηκέτι θεσπίζεσθαι τεθαῤῥήκει, προκατειλημμένος τῷ δέει ὑπὸ τῆς συνειδήσεως, ὑπώπτευέ τε τὸ ὑπὲρ τοῦ Κωνσταντινουπόλεως γινόμενον, διὸ καὶ ὅση δύναμις ἐπειρᾶτο παρεμποδίσαι, ἀλλὰ καὶ τὸ πᾶσι στεργόμενον αὐτὸς καὶ οἱ μετ᾽ αὐτὸν ἀποστέργοντες ἐδείκνυντο· ὅθεν ἐδέησε καὶ ταῖς ἑξῆς συνόδοις καὶ βασιλεῦσιν ἐπιβεβαιῶσαί τε τὸν κανόνα, καὶ προσεπεξεργάσασθαι καὶ περὶ τῆς τάξεως τῶν λοιπῶν θρόνων, ὡς ἐν τῷ τριακοστῷ ἕκτῳ τῆς ἕκτης, καὶ νεαρᾷ ἰουστινιανοῦ :ρλά. Ἃ δὲ προτείνεις περὶ Βελπίσι εἰς ἀπόδειξιν τοῦ προκειμένου, οὐκ ὀρθῶς νοεῖς, ἔστι δ᾽ ἃ καὶ ἰσχὺν οὐκ ἔχει παρ᾽ ἡμῖν οὐδεμίαν, μαρτυρούντων εἰς οἰκείαν σύστασιν ἐπὶ φιλαυτίᾳ τῶν ἀντεχομένων ὑμῶν ταύτης τῆς δόξης.

Α΄ Μάρκελλον Πάπαν πρὸς ἀντιοχεῖς γράφοντα παρεισάγεις, ἀποστολικῷ κανόνι τοῦτο διαβεβαιούμενον. ἡμεῖς μέντοι ἐν ὀγδοήκοντα πέντε πᾶσι κανόσιν ἀποστολικοῖς τοιοῦτον οὐδὲν ἀναγινώσκομεν, οὐδὲ ἐν ὀκτὼ ὁλοκλήροις βιβλίοις τῶν διαταγῶν, μᾶλλον δὲ τοὐναντίον ἐν τῷ :λζ΄, κανόνι εὕρηται, δὶς τοῦ ἔτους ἐν ἑκάστῃ ἐπαρχίᾳ συνόδους γίνεσθαι διακελεύοντι. ἀλλὰ καὶ πῶς ὀνομάζειν ἀποστολικοὺς κανόνας οὐκ αἰσχύνεσθε, οὓς οἱ καθ᾽ ὑμᾶς διδάσκαλοι, οἶμαι δὲ καὶ ὁ ἐν ὑμῖν νομοθέτης Γελάσιος ὁ Πάπας ὡς νόθα καὶ ἀπόκρυφα ἀποβάλλονται. ὀλίγοι δὲ οἱ μετριοφρονέστεροι ἀποδέχονται, τῇ κοινῇ παραδόσει καὶ συνοδικαῖς ἀποφάσεσι πεπεισμένοι.

Β΄ Ὃ δὲ παρὰ τῆς Ἰουλίου Πάπα ἐπιστολῆς πρὸς ἀντιοχεῖς παραπλήσιον ἀντιτείνεις, ὀρθότερον ἴσως ὤφειλες ἐννοεῖν. ἐπειδὴ τὰ ὑπὲρ αὐτοὺς οἱ ἀρειανοὶ διεπράττοντο. τουτέστι Πατριαρχῶν καθαιρέσεις, ῥητῶς Ἀθανασίου ἀλεξανδρείας, καὶ Εὐσταθίου ἀντιοχείας, καὶ Παύλου Κωνσταντινουπόλεως, καὶ τῶν αἱρετικῶν δογμάτων ἀντείχοντο, εἰς ἃ καὶ τὸν ῥώμης ὁμολογούμενον ὀφείλειν προσεδρεύειν. καὶ οὐ μόνον δὲ τοῦτον, ἀλλ᾽ ἅμα καὶ τὰς λοιπὰς κορυφὰς συναγωνίζεσθαι τούτῳ ὀρθὰ φρονοῦντι, καὶ δίκαια πράττοντι.

Γ΄ Ὃ δὲ παρὰ τῆς ἐν νικαίᾳ τὸ δεύτερον, πράξει ἕκτῃ, προφέρεις ὑπὲρ τῆς σῆς ἀποδείξεως, προφανῶς ἐλέγχεισι, ἢ ἀπειρίας, ἢ μοχθηρίας. τὸ μὲν συντελοῦσι παρεστάνεις, τὸ δὲ εἰς ἡμᾶς ἀνῆκον παρακόπτεις. φησὶ γὰρ εἰς ἀναίρεσιν τῆς κοπρωνυμικῆς ψευδοσυνόδου, οἰκουμενικὴν δῆθεν ἑαυτὴν ἀποκαλούσης, συνεργὸν οὐκ ἔσχε τὸν ῥώμης, ἀλλὰ διατὶ σιωπῇ καλύπτεις τὰ ἐχόμενα λέγοντα (καὶ τοὺς λοιποὺς Πατριάρχας) ὥστε οὐχ ὁ ῥώμης μόνος.

Δ΄ Πρὸς δὲ τὴν μαρτυρίαν τὴν ἀπὸ τῆς δ΄ συνόδου πράξει πρώτῃ, κατὰ τὰς ἀρχὰς, ὅπου φὴς, διόσκορον μὴ ἐν μέσῳ τῶν ἐπισκόπων συνεδρεύειν προστετάχθαι, ὅτι σύνοδον ἄτερ ἐξουσίας τῆς ἀποστολικῆς καθέδρας τετόλμηκεν ἐπιτελέσαι, ὅπερ ἔξην οὐδέποτε οὐδέποτε γέγονε διατὶ τὸ ὑπὸ ἑνὸς τῶν τριῶν ληγάτων, ἤτοι τοῦ Λουκιωσίου λεγόμενον εἰς ὅλην τὴν σύνοδον ἐπάγειν δοκεῖς, ἆρ᾽ οὐ προφανῶς ἐξελέγχῃ, ἢ διαστρέφων ἢ ἀγνοῶν τὰ τῆς ἱστορίας; πῶς ἀληθῶς κατηγορεῖται Διόσκορος ἰδίᾳ ἐξουσίᾳ σύνοδον συγκροτήσας, ὡς καὶ αὐτὸς ὑπεραπολογεῖται πρὸς τὸν Δορυλαίου Εὐσέβιον αὐτόθι ἐνάγοντα, εἴπερ ὑπὸ Θεοδοσίου τοῦ νέου τεθέσπιστο, εἴγε καὶ Λέων αὐτὸς ὡς εἴδομεν

Ἴλαρον διάκονον ἐληγάτευσε, καὶ Ῥενᾶτον πρεσβύτερον, καὶ τὸν κοινὸν Ἰουλιανόν. καὐτὸς δὲ ὁ κρινόμενος Φλαβιανὸς ὁ Κωνσταντινουπόλεως συμπαρήδρευε, καὶ Δόμνος ὁ Ἀντιοχείας, καὶ Ἰουβενάλιος Ἱεροσολύμων. τὸ δ' ἀληθὲς τοῦτο ἐτύγχανεν. ὅτι κατισχυρώμενος ὁ Διόσκορος τῇ τοῦ ἐξάρχειν (ἣν ἐπιτέτραπτο διὰ γράμματος φανεροῦ παρὰ τοῦ Βασιλέως) τῆς συνόδου ἐξουσίᾳ, τυραννικῶς καὶ λῃστρικῶς τὰ πάντα διῴκησε βίᾳ, καὶ ὅπλοις τήν τε ὀρθοδοξίαν, τούς τε κανόνας καταβαλών, ὅθεν δικαίως ὁ λεγάτος ἐδικαιολογεῖτο πρὸς τὴν ἐρωτῶσαν σύγκλητον, τοῦτο προστάττεσθαι παρὰ Λέοντος, ὡς κεληθησόμενον, καὶ ὑπεύθυνον ἐν μέσῳ καθεσθῆναι Διόσκορον, ὃ δὴ νεύσει τῶν ἀρχόντων ἐγένετο, τῶν ἐχόντων τὴν παρὰ τοῦ Βασιλέως ἰσχύν.

ε' Αὖθις δὲ καὶ παρὰ τῶν ἐπιστολῶν τοῦ Μακαρίου Πάπα Λέοντος πρὸς Τουρίβιον (ἐννενηκοστῇ τρίτῃ) προσκομίζεις, καὶ παρὰ Ξύστου, οὐδὲν δυσχερές, καὶ πρὸς ἄλλα παραπλήσια ἀπαντῆσαι. ὅτι ἡμεῖς ἐκ τῶν πρὸς οὓς αὐτοὶ λεγομένων μαρτυριῶν, οὐ χρήζομεν ἀποκρίνεσθαι, οὔτε γὰρ ἀξιοῦμεν ἀκούειν. ὡς τέλεον ἀναιροῦντες αὐτῶν τὴν ἰσχύν. μετριώτερον δὲ φάναι καὶ εὐλαβέστερον ἔπεισιν εἰς ἄνδρας τυχὸν ἁγιοσύνῃ καὶ σοφίᾳ διαπρέποντας, οἷος ἦν καὶ Λέων, ὡς τούτου συνήθους ἐγκαυχᾶσθαι ῥωμαίοις ἀρχιερεῦσι. καὶ τοῦτο ἴσως συγκαταβατικῶς πρὸς τοὺς ὑπ' αὐτόν, ὡς καὶ ἡμεῖς πρὸς τοὺς ὑφ' ἡμᾶς. πρὸς δὲ ἰσοτίμους καὶ ὁμοταγεῖς, γελοῖον καὶ εὐκατάπληκτον.

ς' Ταὐτὰ καὶ πρὸς τὴν Θεοδωρήτου μαρτυρίαν λέγοντες, ὁμολογοῦμεν καὶ ἡμεῖς, τὰς θορυβώδεις εἰ καὶ πολυπληθεῖς συνόδους, ὡς ἡ ἐν Ἀριμίνῳ, οὐδὲν ἰσχύειν ἀπόντος τοῦ ῥωμαίων ἀρχιερέως. οὗ τινός φησι μάλιστα, δέον ἀναμένειν τὴν ψῆφον. ἐπεὶ περὶ πίστεως ἦν, ἤτοι τοῦ τῆς ὁμοουσιότητος δόγματος. καὶ μάλιστα ἐν τῇ ὑπ' αὐτὸν διοικήσει τῆς Ἰταλίας τῆς συνόδου τελουμένης. οὐδ' ἐγένετό ποτε μὴ σύμψηφον ἐν τοῖς περὶ πίστεως ἀπαιτεῖσθαι καὶ τὸν Πάπαν. οὐ μόνον δὲ αὐτόν, ἀλλὰ καὶ τοὺς Πατριαρχικοὺς θρόνους. προσθήσω καὶ μετὰ τοὺς Πατριάρχας καὶ ἑτέρους ὑψηλούς, τὸν Κύπρου, τὸν Θεσσαλονίκης, τὸν Κορίνθου, καὶ τοὺς ἐξάρχους τῆς ἀνατολῆς καὶ ἀσίας, τὸν Καισαρείας, καὶ τὸν Ἐφέσου. ὡς ἔστιν ἰδεῖν ἐκ τῶν πρακτικῶν τῶν οἰκουμενικῶν συνόδων, τῆς τρίτης μάλιστα καὶ τῶν ἑξῆς.

ζ' Πρὸς τὴν ἐκ Βασιλείου τοῦ μεγάλου ῥῆσιν ἐκ τῆς πρὸς τὸν μέγαν Ἀθανάσιον ἐπιστολῆς, ὥστε γραφῆναι πρὸς τὸν ἐπίσκοπον ῥώμης, ὅπως ἐπειδὴ ἀπὸ κοινοῦ καὶ συνοδικοῦ φησὶ δόγματος ἀποσταλῆναί τινας, δύσκολόν ἐστι τῶν ἐκεῖθεν αὐτὸν αὐθεντῆσαι περὶ τὸ πρᾶγμα, ὅπως τε διαπρεσβεύσηται πρὸς τοὺς ἀνατολικούς, ἐπὶ λύσει τῶν ἐν Ἀριμίνῳ κατ' ἀνάγκην γενομένων. οὐκ οἶδ' ὅπως συμπεραίνεις καίριον εἰς τὴν ὑπόθεσιν. καίτοι σύμπνοιαν καὶ ὁμοψυχίαν ἐμφαίνει τὸ γράμμα, καὶ ὀφειλομένην πρὸς ἀλλήλους τῶν ἐπισκόπων περὶ πίστιν ὁμοφροσύνην, ὡς ἐν τῇ δευτέρᾳ πρὸς τὸν αὐτὸν ἐπιστολῇ ῥητῶς λέγει. μίαν ἐπέγνων ὁδὸν βοηθείας τῆς καθ' ἡμᾶς ἐκκλησίας, τὴν παρὰ τῶν δυτικῶν ἐπισκόπων σύμπνοιαν. ἔδει σε μᾶλλον αἰσχύνεσθαι διελθόντα τὰς λοιπὰς Βασιλείου ἐπιστολάς.

καὶ τὰς

καὶ τὰς πρὸς τοὺς δυτικοὺς τοσάκις γραφείσας ὑπὲρ κοινῆς συμμα-
χίας, καὶ μηδ᾽ ἅπαξ ἀξιωθέντος. ἣν καὶ αὐτὴ μέμψαιτο περὶ τὸ τέλος ἐπαί-
νοις τοῖς ὑπερβάλλουσιν, ὡς καὶ κατωτέρω (τμήματι τρίτῳ, ἀποδείξει δευ-
τέρᾳ, σημείῳ ἑβδόμῳ) εἰς σύστασιν εἰσάγεις τῆς τοῦ Πάπα ἐξουσίας. (ἔστι δὲ
5 τῆς ἐπιστολῆς ἡ ἀρχή. φέρε μέντοι παραμυθίαν) εἰ γὰρ πρὸ τῶν ἄλλων ἀπε-
γνώκεις τῆς ἐκείνου πρὸς τὸν ἐν ὁμολογηταῖς καὶ μάρτυσι πολυώνυμον εὐσέβειον
τῶν σαμοσάτων, τί περὶ τῶν δυτικῶν ἐπιμέμφει; οὐδ᾽ αὖ ἐπιμνησθείης κἂν
τοῦ τοῦ Βασιλέως ὀνόματος. γράφει δὲ τἀληθὲς καὶ προφητικῶς γε ταῦτα.

Βασιλ: πρὸς εὐσέβιον σαμοσάτων.

» ἐμοὶ μὲν γὰρ τὸ τοῦ Διομήδεος ἐπέρχεται λέγειν, μὴ ὄφελες λίσσεσθαι, διό-
» 10 τι ἀγήνωρ φησὶν, ἐστὶν ὁ ἀνήρ. τῷ ὄντι γὰρ θεραπευόμενα τὰ ὑπερήφανα ἤθη,
» ἑαυτῶν ὑπεροπτικώτερα γίνεσθαι πέφυκε. καὶ γὰρ ἐὰν μὲν ἱλασθῇ ἡμῖν ὁ κύ-
» ριος, ποίας ἑτέρας προσθήκης δεόμεθα; ἐὰν δὲ ἐπιμείνῃ ἡ ὀργὴ τοῦ θεοῦ,
» ποία βοήθεια ἡμῖν τῆς δυτικῆς ὀφρύος; οἳ τό γε ἀληθὲς οὔτε ἴσασιν, οὔτε μα-
» θεῖν ἀνέχονται. ψευδέσι δὲ ὑπονοίαις προειλημμένοι, ἐκεῖνα ποιοῦσι νῦν,
» 15 ἃ πρότερον ἐπὶ μαρκέλλου (τοῦ ἀγκύρας, τουτέστι τοῦ τὰ σαβελλίου ἀνακη-
» ρύττοντι) πρὸς μὲν τοὺς τὴν ἀλήθειαν αὐτοῖς ἐπαγγέλλοντας φιλονεικήσαν-
» τες, τὴν δὲ αἵρεσιν δι᾽ ἑαυτῶν ἐπιβεβαιώσαντες. ἐγὼ μὲν γὰρ αὐτὸς ἄνευ τοῦ
» κοινοῦ σχήματος (ἤτοι συνοδικοῦ) ἐβουλόμην αὐτῶν ἐπιστεῖλαι τῷ κορυ-
» φαίῳ. (ὅρα περὶ τοῦ Πάπα πῶς γράφει, οὐχ ἁπλῶς κορυφαίῳ ἀλλὰ τῷ λα-
» 20 τίνων) περὶ μὲν τῶν ἐκκλησιαστικῶν οὐδὲν, εἰ μὴ ὅσον παραινίξασθαι, ὅτι οὔτε
» ἴσασι τῶν παρ᾽ ἡμῖν τὴν ἀλήθειαν, οὔτε τὴν ὁδὸν, δι᾽ ἧς ἂν μάθοιεν καταδέ-
» χονται. καθόλου δὲ περὶ τοῦ μὴ δεῖν ὑπὸ πειρασμῶν ταπεινωθεῖσιν ἐπιτί-
» θεσθαι. (ἀκούετε Λατῖνοι καὶ σύνετε, τὰ καὶ νῦν πρὸς ἡμᾶς ἀφ᾽ ὑμῶν μι-
» σαδέλφως πλημμελούμενα) μηδὲ ἀξίωμα κρίνειν ὑπερηφανίαν. ἁμάρ-
» 25 τημα, ὃ μόνον ἀρκοῦν ἔχθραν ποιῆσαι εἰς θεόν. ταύτην μὲν τὴν ἰσαπόστολον
ῥῆσιν εἰς ἕτερον τόπον ἀπεταμιεύσω. εἰρήσθω δ᾽ ἐνταῦθα, καὶ πολλαχοῦ με
θαυμαζομένη νοείσθω.

Η′

Ἀλλὰ καὶ τὸ Ἀδριανοῦ πρὸς τὸν μακεδόνα Βασίλειον παρὰ τῇ κατὰ Φωτίου ὀγ-
δόῃ συνόδῳ, πράξει πρώτῃ, γράφοντος, ὅτι θέλομεν διὰ τῆς ἡμῶν θε-
30 οσεβείας πολυπληθῆ συναθροισθῆναι σύνοδον. ὀρθότερον οὖν συνῆκας, εἰ καὶ
τῇ βασιλέως πρὸς Ἀδριανὸν ἐνέκυψας. αὐτὸς γὰρ ὁ Βασιλεὺς διαπρεσβευσά-
μενος, εἰς σύνοδον τὸν Πάπαν προσεκάλει, καὶ τοὺς λοιποὺς Πατριάρχας.
καὶ τῆς ὀγδόης ὑπὲρ Ἰγνατίου τοῦ ἁγιωτάτου συνόδου, ἀρχηγὸς ἦν ὁ αὔγου-
στος, οὐχ ὁ Πάπας. ὥστε συναίνεσιν ἐμφαίνει Ἀδριανὸς, οὐ κέλευσιν καὶ ἐξου-
35 σίαν ὡς σὺ φαντάζῃ.

Θ′

Πρὸς δὲ Πελάγιον τὸν Πάπαν, κατὰ Ἰωάννου τοῦ νηστευτοῦ, πρὸς τοὺς ἐπιδημοῦν-
τας ἐν τῇ βασιλίδι, ἐπιστέλλοντα καὶ μεμφόμενον, ὡς αὐτὸν ποιουμένου δῆ-
θεν, τῆς τοῦ οἰκουμενικοῦ κλήσεως, ὅπως ἐπ᾽ ἐξουσίας ἔχει σύνοδον συγκροτεῖν
οἰκουμενικὴν, ὅπερ ἰδιαιτάτῳ προνομίῳ πεπλούτηκεν ἡ τοῦ Μακαρίου Πέτρου
40 καθέδρα, καὶ οὐδεμία σύνοδος ἔχει τὸ κῦρος, ἣν οὐ στηρίζειεν ἡ ἀποστολικὴ
αὐθεντία, τουτέστι τοῦ Πάπα εἰρήκαμεν καὶ πάλιν ἐροῦμεν. ἐκ τῶν ἰδίων τῶν

ὑπὲρ

ὑπὲρ σαυτοῦ μαρτυριῶν, οὐδὲν πρὸς ἡμᾶς συμπεραίνεις πώποτε, οὐδ' ἂν
μυρίας προφέρεις, ἀντὶ μιᾶς τῶν ἱερῶν κανόνων, ἢ καὶ τῶν ἐνδόξων δι-
δασκάλων ἀποδεξόμεθα. οὐδεὶς γὰρ ἰδίας δίκης κρινόμενος προσεδρεύει-
κριτής. Ἀλλὰ καὶ πρὸς Πελάγιον ῥαδίως ἀποκρινόμεθα. μάτην ὑπο-
πλεύοντα, περὶ τοῦ τῆς νέας τὸν τῆς πρεσβυτέρας ῥώμης. οὔτε γὰρ Ἰωάννης 5
ὁ ἁγιώτατος, οὔτε οἱ μετ' αὐτὸν μέχρι τοῦδε τοιοῦτον τι διεπράξαντο. ἀλλ' ἔ-
οικεν ἐπὶ Πελαγίῳ τὸ ἐπ' ἀντιζήλοις φίλον, τὰ οἰκεῖα πάθη καὶ εἰς ἑτέ-
ρους ὑποπτεύειν. τὸ γὰρ προνόμιον, ὅ φησιν αὐτός, καὶ ὁ κατὰ τὴν ἑβδόμην
ἀδριανὸς πρῶτος ἰδιαίτατον τοῦ ῥωμαϊκοῦ θρόνου, πάντῃ καὶ πάντως ἀν-
υπόστατον πέφυκε· θρυλλούμενον μὲν πολλάκις ὑμῖν, ἡμῖν δὲ σκωπτόμενον. 10
ὁμοίως ὑμῖν λεγόμενον, καὶ ἡμῖν αὖθις ἀντιλεγόμενον. οὐκ αἰσχύνῃ ταῦτα
προβάλλειν ἅπερ ἐκ πρώτης βαλβῖδος ἐν τῷ σταδίῳ ἐγκόπτονται; ἐρευνᾶ-
τε τὰς συνόδους, καὶ ἴδετε εἰ τὴν βασιλέων ῥωμαίων συνήθροισέ τις οἰ-
κουμενικὰ συνέδρια, καὶ μὴ μετεωρίζεσθε, ἐφ' οἷς ποτε γράψαντές τινες
ὡς ἐν ἐπαίνῳ καὶ τοῦτο ῥωμαίοις ἀρχιερεῦσιν ἐπέγραψαν. τοῦτο γὰρ αὐτὸ 15
καὶ Κυρίλλῳ δύναιτ' ἄν τις κυριώτερον ἐπιγράψαι, ἀρχηγοῦ ἀνταγωνι-
στῇ Νεστορίου πεφηνότι, καὶ τὴν αἵρεσιν ἀντὶ πάντων στηλιτεύσαντι, καὶ καθε-
λεῖν ἐπαρκέσαντι. ὡς καὶ ταρασίῳ τῷ πάνυ περὶ τὴν ἑβδόμην σύνοδον παρὰ
πάντας εὐδοκιμήσαντι, καὶ στηρίξαντι καὶ οὐ δὲ γράφειν ἰδίᾳ τῷ Πάπα κατὰ
τὸ τῶν ἄλλων ἔθος ἀξιώσαντι. εἰ μὴ συνιστάνειν θαρρεῖτε, τὸ τῆς μοναρ- 20
χίας τῆς Παπικῆς, ἐξ ὅτου τῆς Βασιλικῆς ἀφηνιάσας ὁ Πάπας ἀρχῆς, τὴν
τῶν ῥωμαίων ἐν ἰταλίᾳ ἑαυτῷ κοσμικὴν μερίδα παρανόμως ἐσφετερίσα-
το, καὶ οἰκεῖον δῆθεν Βασιλέα στέψας πρῶτον τὸν κάρολον, τὸν ῥῆγα Φρα-
γγίας, προπυργίῳ πρὸς τὸν ἀληθῆ καὶ γνήσιον κατεχρῆτο, δουλωσάμενος
ἔκτοτε κατὰ μικρὸν τὴν δυτικὴν ἅπασαν ἀρχιερατείαν, ὑποτάξας δὲ καὶ κο- 25
σμικὴν πᾶσαν ὑπεροχήν. ὥστε τῶν ποδῶν παρέχειν, καὶ οὐ τὸν ἀσπασμὸν
τῶν χειρῶν. καὶ συνόδους ἐντεῦθεν οἰκουμενικὰς συγκροτῶν, καὶ διατιθείς,
καὶ ὁρίζων κατ' ἰδίαν βούλησίν τε καὶ γνώμην. ταῦτα ἡμῖν φόβον οὐδένα
ἢ ἔκπληξιν ἐπισείεται. λύπην δ' ὅτι μάλιστα ἐμποιεῖ (καὶ δὴ τ' ἀληθὲς εἰ-
ρήσθω) ὅτι τὴν εὐαγγελικὴν, ἀντὶ ἀξιώματος μεγίστου παραδεδομένην 30
τοῖς ἀποστόλοις ταπείνωσιν, εἰς τῦφον, οὐ δὲ τοῖς ἔθνεσιν εἰθισμένον ἢ ἀκου-
στὸν μετεβάλετε ἐκ προσχήματος εὐλαβείας. ὃ καὶ ἡ ἐν καρθαγένῃ πρὸς
κελλεστῖνον ἐπονειδίζει σύνοδος, κανόνι ρλη': παρ' ἡμῖν. καὶ τὴν ὡς γνώ-
ρισμα τῆς χριστιανικῆς πολιτείας παρηγγελμένην πρὸς ἀλλήλους εἰρήνην,
ὑμεῖς εἰς τυραννίδα τρέψαντες, ἄνω καὶ κάτω τὰ τῆς ἐκκλησίας ἀνεμοχλεύ- 35
σατε, παραδόσεις, σύμβολον, ἔθιμα, νόμιμα, κανόνας, θρόνους ἀποστολι-
κούς, βασιλικὰ σκῆπτρα, τελείως ἢ τριάκοντα καινοτομίας παντόλμως εἰσα-
γαγόντες κατὰ μικρὸν, μηδενὸς ἀντιβοῶντος, τῶν δυτικῶν ὡς ὑπὸ χεῖρα
τελούντων τῷ Πάπα, ἀνεχομένων ἢ δυσφορούντων τῶν ἀνατολικῶν, τὰ
πλεῖστα μὴ περιεργαζομένων, εἰ καὶ συμπεριφερομένων σιγῇ καὶ ἀνάγκῃ 40
τῇ μὲν, τῶν αἱρέσεων ἀλληλοδιαδόχως αὐτοῖς ἐπιφυομένων, ἅμα δὲ

Καρθαγ: πρὸς κελλεστῖνον, Κανόνι ρλη'.

καὶ χρηζόντων εἰς ἀναίρεσιν ἐκείνων τῆς ἀπὸ τῶν δυτικῶν συμμαχίας. ποῦ δὲ πολλὰ δεξιῶς ἐπιτιμώντων, εἰ καὶ οὐ φανερῶς οὕτω κατ' εὐθεῖαν, εἰς θεραπείαν τε πλεῖστα συνοδικῶς θεσπιζόντων ἐκ τῆς τρίτης μέχρι καὶ τῆς ἑβδόμης. μᾶλλον δ' εἰ θέλεις προσθῶμεν καὶ ἐξ ἀμφοτέρας τῆς ὀγδόης τῆς τε ἐπὶ Ἰγνατίου, τῆς τε μάλιστα ἐπὶ Φωτίου, ὅτε καθήρηνται τέλεον οἱ Λατῖνοι καὶ τὰ τῆς προσθήκης καὶ τὰ τοῦ δόγματος, καὶ τούτου μάρτυς Φραγγίσκος Τουρριανὸς (ὡς παρὰ κηρεσίῳ [?]) Λατῖνος ἱστορικὸς φάσκων ὅτι ἐν τῇ ὀγδόῃ συνόδῳ τῇ κατὰ τὸν Πάπαν Ἰωάννην καὶ Φώτιον τὸν Πατριάρχην γεγονυίᾳ διωρίσθη ἀφαιρεθῆναι τὸ, ἐκ τοῦ υἱοῦ ἀπὸ τοῦ συμβόλου. πολλὰ δὲ καὶ ἐπίτηδες ἀγνοεῖν ὑποκρινομένων διὰ τὴν τῶν πλειστάκις [?] δυσχέρειαν. πλεῖστα δὲ ἐπ' ἐσχάτων καὶ ὀνειδισάντων καὶ καταψηφισάντων, ὅτε εἰς ἀγῶνα διεκηρύχθη τὰ τῶν διαφορῶν. καθάπερ ἀνωτέρω ἐπὶ Σεργίου καὶ Μιχαὴλ διεσκεψάμεθα ἔτει ἐνναχοσιοστῷ ἐννενηκοστῷ ἐνάτῳ. καὶ ͵α ν γ΄. ἀλλὰ φεῦ πάθεσιν οἰκείοις ἐξυπηρετοῦντες οἱ ἄνθρωποι, καὶ οὐκ εἰς ὑπακοὴν Χριστοῦ δουλοῦντες τὸν νοῦν, ἐξ ὀλίγων, εἰς πλείστας αἷς νῦν περιεπάρητε καινοτομίας, ἡμῶν ὀρθῶς οὖν δὲ θεοσεβῶς ἐξωκείλαντες, ἀκλονήτων διαμεινάντων ἀεὶ τῶν ἀνατολικῶν, ἐν οἷς πάντα παρέλαβον ἄνωθεν.

ι΄ Ἤλθομεν καὶ πρὸς τὸν ὑμέτερον νέον Μωϋσῆν, ἤτοι νομοθέτην γελάσιον, καὶ τὰ γελάσιμα ὄντως αὐτοῦ αὐχήματα ἐν τῇ πρὸς τοὺς δαρδανίας ἐπισκόπους (ὡς ὑμεῖς προβάλλετε) ἡμῖν δ' ἄγνωστα πάντα, καὶ ἀντ' οὐδενὸς δεκτὰ τὰ τοιαῦτα τῶν ῥωμαίων θεσπίσματα.

α΄ Πρῶτον μὲν ἡ ἀποστολικὴ φησὶ καθέδρα πολλάκις κατὰ τὸ τῶν προγενεστέρων ἔθος, καὶ μὴ προηγουμένης συνόδου, καὶ λύειν οὓς ἡ σύνοδος ἀνόμως κατέκρινε, καὶ κατακρίνειν, οὐδὲ μιᾶς ὑπαρχούσης συνόδου οὓς ἐχρῆν ἔχει τὴν ἐξουσίαν. β΄ Δεύτερον, τὸν γὰρ ἐν ἁγίοις ἀθανάσιον ὑπὸ τῆς τῶν ἀνατολικῶν συνόδου κατακριθέντα, οὐδαμῶς ἀποδεξαμένη τὴν ψῆφον κατέλυσε. γ΄ Τρίτον, καὶ τὸν ἐν ἁγίᾳ τῇ μνήμῃ Ἰωάννην τὸν Κωνσταντινουπόλεως ὀρθοδόξων ἐπισκόπων σύνοδος καταδίκασεν, ὅνπερ ὁμοίως ἐπειδὴ οὐ συνῄνεσε, καὶ μόνη ἀπέλυσε. δ΄ Τέταρτον, ἔτι τὸν ἐν ἁγίοις Φλαυιανὸν ἀνατολικῶν ἐπισκόπων ἀθροίσματι καταψηφισθέντα, ἐπείπερ ὁμοίως οὐ συνεφώνησεν ἡ ἀποστολικὴ καθέδρα, ἀπέλυσε. ε΄ Πέμπτον, μᾶλλον δὲ τὸν τῆς δευτέρας καθέδρας ἐπίσκοπον ἰδίᾳ αὐθεντείᾳ κατεδίκασε, καὶ τὴν ἀσεβῆ σύνοδον μόνη κατέστρεψεν. ς΄ Ἕκτον, αὐθεντικῶς ὥστε τὴν ἐν Χαλκηδόνι γενέσθαι τεθέσπικεν. ζ΄ Ἕβδομον, συμπεραίνων προστίθησιν, ἡ γοῦν μόνη ἐξουσιάζουσα τοὺς συνοδικῶς κατακριθέντας δικαιῶσαι, ἡ αὐτὴ πάλιν καὶ συνόδου χωρὶς πλείστους καταδικάσαι γινώσκεται.

Α΄ Πρὸς δὲ ἃ συνάγεις ἐκ τῶν ματαίων τούτων, ἑξῆς μετὰ τὰ ὑποκείμενα καταλύσομεν. νῦν δὲ τὸν ἔλεγχον τῶν προτεθέντων ὑποστρώσωμεν. Πρὸς τὸ πρῶτον, πῶς οὐκ ἄντικρυς ἔκθεσμον, μόνον τινὰ ἱεροπρεπῶς διατελούμενον, λύειν ἐξ ἰδίας ἐξουσίας τὰ συνοδικῶς πεδηθέντα, καὶ τὰ λυθέντα συνδεῖν, ὅπουγε καὶ τοῖς βασιλεῦσιν αὐτοῖς (καίτοιγε ὑπὲρ νόμον τὰ τῶν

νόμων διοικοῦσιν) οὐκ ἔξεστι τὸν κατηγορηθέντα (μήτοιγε καὶ καταχειρισθέντα)
ἀνεξετάστως ἀθωῶσαι, τὰς κατηγορίας μὴ πρότερον ἐπεσκεψαμένοις. εἰ γὰρ
καὶ τὸν ὄντως ὑπεύθυνον, τῇ ὑπὲρ νόμους αὐθεντείᾳ δύναιντο οἱ βασιλεῖς
ἀπολῦσαι, ἀλλὰ καὶ τοῦτον οὐχ ὡς ἀνεύθυνον, ἀλλ᾽ ὡς ὑπεύθυνον μὲν, κα-
τοικτειρόμενον δὲ διὰ φιλανθρωπίαν, καὶ βασιλικὴν ἐπιείκειαν. πῶς οὖν τὸ　　5
μὴ συγχωρούμενον πολιτικῶς, τῇ θεοπρεπῶς συνωκισμένῃ ἱεραρχικῇ κατα-
στάσει, κανόσι καὶ θεσμοῖς ἀλύτοις περιορίζομένῃ, συγχωρηθήσεται. τυρα-
ννικὸν ἄρα πᾶν τὸ παρὰ ταῦτα τολμώμενον, καὶ οὐδαμῶς κανονικόν. καὶ
θεὸς αὐτὸς καταδικάσαι σόδομα, καὶ τὰς περὶ αὐτὰ τέσσαρας πόλεις δι-
αινούμενος, ἀγγέλους ἀποστέλλει τὸ ἀληθὲς ἀνερευνήσοντας. μή τι λέληθε τὸν　　10
θεὸν, παρ᾽ ᾧ πάντα γυμνὰ καὶ τετραχηλισμένα, καὶ τὰ κρυπτὰ τοῦ σκό-
τους ἀποκαλύπτοντι, καὶ καρδίας ἐτάζοντι καὶ νεφρούς. ἢ οὐχὶ ὅσα προεγρά-
φη εἰς τὴν ἡμετέραν νουθεσίαν προεγράφη κατὰ τὸν μέγαν ἀπόστολον. ἢ ἄρα-
γε καὶ ὑπέρθεον ἐξουσίαν μερικῇ τινὶ ἐκκλησίᾳ ὁποία καὶ ἡ ῥωμαϊκὴ ὑπὸ
τῆς καθολικῆς τελούσαι, ἀπονέμειν ματαίως ἐπιμηχανᾶσθε. οἶδ᾽ ὅτι καί　　15
ποτε τολμηθὲν τοῦτο τοῖς ῥωμαϊκοῖς ἀρχιερεῦσιν. ἀλλ᾽ ἄκουε καὶ ἐπιτίμη-
σιν θεοπνεύστου συνόδου, καίτοιγε ὑπὸ πάπαν τελούσης, πρὸς Κελεστῖνον τὸν
πρὸς ὃν οἱ ἐν ἀφρικῇ πατέρες διεφέροντο Βονιφάτιον καὶ Ζώσιμον διαδε-
ξάμενον, οὕτως ἐπιστελλούσης ἐν κανόνι ἐσχάτῳ τῆς ἐν καρθαγένῃ κατὰ τὴν ἔκδοσιν
τῶν ἀνατολικῶν· ἱκετεύομεν ἵνα τοῦ λοιποῦ πρὸς τὰς ὑμετέρας ἀκοάς, »20
τοὺς ἐντεῦθεν παραγινομένους, εὐχερῶς μὴ προσδέχησθε, μὴ δὲ τοὺς παρ᾽ »
ἡμῶν ἀπὸ κοινωνίας γινομένους, εἰς κοινωνίαν τοῦ λοιποῦ θελήσητε δέξασθαι. »
ἐπειδὴ τοῦτο καὶ τῇ ἐν νικαίᾳ συνόδῳ ὁρισθὲν, εὐχερῶς εὑρήσει σεβασμιό- »
» της (κανόνι: ε) μὴ οὖν οἱ ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ ἀπὸ τῆς κοινωνίας ἀπαρτι-
» σθέντες, παρὰ τῆς σῆς ἁγιωσύνης σπουδαίως, καὶ καθὼς μὴ χρὴ, φανῶσιν　　25
» ἀποκαθιστάμενοι τῇ κοινωνίᾳ. κἂν τῷ τέλει. τὸν δὲ κλαύσιμον ἀπιάριον
» (ὃν ὁ Πάπας δῆθεν καταχειρισθέντα ὑπὸ τοῦ ἰδίου ἐπισκόπου οὐρβανοῦ, καὶ ὑπὸ
» τῆς ἐν ἀφρικῇ συνόδου, ἐδικαίωσε ζώσιμος) τοῦτον τῇ δοκιμῇ καὶ ῥυθμίσει
» τῆς σῆς ἁγιωσύνης, ἐν τῷ σώζεσθαι τὴν ἀδελφικὴν ἀγάπην περαιτέρω ἡ
» ἀφρικὴ οὐδαμῶς ὑπομένει. ἀλλὰ μὴν καὶ ἀρχαιότερος τούτων, ναὶ δὴ καὶ　　30
― ἀρχαιότερος εἷς ὁ μέγας Βασίλειος ἐν οἷς πρὸς μέλετιον τὸ τέταρτον ἐπι-
στέλλει, μαρτυρεῖ πλημμελοῦντας τοὺς δυτικοὺς περὶ τοῦτο, φάσκων αὐτῆς
» περὶ τὸ τέλος λέξεσιν, ἔδοξε (διὰ γράμματος) παρακαλέσαι τοὺς ἐν
» δύσει (οὔτε γὰρ μόνος καθ᾽ ἑαυτὸν ὁ Πάπας, εἰ μὴ μετὰ ἰδίας συνόδου ταῦτα
» διεπράττετο) μὴ ἀκρίτως δέχεσθαι τὰς κοινωνίας τῶν ἐκ τῆς ἀνατολῆς ἀ-　　35
» φικνουμένων, ἀλλ᾽ ἐκ τῆς μαρτυρίας τῶν κοινωνικῶν προσλαμβάνεσθαι, καὶ
» μὴ παντὶ τῷ γράφοντι πίστιν ἐπὶ προφάσει τῆς ὀρθοδοξίας προστίθεσθαι. οὕτω γὰρ
» εὑρεθήσονται τοῖς μαχομένοις κοινωνοῦντες. ἔτι δὲ ἀτάκτως χειροτονοῦντας
τοὺς δυτικοὺς παρίστησι τὰ περὶ παυλῖνον διεξερχόμενος, ὡς ἐν τῇ πρὸς
τοὺς δυτικοὺς διαλαμβάνει. ἧς ἡ ἀρχὴ Κύριος ὁ θεὸς ἡμῶν. ἐξ ὧν　　40
συνάγεται προχειρον, ὅτι τὰ οὕτωσὶ παρὰ τοῦ Πάπα γινόμενα, εἴτε μό-
νῳ, εἴτε καὶ

Καρθαγ: καν: ἐσχάτῳ, διορθῶσαι τὸν Πάπαν.

νου εἴτε, καὶ μετὰ ἰδίας συνόδου, ἐπιλήψιμα, καὶ οὕτοι δεκτὰ κατὰ τὸν ἐν
„ τῇ πρώτῃ συνόδῳ κανόνα πέμπτον, οὕτω διακελεύοντα. περὶ τῶν ἀκοινω-
„ νήτων γενομένων κρατείτω ἡ γνώμη τῶν καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπων, κατὰ
τὸν κανόνα τὸν διαγορεύοντα τοὺς ὑφ' ἑτέρων ἀποβληθέντας, ὑφ' ἑτέρων μὴ
5 προσίεσθαι. ἔστι δ' οὗτος ὁ δωδέκατος κανὼν τῶν ἀποστόλων.

Συνόδ: α΄: Κανὼν: ε΄: Ἀποσ: καν: ιβ΄.

Β΄ Πρὸς δὲ τὰ εἰς παράστασιν ὑποδείγματα τῶν ἁγίων Ἀθανασίου, Ἰωάν-
νου τοῦ χρυσοστόμου, καὶ Φλαβιανοῦ, τίνα ἰσχὺν πρὸς τῆς ἀληθείας ἔχου-
σιν. ὁπότε ὑπὸ παρανόμων συνεδρίων καὶ λῃστρικῶν μάλιστα, καὶ οἱ τρεῖς
οὗτοι κατεδικάσθησαν; ὁ πηνίκα οὐ μόνον ἐξῆν τῷ Πάπᾳ, ἀλλὰ καὶ παντὶ Πα-
10 τριάρχῃ τοῖς ἀδικουμένοις συναγωνίζεσθαι, ἐρῶ καὶ πλεῖον. καὶ ἑτέροις τοῦ-
το ἐξῆν ἐσχατωτέροις θρόνοις, καὶ πᾶσιν ἁπλῶς ἐπισκόποις ἀνδριζομένοις πρὸς
τὴν ἀλήθειαν, καὶ ἵνα καθ' ἕκαστον ἰδίᾳ διασκέψωμαι, πῶς ἀπέλυσεν Ἰούλιος
Ἀθανάσιον. μή τι ἄρα ἰδίᾳ αὐθεντίᾳ μόνος, μεθ' ἧς ὑπολαμβάνετε ὑπάρ-
χειν τῷ Πάπᾳ, ἀχωρίστου συνεργείας τοῦ ἁγίου πνεύματος; ἀνάγνωτε τὰ
15 ἐν σαρδικῇ καὶ ἴδετε, ὅτι προσεμαρτυρήσαντο Ἀθανασίῳ καὶ ἐπίσκοποι ἀπ' αἰ-
γύπτου ὀγδοήκοντα. καὶ τούτων μὲν ἴσως οὐκ ἔχρῃζεν, εἴπερ περὶ πίστιν ἐγυμνά-
ζετο τὰ κατ' Ἀθανάσιον, ἱκανοῦ ὄντος αὐτοῦ καὶ μόνου πρὸς τοιαύτην ἀπολο-
γίαν. ἀλλ' ὅτι προστριβέντων αὐτῷ ἐγκλημάτων, καὶ κατηγόρων ἐνισταμέ-
νων, καὶ φαινομένης καταγνώσεως, ἑτέρους ἔδει προσμαρτυρῆσαι τῷ ἐγ-
20 καλουμένῳ.

Γ΄ Πρὸς δὲ τὰ περὶ Ἰωάννου τοῦ Χρυσοστόμου, ἀναμφιβόλως ἔδει τὸν Πάπαν καὶ
πάντα Πατριάρχην αὐτῷ ἐπαμυνέσθαι, ὡς παρ' ἐνοχίας κριθέντι, ὡς
ὑπὸ ἐλάττονος θρόνου, ὡς ὑπὸ ὀλιγωτέρων. πλείονας γὰρ εἶχεν ἐπισκό-
πους περὶ αὐτὸν ὁ μέγας Χρυσόστομος (καθάπερ λεπτομερῶς ἱστορεῖ ὁ μαθη-
25 τὴς αὐτοῦ Ἑλενουπόλεως Παλλάδιος) καὶ ὡς ὑπὸ ἐχθρῶν, καὶ ὑποδίκων μά-
λιστα, καὶ ἐχθρωδῶς. τίς τοσαύτας ἀταξίας ἐνέγκοι καὶ ἀναξιότητας, ὥστε
καὶ τὸν ἐλάχιστον θρόνον μὴ διεγείρεσθαι εἰς ἄμυναν τοῦ ἀθώου, καὶ τῶν κανόνων.

Δ΄ Ἀλλὰ καὶ ἀναξιώτερα τὰ κατὰ Φλαβιανοῦ τετολμημένα, ὅσῳ μᾶλλον καὶ κατὰ
πίστεως. τί δήποτε ἐκ τούτων ἀφέλκετε ὑπὲρ τῆς ῥωμαϊκῆς συνάγεις
30 καθέδρας, ἢ ὅτι ἀνδρικώτερον ἐνίσταντο, εἶθ' ὅτε, ὑπὲρ τοῦ δικαίου οἱ τῶν
Ῥωμαίων Πάπαι; περὶ τούτου ταννῦν οὐκ ἔστιν ἀναζητεῖν, τίνος ἕνεκεν.
οὐ φθονοῦμεν, μᾶλλον δὲ καὶ θαυμάζομεν τὸ γενναῖον ἐκείνων, καὶ τὰ πρωτεῖα
κατὰ τοῦτο μόνον οὐκ ἀδίκως οὔτε δωρεὰν ἐπιφερομένους αὐτοὺς ἐκθειάζομεν.

Ε΄ Ἀλλὰ σὺ τίνος ἕνεκεν βασκαίνεις ὦ Γελάσιε τοῖς δευτερείοις τοῦ Κωνσταντι-
35 νουπόλεως, καὶ τὸν βδελυρὸν Διόσκορον τῆς δευτέρας ὀνομάζεις καθέ-
δρας ἐπίσκοπον, ἆρ' οὐ τὰ πρεσβεῖα παρὰ τῆς δευτέρας οἰκουμενικῆς συνό-
δου ὁ τῆς βασιλίδος κανονικῶς ἐκομίσατο; ἆρ' οὐ Νεκτάριος εὐθὺς ἐν
προοιμίοις σύνοδον συγκροτήσας, παρόντος καὶ Θεοφίλου Ἀλεξανδρείας, καὶ
Φλαβιανοῦ ἀντιοχείας περὶ Ἀγαπίου καὶ Βαγαδίου ἐπισκόπων Βόστρης; ἆρ' οὐχ
40 οὗτος προΐσταται καὶ προοιμιάζει καὶ προαποφαίνεται, ὅσος δὲ καὶ οἷος ἔκτοτε
ὁ θρόνος τῆς βασιλίδος, παρίστησι κατὰ Νεστορίου πρὸς Κελεστῖνον ὁ Κύριλλος

γράφων

γράφων καὶ λέγων ὧδέ πη. ἀφρύωται Νεστόριος, καὶ οἴεται, ὅτι τῇ δυναστείᾳ τοῦ θρόνου πᾶσιν ἐπιβουλεύων, καὶ ἡμᾶς ἤδη καὶ τοὺς ἄλλους ἅπαντας ἀναπείσειν τὰ αὐτὰ φρονεῖν αὐτῷ. Ἐπὶ τίνι οὖν τῷ τοῦ θρόνου πεποιθὼς ἐτόλμα Νεστόριος, ἃ καὶ νῦν κατὰ τῶν ἀδελφῶν ὁ Ῥώμης, οὐμενοῦν ἐλάττων ἦν τοῦ τῆς ἀλεξανδρείας ὁ Κωνσταντινουπόλεως, ὅπερ φανερῶς ὁμολογεῖ καὶ πασχασῖνος ὁ λεγάτος κατὰ διοσκόρου, ἐν τῇ πρώτῃ πράξει τῆς ἐν χαλκηδόνι καὶ οἱ ἐκεῖσε ἅγιοι Πατέρες ὁπότε Νεστορίου κατεβόων λέγοντες, ὅτι Φλαβιανὸν βιαίως ὑπέταξε διόσκορος μετὰ τοὺς ἄλλους Πατριάρχας. εἰ δὲ καὶ ἐλάττων, τί ὅτι ἐν τῇ τετάρτῃ συνόδῳ μετὰ τὸν θρόνον ῥώμης ἀπαριθμεῖται πρὸ τῶν ἄλλων ἁπάντων, ἐν ταῖς πράξεσι πάσαις ὁ Κωνσταντινουπόλεως. τί δήποτε καὶ μέσος τῶν τῆς ῥώμης λεγάτων ἀνατόλιος ἐκαθέζετο συνομολογούντων αὐτῶν; οὐκ οὖν διὰ τὸ εἶναι τὴν πόλιν βασιλεύουσαν ἀπηνέγκατο ἐνδίκως καὶ τὰ πρωτεῖα, κατὰ τὸν μετὰ ταῦτα γενόμενον ἐν χαλκηδόνι :κή: κανόνα ὑπὲρ ἑκατέρας ῥώμης. τοῦτο γὰρ ἐπηκολούθει ἐν τοῖς ἀρχαίοις, τῇ φύσει καὶ ἀνάγκῃ τοῦ πράγματος. πῶς γὰρ ἂν εὐνομίμως Ἰωάννης ὁ χρυσορρήμων τοιοῦτος ἀνὴρ θεόσοφος ἄμεμπτος πάντῃ καὶ δίκαιος, ἀποδέξασθαι τὰς κατὰ τοῦ ἐφέσου Ἀντωνίου παρ' ὑποκειμένων ἐκείνῳ ἐπισκόπων κατηγορίας, ὁ πότε καὶ δι' ἑαυτοῦ ἀναζεύξας ἀπὸ Κωνσταντινουπόλεως μετὰ πολλῆς ἀδείας καὶ ἐξουσίας, τὰς ἀσιατικὰς ὡς κριτὴς ἐπιβαίνει ἐπισκεπτόμενος ἐπαρχίας, καὶ καθελὼν ἐπισκόπους πεντεκαίδεκα (ὡς ἐν τῇ :ιβ': πράξει, τῆς ἐν χαλκηδόνι περὶ βασσιανοῦ καὶ στεφάνου τῶν ἐφεσίων προέδρων) τοσούς δὲ ἀντ' ἐκείνων ἀντικατέστησεν, εἰ μὴ τῷ εἶναι μοναρχοῦσαν τῆς οἰκουμένης τὴν πόλιν ἐπηκολούθει (ὡς καὶ τῇ πρεσβυτέρᾳ ῥώμῃ) τοιαύτη ἐξουσία τε καὶ τιμή. οὐκ ἔστιν ἄρα δευτέρας ἄλλος ἐπίσκοπος, ἀλλ' ἢ ὁ Κωνσταντινουπόλεως, τίς οὖν ὁ παρὼν ἐκ βασκανίας ἐν προσχήματι δικαιοσύνης λόγος, ὃν ὑμεῖς, καὶ τις ἄλλος (ὅπερ τὰ λοιπὰ ἁγιώτατος Λέων φημὶ) ὑπεραπολογεῖται, ὅτι διεκδικεῖται τοὺς ἐν νικαίᾳ κανόνας, ῥητῶς δὲ τὸν ἕκτον, τὰ ἀρχαῖα κρατεῖν ἔθη νομοθετοῦντας, καὶ σώζεσθαι ταῖς ἐπαρχίαις τὰ πρεσβεῖα τῶν ἐκκλησιῶν. οὔπω τότε Κωνσταντινούπολις ἦν κατωνομασμένη, ἢ μᾶλλον εἰπεῖν τότε ἐνεκυμονεῖτο, καὶ μετὰ ἔτη πλείω πέντε ἐνεκαινίζετο. ἀκόλουθον ὅμως ἦν καὶ παρὰ τοῦ κανόνος τιμᾶσθαι καὶ προτιμᾶσθαι τὸν τῆς βασιλίδος ἐπίσκοπον, ὡς καὶ ὁρῶμεν διὰ τὰ ἐκεῖ τότε σκῆπτρα κατὰ τὸν εἰκοστὸν ὄγδοον τῆς ἐν χαλκηδόνι. εἰ γὰρ μικραὶ πόλεις εἰς μεγάλας ἀνακαινιζόμεναι, ἅμα καὶ τὴν ἀρχιερατείαν εἰς μητροπόλεως τάξιν ἀνάγουσι, κατὰ τὸν ῥυθμὸν τῆς πολιτείας, καὶ τὴν ἀξίαν, κατὰ τὸν :ιβ': κανόνα τῆς :δ': συνόδου, πολλῷ μᾶλλον ἔδει τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ εἰς τοσοῦτο μέγα ὕψος ἀρθεῖσαν ἐν τοῖς πολιτικοῖς πράγμασι, καὶ τὸν ταύτης ἀρχιερέα τὰς πρώτας ἀπολαύειν τιμάς, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς μεγαλύνεσθαι πράγμασι, μὴ ἄρα οὐκ εὐθέως Ἀλέξανδρος, μᾶλλον δὲ ὁ ἐν ταύτῃ μητροφάνης τιμῶν οὐκ ἀπήλαυσαν Πατριαρχικῶν, καὶ ὁ μετ' αὐτὸν Παῦλος, ἐν ῥώμῃ. ἀλλ' ἀφέντες ἤδη τὰ αὐτοκατάλυτα λύειν, ἀνακρινόμεθα ἔργῳ καὶ τὰ ἐχόμενα.

Διόσκορον.

ϛ′ Διόσκορόν φησιν ἰδίᾳ αὐθεντίᾳ κατεδίκασεν ὁ Πάπας, καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον γενέσθαι τεθέσπικε. ψευδὲς πάντη τὸ δεύτερον, τὸ πρῶτον οὐκ ἔστιν ἰδίᾳ μόνου τοῦ Πάπα αὐθεντίᾳ, ἀλλ' ὅτι μόνος ὁ Πάπας περιελέλειπτο τότε, καὶ ὁ δυνάμενος ἀντιπολεμῆσαι οὐκ ἦν. ὁ Κωνσταντινουπόλεως γὰρ ἤδη τυραννικῶς καθῄρητο. ὁμοίως καὶ δόμνος ὁ Ἀντιοχείας, ὡς τοῦ Κυρίλλου καταφλυαρήσας. ὁ Ἱεροσολύμων Ἰουβενάλιος συμπαρὼν σύμψηφος. μόνος ὁ Ῥώμης περιελέλειπτο, καὶ τὰ τῶν ἀδελφῶν ἐπλήρου. καὶ νομίμως τὰ παρανόμως τολμώμενα κατέστρεφεν. ἐπαινῶ καὶ ὑπεράγαμαι. τί οὖν, αὐθεντίᾳ ἰδίᾳ μόνου; οὐ μόνου, ἕκαστος γὰρ ταυτὸ μέγας θρόνος ἐνείχετο διαπράττεσθαι. ἀλλὰ τίς τὴν ἐν Χαλκηδόνι συνεκάλεσε σύνοδον, Μαρκιανὸς αὔγουστος, ἢ Λέων ὁ Πάπας; ἀνάγνωθι τὰ ὄπισθεν καὶ πεισθήσῃ.

Ζ′ Τὸ δ' ὃ συμπεραίνεις ἕβδομον, ἐκπεπολάσθω ὡς ἀνῃρημένον, καὶ αὐτὸ συνανῄρηται. οὔτε γὰρ αὐθεντίᾳ μόνος ὁ Πάπας δύναται τοὺς συνοδικῶς κατακριθέντας, οὔτε ἀνάπαλιν τοὺς ἀθωωθέντας κατακρῖναι. μεταβῶμεν ἤδη πρὸς τὰ ὑπὸ σοῦ ὡς σοφιστοῦ συναγόμενα.

Α′ Πρῶτον μεγαλαυχεῖς ἐπὶ τῇ μαρτυρίᾳ Γελασίου, ὡς Πάπα δῆθεν παλαιτάτου, καὶ ἀνεπιτιμήτου, τὴν ῥωμαϊκὴν καθέδραν ὑπὲρ τὰς συνόδους ὑπεραίροντος.

Β′ Δεύτερον, ὅτι ἐπειδὴ οἱ Λατῖνοι τῇ ἀποστολικῇ ἐκείνῃ πρόσκεινται καθέδρᾳ, οὐ δύνανται νομίμως ὑπ' οὐδεμιᾶς ἐξουσίας, καὶ συνοδικῆς, καταδικασθῆναι ὡς αἱρετικοί.

Γ′ Τρίτον, ἀλλ' οὐδέποτε, τοιοῦτοι ἀπεφάνθησαν, μαρτυρούντων πλείστων παρὰ τῷ Χωματηνῷ Δημητρίῳ τῷ Βουλγαρίας, ἀρχιερέων ἀνατολικῶν.

Δ′ Τέταρτον, συλλογιζόμενος ἐκ τοῦ καθόλου, σχισματικοὺς ἀποδεικνύεις τοὺς ἀνατολικοὺς ἐκ τοῦ χωρίζεσθαι τῶν μὴ αἱρετικῶν ἀποφανθέντων Λατίνων. ἀλλὰ μὴν καὶ οἱ σχισματικοὶ γεγονότες ἰσχὺν οὐκ ἔχουσι κρῖναι ἢ κατακρῖναι τοὺς καθολικούς. ἄρα μένουσιν οἱ Λατῖνοι, ὡς τὸ πάλαι καθολικοί, οἱ δὲ ἀνατολικοὶ τοὐλάχιστον σχισματικοί.

Ε′ Πέμπτον, διϊσχυρίζῃ ἔτι μᾶλλον δεῖξαι ἡμᾶς καὶ αἱρετικούς, ἐκ τοῦ ὑπόληψιν ἔχειν ἡμᾶς, ὅτι οἱ Λατῖνοι αἱρέσει περιπεπτώκασιν. ὁ δὲ μέσος ὅρος οὗτος. ὑποστρῶσαι γὰρ οὐκ ὀκνήσω τὸ προχειρότατα ἀντιστρεφόμενον. τὸ ἀντιφατικὸν λέγεις τῆς αἱρέσεως, ἐστὶ πίστεως δόγμα. οὐκ οὖν εἴπερ αἵρεσις ἡ τῶν Λατίνων δόξα, νομιστέον ἂν τὸ τῶν ἀνατολικῶν περὶ πίστεως δόγμα. ἀλλὰ μὴν οὐκ ἔστι τοιοῦτον. ἄρα ὡς δόγμα πίστεως πιστεύουσι, τὸ μὴ τοιοῦτον. τοιοῦτον δ' οὐκ ἔστι, τὸ μὴ ὡς ἄρθρον πίστεως ἀποφανθὲν παρὰ γνησίας τινὸς εἰς τοῦτο ἐξουσίας. εἰ δὲ μὴ εἶεν ἂν αἱρετικοὶ οἱ Λατῖνοι (ὅπερ μὴ εἶναι ἄνω κατὰ τὸ πρῶτον καὶ δεύτερον τμῆμα ἀποδέδεικται) ἀλλὰ μὴν τοσοῦτον αἱρετικοὶ τυγχάνουσιν οἱ ὡς ἄρθρον πίστεως ἀποδεχόμενοι, τὸ μὴ τοιοῦτον, ὅσον καὶ οἱ ἀρνούμενοι ὡς μὴ ἄρθρον τὸ τοιοῦτον. ἄρα οἱ ἀνατολικοὶ τὸ ἀντίθετον Λατίνοις, ὡς δόγμα συνιστῶντες, μὴ τοιοῦτον δ' ἀποφανθὲν, αἱρετικοί εἰσι. καὶ ἑπομένως διὰ τοῦτο χωριζόμενοι τῶν Λατίνων, παρὰ τοῦτο ἐπ' ἀκριβείας εἰσὶν αἱρετικοί.

ς΄ Ἕκτον ἐπιφωνεῖς τῆς ῥωμαϊκῆς ἀδίκως ἀποχωρισθέντας καθέδρας τοὺς τῆς ἀνατολῆς ἀρχιερεῖς. καὶ Κύριλλον ἐπὶ τῇ πρὸς Κελεστῖνον εἰσάγεις μετὰ πολλοῦ τοῦ δέους καὶ εὐλαβείας, βουλὴν αἰτοῦντα καὶ γνώμην, ὅπως τῆς Νεστορίου ἀποστῇ κοινωνίας, μὴ τολμῶντα πρὶν τῆς ἐκείνου ψήφου τοιοῦτόν τι διαπράξασθαι. ἔστι δ' ἡ ῥῆσις αὕτη παρ' ἡμῖν αὐτολεξεί, ὡς ἐν τόμῳ πρώτῳ τῆς τρίτης συνόδου: κεφ΄: τεσσαρακοστῷ φέρεται. Οὐ πρότερον δὲ τῆς πρὸς Νεστόριον κοινωνίας ἐλαβόμενοι ἑαυτοὺς κατὰ παρρησίαν πρὶν ἂν ταῦτα τῇ σῇ θεοσεβείᾳ ἀνακοινωσώμεθα. διὸ δὴ καταξίωσον τὸ δοκοῦν τυπῶσαι, καὶ πότερόν ποτε χρὴ κοινωνεῖν αὐτῷ ἢ λοιπὸν ἀπειπεῖν μετὰ παρρησίας, ὅτι τοῖς αὐτὰ φρονοῦσι οὐδεὶς κοινωνεῖ. τὸν δὲ ἐπὶ τούτοις σκοπὸν τῆς σῆς τελειότητος χρὴ γενέσθαι διὰ γραμμάτων καταφανῆ καὶ τοῖς εὐλαβεστάτοις καὶ θεοφιλεστάτοις ἐπισκόποις, τοῖς κατὰ Μακεδονίαν, καὶ ἅπασι δὲ τοῖς κατὰ τὴν ἀνατολήν· ἐπιθυμοῦσι γὰρ αὐτοῖς, δώσομεν ἀφορμὰς ἐκ μιᾶς ψυχῆς καὶ γνώμης στῆναι καὶ ἐπαγωνίσασθαι τῇ ὀρθῇ πίστει πολεμουμένῃ.

ζ΄ Ἕβδομον, ἐκφωνεῖς ὡς θαυμάζων, πῶς τετόλμηκε κάκιστος Κωνσταντινουπολίτης (ἴσως περὶ Φωτίου νοῶν) τῆς ἐκδίκου τῆς ἀξιότητος ῥωμαίου (ἴσως Νικολάου τοῦ Πάπα) ἀποχωρισθῆναι, ὅπερ καὶ πρὸς Νεστόριον τὸν κάκιστον οὐκ ἐτόλμησεν ὁ ἁγιώτατος Κύριλλος.

Εἰς ἑπτὰ τοίνυν κεφάλαια τῆς ἔριδός σου διαιρεθείσης, ἤδη καὶ τῆς τούτων ἀνατροπῆς ἁψώμεθα.

Α΄ Εἰς τὸ πρῶτον, οἷον καὶ ὅσον ἐπαίρεις τὸν σὸν Γελάσιον τὸν ἀνεπιτίμητον, ἡμεῖς εἰς τὸν πυθμένα τῆς ἐλέγξεως καταγαγόντες παρεστήσαμεν. ἅμα δὲ σὺν αὐτῷ καὶ εἴ τινας ἄλλους ὁμόφρονας τούτῳ καὶ ὁμοψήφους παρεστήσαμεν. καὶ αἱ τοιαῦται τῶν ὑμετέρων Παπῶν ἀποφάσεις, τοῖς μὲν τῆς ἀληθείας ἡμῖν συνηγόροις, καταγέλαστα μορμολύκεια πεφηνότα, τοῖς δ' ὑπὸ χεῖρα ὑμῶν, λέοντες νομιζέσθωσαν καὶ ἐλέφαντες, ἐπὶ δὲ συνοδικῇ διαγνώσει αἰλούρων καὶ δασυπόδων σωμάτια ἐξισοῦσθαι μόγις ἀξιωθήσονται. τί γὰρ θαυμαστὸν εἴγε ὁ Πάπας Γελάσιος αὐτὸς τὸν ἑαυτοῦ θρόνον ὑπεραίρειν ἀνταγωνίζεται. ἢ τἀληθὲς εἰπεῖν οὐ θαυμαστὸν τὸ τοιοῦτον, ἀλαζονικὸν δὲ μᾶλλον ῥηθείη ἄν, καὶ πολλὴν τὴν ἀηδίαν ἐφέλκον. ἀηδιάζει γὰρ πᾶς τις ἀκούων ἄλλου τιμὰς ἑαυτοῦ καὶ μεγαλεῖα ἐπισπωμένου ἀνοίκεια.

Β΄ Εἰς τὸ δεύτερον δείξομεν ἐν τοῖς ἑξῆς ὑμᾶς τοὺς τῇ ῥωμαϊκῇ καθέδρᾳ προσκειμένους λατίνους, ὡς ἐπὶ ἀκλονήτῳ στύλῳ, ἢ ἐρριζωμένῃ πέτρᾳ, καὶ οὐ μᾶλλον ταῖς οἰκουμενικαῖς συνόδοις, καὶ τοῖς ὅροις, καὶ τῇ διδασκαλίᾳ, καὶ ταῖς παραδόσεσι τῶν Πατέρων, ὅμοιόν τι πάσχειν, καὶ πεπονθέναι, τοῖς ὀνειδιζομένοις ὑπὸ Σενναχηρεὶμ ὡς παρὰ Ἠσαΐᾳ ἐν : κεφ΄: λς΄: ἀναγέγραπται. ἔλεγε γὰρ ἐκεῖνος ἀλαζονευόμενος, ὅτι πεποίθατε ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην ταύτην, ὡς ἂν ἐπιστηριχθῇ ἀνὴρ ἐπ' αὐτῆς, εἰσελεύσεται εἰς τὴν χεῖρα αὐτοῦ καὶ τρήσει αὐτήν. οὕτως ἐστὶ Φαραὼ βασιλεὺς αἰγύπτου. οὕτω καὶ πᾶς θρόνος καὶ ἀρχιερεύς, (μήπηγε ὁρώμενος) ἀπολακτίσας τὰ πάτρια δόγματα καὶ ἴδια ἐπιτηδεύματα ἐφευρών. καὶ μή μοι σκολιῶς

ἐκλάβῃς

ἐκλάβῃς τὸ παράδειγμα, ἀντιφέρων ὅτι παρ' ἀσεβοῦς, τοῦ συναχηρεὶμ πρὸς
θεοσεβεῖς, τοὺς ἑβραίους οἱ λόγοι, ἀλλ' ὅτι οὐδὲ τῷ θεῷ ἀρεστὸν ἦν, τοὺς ἑβραίους
πεποιθέναι ἐπὶ φαραὼ, καὶ προσδοκᾶν παρ' αὐτοῦ τὴν σωτηρίαν, ὃ καὶ ἔργῳ τού-
τους ἐδίδαξε.

5 Εἰς τὸ τρίτον ὅτι καὶ μαρτυρούντων τῶν ἡμετέρων οὐδέποτε ὡς αἱρετικοὶ Γ'
κατεδικάσθητε. καὶ τοῦτο ἢ πρὸς τῆς ἐπιεικείας τῶν ἀνατολικῶν ἐστὶ καὶ
μακροθυμίας, ἢ τῆς οἰκονομίας. οἰκονομικῶς γὰρ ἐσιώπων, ὡς καὶ ἀνωτέρω
εἰρήκαμεν, ἵν' ἔχοιεν αὐτοὺς συμμαχοῦντας κατὰ τῶν τότε προφανῶς αἱρετι-
ζόντων καὶ πολεμούντων τῇ ἐκκλησίᾳ. τῆς δὲ ἐπιεικείας καὶ μακροθυμίας ἦν,
10 τὸ τοὺς ἐπισημοτάτους καὶ συμμαχήσαντας ἀείποτε καιριώτατα πάλαι κατὰ
τῶν αἱρέσεων, ὡς ἀσθενοῦντας περιθάλπειν, καὶ συναλγεῖν, καὶ ἀναμένειν
χρησταῖς ἐπὶ θεὸν ἐλπίσι τὴν ῥοπὴν, καὶ παρέχειν ὡς εἰκὸς καὶ ἐπιτηδείως
εἰ δέοι καὶ λανθανόντως, τὰ πρὸς ὑγίειαν. ἓν μὲν τοῦτο αἴτιον τοῦ μὴ ὡς αἱρε-
τικοὺς παρὰ τῶν ἀνατολικῶν τοὺς δυτικοὺς καταδικασθῆναι. τὸ δὲ ὅτι οὐθ' ὑμεῖς
15 ἀνερυθριάσαντες τότε ὡς νῦν τὰς καινοφωνίας τε καὶ καινοτομίας διεπρεσ-
βεύετε, ὑποστελλόμενοι δὲ μᾶλλον καὶ οἷον αἰδούμενοι τοὺς ἐλέγχους. εἰ δὲ καὶ
κατὰ μικρὸν ἐπὶ τὸ χεῖρον ὑπορρυέντες ἀδεῶς ἀπηχωρήσατε, ἀλλ' οὐκ ἀκίν-
δυνον ἦν κεχωρισμένοις ὑμῖν ἤδη οὖσιν, αἵρεσιν καταψηφίζειν, ὅπου γε ἡ-
μῖν τὰ τῶν σκήπτρων ἠσθένει, ἐκραταιοῦτο δὲ τὰ ὑμέτερα. μᾶλλον δὲ ταῖς
20 οἰκείαις ἀκαταστασίαις οἱ βασιλεῖς ἡμῶν καταναλωμένοι, καὶ διαλλαγὰς ἀπή-
τουν, καὶ συνθέσεις οἱ κρατοῦντες ἀφ' ἑαυτῶν πρὸς τὰς καινοφωνίας τοὺς ὑμε-
τέρους διεπρεσβεύοντο, ἅπερ οἰκονομικῶς τελούντων τῶν τὸ κῦρος μὴ ἐχόν-
των τῶν ἐκκλησιῶν, ὑμεῖς μέγαν τινὰ καὶ ἀκλόνητον ὡς δοκεῖτε πύργον κατὰ
τῆς ὀρθοδοξίας ἀνηγείρατε. πλὴν ἀλλ' εἰ καὶ μὴ συνοδικῶς παρ' ὑμῶν ἀποκη-
25 ρυχθέντες, μὴ παρὰ τοῦτο ἀπατᾶσθε ὡς καὶ τῆς ὀρθοδοξίας οὐδὲν ἧττον ἢ πρό-
τερον ἀντεχόμενοι. οὐ γὰρ τὸ κατακριθῆναι μόνον, ἀπευκτὸν ἀλλὰ καὶ τὸ κα-
τακρίσεως νομίζεσθαι ἄξιον. εἰ γὰρ τοὺς καινοτόμους ἁπλῶς καὶ γραφὴ, καὶ
Πατέρες, καὶ σύνοδοι, καὶ πολιτικὰ δικαστήρια κολάζουσι προφανῶς, προφα-
νῶς δ' ὑμεῖς οἱ καινοτομοῦντες, ποία τοίνυν ὑμῖν ἀπολογία, τὸ μὴ ὡς αἱρετι-
30 κοὶ κεκηρῦχθαι συνοδικῶς ὑφ' ὑμῶν. ὅμως καὶ τοῦτο ἐπὶ Μιχαὴλ Πατρι-
άρχου τοῦ κηρουλλαρίου γεγένηται, ἐπὶ Κωνσταντίνου τοῦ μονομάχου, ὅπερ ἰδι-
κώτερον γεγονέναι, καὶ μὴ συνοδικῇ ἀκριβείᾳ καὶ πληρεστάτῳ συλλόγῳ ὑπαι-
νίττεσθαι βούλομαι φιλαδελφίᾳ τε, καὶ φιλανθρωπίᾳ ὑμῖν χαριζόμενος.
ἀληθέστερον δ' εἰπεῖν ὅτι ἡ προσθήκη ἀφῄρητο μὲν παρ' ὑμῶν ὑπερισχυόντων τῶν
35 ἀνατολικῶν, διὸ καὶ εἰρηνεύοντες, οὐδὲν ἐνεκάλουν. ἀσθενούντων δὲ τῶν ῥωμαϊ-
κῶν πραγμάτων, αὖθις ὡς ἐκ παλινῳδίας αὐθαδῶς ἐνετίθετο παρ' ὑμῶν.
καὶ ὅτι μὲν ἀφῃρέθη ἐπὶ φωτίου Πατριάρχου καὶ Πάπα Ἰωάννου δείκνυται ἐν τῷ
φλωρεντινῷ συλλόγῳ, συνελεύσει ἕκτῃ, ἐν τῇ ἀρχῇ τῆς συνελεύσεως, φάσκοντος
τοῦ ἐφέσου, ὅτι ἡ σύνοδος ἐκείνη ἔκρινεν ἄξιον ἵνα ἐξαιρεθῇ παντελῶς ἡ προ-
40. σθήκη. ἐνῷ καὶ εἰς μαρτυρίαν εἰσάγει τὰς τοῦ Πάπα Ἰωάννου ἐπιστολάς. καὶ οὐ-
δὲν πρὸς ταῦτα οἱ λατῖνοι τότε ἀντέτεινον τότε, ἀλλ' ἀπεδέξαντο. παραστήσομεν

δέ σοι καὶ

δέστι καὶ ἀρχαῖον λατῖνον διδάσκαλον, τὸν λομβάρδον διδάσκαλον τῶν γνωμῶν λέγοντα ἐν διαιρέσει ἑνδεκάτῃ, ὅτι τὸ σύμβολον κατὰ τοὺς χρόνους ἐκείνους ἄνευ τῆς προσθήκης ἐν ταῖς τῶν ῥωμαίων ἐκκλησίαις ἐψάλλετο. ἦν δ' ὁ λομβάρδος οὗτος ὕστερος Φωτίου καὶ Ἰωάννου περίπου τριακόσια ἔτη. Φησὶ δὲ καὶ ὁ ὑμέτερος Βελλαρμῖνος ἐν τῷ περὶ προσθήκης συμφώνως τῷ λομβάρδῳ, ὅτι οὐκ ἐστέργετο παρὰ ῥωμαίοις ἡ προσθήκη. ἀντεχομένων δὲ τινῶν ταύτης ὁ Λέων Πάπας Τρίτος τὸ τῆς Δευτέρας συνόδου σύμβολον ἀργυροῖς γράμμασιν ἐγχαρακτήρισε καὶ ἐν τῷ Ναῷ τοῦ ἁγίου Πέτρου προσέβαλετο, καὶ ταῦτα μὲν ἐκ τῶν ὑμετέρων διδασκάλων.

Δ´ Πρὸς τὸ τέταρτον εὐχερὴς ἡ ἀπέλεγξις τῶν σοφισμάτων τῶν σῶν, οἷς ἀσθενεῖς εἰσὶν ἄντικρυς οἱ συλλογισμοὶ καὶ οἱονεὶ μόνον τὸ ἐριστικὸν διασώζοντες, οὐ γὰρ ἀπαραβάτως δεῖται συνοδικῆς ἀεὶ τὸ ἀποστῆναι τῆς τινῶν κοινωνίας. ἀλλ' ὅτε τὸ προστριβόμενον περὶ πίστεως ἔγκλημα, ἤπου ἐξεληλεγμένον ἐστίν. οὕτω καὶ ὁ Κύριλλος πρὶν συνοδικῶς καταδικασθῆναι Νεστόριον, ἔγραψε πρὸς Κελεστῖνον, ὅτι τοιαῦτα φρονοῦντι οὐδεὶς κοινωνεῖ, μᾶλλον δὲ κατ' ἀκρίβειαν, δέον ἐστὶ τῶν περὶ πίστιν ἱκανῶς ὑποπτευομένων ἀπέχεσθαι, ἕως ἂν τὸ εἰλικρινὲς τοῦ αὐτοῦ φρονήματος γυμνωθῇ, καὶ ἀθωωθῇ ὁ ὑποπτευόμενος, μήποτε τῇ πολλῇ διατριβῇ καὶ μακροθυμίᾳ συμφθαρῇ καὶ τὸ ποίμνιον· παράλογον γὰρ τοὺς ἐν κοσμικαῖς πολιτείαις ἀκριβῶς εὐνομοῦντας, τοὺς ἐπὶ λοιμῷ ὑφορωμένους τῆς κοινῆς ἀποσοβεῖν συνδιαιτήσεως, μέχρι καὶ τελείας ἀνακαθάρσεως, τοὺς δὲ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας προϊσταμένους, μὴ τοὺς ἐπὶ καινοτομίαις φωραθέντας τῆς κοινῆς ἀπείργειν κοινωνίας, ἄχρι πεπληροφορημένης ἐπὶ τῇ καθολικῇ συμφωνίᾳ συγκαταθέσεως. πῶς οὖν τοσαυτάκις ὑμᾶς ἐπὶ καινοτομίᾳ πίστεως, καὶ Πατρικῶν παραδόσεων ἅμα, καὶ κανόνων πεφωραμένους τε καὶ ἐξεληλεγμένους, οὐκ εὐλόγως ἐχρῆν παραιτήσασθαι, καὶ ἀδιορθώτους ἐπιμένοντας, καὶ μᾶλλον ἔτι ἐπὶ τὰ χείρω διολισθέντας ἀποστρέφεσθαι. οὐκοῦν μὴ ἐκ τούτου ὑμᾶς ἀποσχοινισθέντας, ἀποστρεφόμενοι, σχισματικοὶ ἐνδίκως ὑφ' ὑμῶν ἐγκαλούμεθα, μηδαμῇ, μηδαμῶς. ἐπεὶ γὰρ αἱρετικοὺς κἀυτὸς ἐκάλει τοὺς ὄντας ὀρθοδόξους Νεστόριος ἀντιδιαλεγομένους αὐτῷ, ἀλλ' οὐ παρὰ τοῦτο Νεστόριος ὀρθόδοξος, ὅτι οἱ περὶ Κύριλλον αἱρεσιῶται, οὐκοῦν ὁ τῆς μερίδος ὢν μᾶλλον τῶν καινοτόμων, αὐτὸς ἔστω καὶ καλείσθω σχισματικός. ἀναμεταξὺ δὲ ὑμῶν καὶ ἡμῶν τίς ὁ καινοτομῶν, οὐ μακρᾶς δεῖται καὶ πολυτρόπου βασάνου, ἡ παράδοσις καὶ ἡ ὁμολογία τῆς ἀρχαίας πίστεως διαγνώσεται (κατὰ τὸν μέγαν Βασίλειον, ὡς καὶ ἄνω εἰρήκαμεν Δευτέρῳ τμήματι πρὸς τὸ πρῶτον) ἐφ' ᾧ οἱ τῆς ἀνατολικῆς ἐκκλησίας τρόφιμοι, ἀτρώτως περιποιοῦνται, οἱ δὲ τῆς δυτικῆς ἀδεῶς παρατρέπουσιν· οὐκέτι τοίνυν ἀφανὲς τὸ συμπέρασμα, ὅτι μένομέν τε καὶ νῦν ὀρθόδοξοι, ὑπὸ σχισματικῶν δῆθεν τῶν ἀνατολικῶν, ὡς οἴεσθε, μὴ δυνάμενοι νομίμως κριθῆναι, καινοτομήσαντες γὰρ περὶ πίστιν, καὶ τὰ πατροπαράδοτα δόγματα λύσαντες ὑμεῖς, αὐτομάτως τῆς ὀρθοδοξίας ἐκπεπτώκατε. καὶ μάτην τοὺς ἀντεχομένους τῆς

ἀληθοῦς

ἀληθοῦς ὁμολογίας σχισματικοὺς ἀποκαλεῖτε, καὶ σφᾶς αὐτοὺς κολακεύετε,
ἢ μᾶλλον εἰπεῖν φρεναπατᾶτε, μηδαμόθεν κρείττους εἶναι μεγαλαυχοῦντες,
αὐτέλεγκτοι ὄντες καὶ αὐτοκατάκριτοι.

Εἰς τὸ πέμπτον ἀεροβατῶν ἔτι μᾶλλον τοῖς ἐπιχειρήμασι, καὶ τρέπων Ε′
5 εἰς τοὺς ἀνατολικοὺς τὰς ἐπὶ αἱρέσει δυσφημίας, λανθάνεις καιρίως ἀν-
τεπισπῶν εἰς τοὺς οἰκείους τὰ βέλη, καὶ τραυματίζων αὐτούς· ῥαδίως γὰρ ἡ-
μεῖς τὸ βέλος ἀντιστρέφομεν δεξιῶς ἐπὶ τοὺς βάλλοντας. ἀντιφατικὸν λέγεις
αἱρέσεως τὸ πίστεως δόγμα. ξύμφημι. συμπεραίνεις, κἀγὼ καθομολο-
γῶ, τοῦτο δ' ἐστιν. ἄρα εἴπερ αἵρεσις ἡ λατίνων δόξα, δόγμα πίστεως νο-
10 μιστέον τῶν ἀνατολικῶν. ὑπολαμβάνεις εἶτα σφαλερῶς καὶ συνάγεις ψευ-
δῶς οὕτως. ἀλλὰ μὴν οὐκ ἔστιν ἐκεῖνο δόγμα πίστεως, ἄρα πρεσβεύουσιν εἰς
οὐ δόγμα πίστεως. πῶς οὐ δόγμα πίστεως ἄνθρωπε, ἡ κοινὴ τῶν ἀποστόλων καὶ
Πατέρων ὁμολογία, ἤτοι γὰρ ἐκ τοῦ Πατρὸς τὸ πνεῦμα ἐκπορεύεσθαι ἐκή-
ρυξάν τε καὶ ὁροθέτησαν, καὶ τῷ τοιούτῳ ὅρῳ μὴ ἀφαιρεῖν ἢ προστιθέναι, ὑπὸ
15 βαρυτάτοις ἐπιτιμίοις ἐθεσμοθέτησαν. ὑμεῖς δὲ προστεθήκατε τό, καὶ ἐκ
τοῦ υἱοῦ. ἴδωμεν οὖν πῶς ἡμῖν παρέδωκαν τὴν ὁμολογίαν αἱ σύνοδοι καὶ ὁ παρα-
χαράττων εἴτε προσθέσει, εἴτε μειώσει ὑπεύθυνος. οἱ ἀνατολικοὶ ὡς παρε-
λάβομεν πρεσβεύομεν καὶ ὁμολογοῦμεν (τοῦτο γὰρ ὑπεραπελογεῖτο καὶ ἑαυτοῦ
Βασίλειος πρὸς τοὺς καινοτομίας αὐτὸν διαβάλλοντας) μηδὲν προστιθέν-
20 τες μηδὲν ὑφαιροῦντες. ὑμεῖς οἱ δυτικοὶ παραχαράξατε προστιθέντες. δόγ-
μα τοίνυν πίστεως τὸ ἡμέτερον, οὐ τὸ καινοτομηθὲν ὑμῖν. Ἐνίστασαι, ὅτι
ὥσπερ οἱ δυτικοὶ ὁμολογοῦσι τό, καὶ ἐκ τοῦ υἱοῦ, οἱ ἀνατολικοὶ ὁμολογοῦσι τὸ
ἐκ τοῦ Πατρὸς μόνου. οὐκοῦν ὥσπερ οἱ ἀνατολικοὶ προσέθηκαν τῇ κοινῇ θεο-
λογίᾳ τό, μόνου, καὶ ἀνέγκλητοι εἰσὶν, οὕτω καὶ οἱ δυτικοὶ προστιθέντες αὐ-
25 τοθέτως τό, ἐκ τοῦ υἱοῦ, οὐ δίκαιοι προσθήκης ἐγκαλεῖσθαι. Ἀλλὰ πολὺ τὸ ἐν
μέσῳ. ὑμεῖς προστεθείκατε τῷ συμβόλῳ τὸ καὶ πάντως ἀπηγορευμένον, καὶ
ψευδὲς ἔτι ἀποδεικνύμενον, ἡμεῖς πρὸς ὑμᾶς ἐνιστάμενοι, καὶ τὴν καινο-
τομίαν ἐκτρεπόμενοι, θεολογοῦντες διδάσκομεν καὶ ἀληθῶς τὸ ἐκ μόνου, οὐ-
μὴν δὲ καὶ προστίθεμεν (εἰ καὶ παρὰ τῶν διδασκάλων τὴν φωνὴν λαβόντες)
30 τῇ ἀπαρεγχειρήτῳ κοινῇ ὁμολογίᾳ. καὶ τὸ μὲν φρόνημα τῶν δυτικῶν ὑμῶν,
οὔπω ἐντεθὲν τῷ συμβόλῳ ἀλλ' ὡς ἐπικεκαλυμμένον τοῖς ἀνατολικοῖς ἡμῖν,
καίτοι χαλεπαίνουσιν ὅμως ὑπεφέρετο. προστεθὲν δὲ καὶ νοθεῦσαν τοῦ κοινοῦ δόγ-
ματος τὸ εἰλικρινὲς, οὐκ ἔτι ἀνεκτὸν ἐνομίσθη, οὐδὲ σιγῇ προσῆκον ἐπισκιά-
ζεσθαι. ἀλλ' ἢ διορθουμένου, προβαίνειν τὰ τῆς εἰρήνης ὁπωσδήποτε, εἰ δὲ μὴ τὴν
35 πρὸς ἀλλήλους πάντως κωλύεσθαι κοινωνίαν. καιρὸς μὲν οὖν ἄρτι αὖθις στρέψαι καὶ
τὸ βέλος πρὸς τὸν τοξεύσαντα, συλλογιζόμενοι καὶ ἡμεῖς οὕτω. τὸ ὑμέτερον φρό-
νημα, τὸ ἐκ τοῦ υἱοῦ δηλονότι, δόγμα πίστεως οὐκ ἔστιν, οὔτε ῥητῶς ἐν τῇ
ἀρχαίᾳ τῆς πίστεως εὕρηται ὁμολογίᾳ κείμενον, οὔτε μὴν ἐκ τῶν γραφῶν
συναγόμενον, μᾶλλον δὲ τοὐναντίον ῥητῶς ἐν ταῖς γραφαῖς, καὶ ὁμολογίαις
40 καὶ πατράσι τοῖς ἀρχαίοις τε καὶ ἐνδοξοτάτοις ἐκφαινόμενον. ἀλλὰ μὴν
ὡς δόγμα πρεσβεύετε τὸ ὑμῶν φρόνημα, ἄρα ὡς δόγμα, τὸ μὴ ὂν δόγμα

πιστεύετε· ἀλλὰ κατὰ σὲ τοσοῦτον αἱρετικὸς ὁ τὸ δόγμα ὂν, μὴ πιστεύων· ὅσον καὶ ὁ τὸ μὴ δόγμα ὄν, πιστεύων. ἄρα ὑμεῖς αἱρετικοί, διὰ τὸ τῆς ἐκπορεύσεως, καίτοι γε ἕτερα μὴ ὄντα τῆς ἐκκλησίας δόγματα, μᾶλλον δὲ καὶ ψευδῆ ἐξελεγχόμενα, πιστεύοντες. ὥστε οἱ χωριζόμενοι ἀφ' ὑμῶν διὰ τοῦτο, οὐχ αἱρετικοί, ἀλλ' ὀρθόδοξοι. ἴδε κατ' ἀνάγκην συλλογισμοῦ ἀντιστρέψασαν τὴν ἔκπτωσιν ὕβριν. οὐ γὰρ ἠβουλόμην εἰς τοσοῦτον προάγειν τὸν λόγον, ὥστε καὶ λέγειν εἰς λοιδορίαν καὶ λοιδορίαν τὴν Χριστιανοῖς αἰσχίστην. ἐπαινεῖν γὰρ τὰ ἐνόντα μᾶλλον ἡγούμεθα, ὡς εἰς τὴν πρὸς ἀλλήλους εὔνοιαν, εἰ μὴ καὶ τελείαν εἰρήνην, ἔχοντος πολὺ τοῦ πράγματος τὸ εὐάγωγον. ἀλλὰ τῷ συλλογιζομένῳ σοι λοιδορικῶς λογισθείη, ὅπερ ἡμεῖς ἀνάγκῃ διαλέξεως ὡς σεσοφισμένον ἀντεστρέψαμεν. οὐ μὴν δὲ καὶ ἀποφαινόμεθα, καὶ τὰ τῶν κοινῶν προγόνων αἰδούμενοι, καὶ τὴν πάλαι κοινωνίαν χρηστὰς ἐπὶ θεὸν ἐλπίδας ἀνανεωθῆναι προσδοκῶντες, εἰ βούλησθε, τὸ καὶ ἐφ' ὑμῖν, τὸ μεσότειχον τοῦ φραγμοῦ διαλῦσαι, καὶ ποιῆσαι τὰ ἀμφότερα ἕν, διὰ τῆς μιᾶς, ὡς καὶ ἀνέκαθεν ἀκαινοτομήτου ὁμολογίας καὶ πίστεως, εὐθείᾳ γνώμῃ φιλαληθείας, δυνάμενοι τοῦτο διαπράξασθαι. Πρὸς δὲ τὸ χρῆναι ἀποφαίνεσθαι ἄρθρον πίστεως παρὰ γνησίας ἐξουσίας, ἀνερμηνεύσομεν ἐν τοῖς ἑξῆς. ποία οὖν ἐστὶν αὕτη; ἀρκείτω μόνον τοῦτο εἰς ὑπόληψιν ἡμετέραν, μὴ εἶναι τὴν μάτην θρυλλουμένην ὑμῖν ἀποστολικὴν τοῦ Πάπα καθέδραν. ἀλλὰ μίαν καὶ ἔξοχον εἶναι κἀκείνην, ὀρθὰ φρονοῦσαν μέντοι, ἐκ τῶν πέντε καθολικῶν, καὶ ἀποστολικῶν τῆς οἰκουμένης θρόνων.

5' Εἰς τὸ ἕκτον πρὸς τὸ σὸν ἐπιφώνημα, τὰ προθεωρηθέντα ἱκανὰ παραστῆσαι, ὅτι οὐκ ἀπεσχίσθημεν ἡμεῖς, οἱ ἐμμένοντες ἀπαραλλάκτως τῇ ἀρχαιότητι, καὶ δογμάτων, καὶ ὁμολογίας καὶ παραδόσεων, καὶ κανόνων. ἀλλ' οἱ καινοτομήσαντες ὑμεῖς. ἀποσχίζεται δὲ ὁ τῆς ἑνώσεως ἀφιστάμενος. ἀφίσταται δὲ ὁ μὴ ἐμμένων τοῖς ὡρισμένοις μετὰ τῶν λοιπῶν μελῶν. ὑμεῖς τὰ πάντα παρεσαλεύσατε, καὶ τῆς τῶν λοιπῶν Πατριαρχικῶν θρόνων συνομολογίας ἀπέστητε. ἄρα καὶ ὑμεῖς ἐστὲ οἱ τὴν ἕνωσιν διαλύσαντες, καὶ ὡς ἀληθῶς ἀποσχισθέντες, ὅτι δὲ καὶ ἡμεῖς τὴν ὑμῶν ἀπεστράφημεν κοινωνίαν διὰ τοῦτο, καὶ ἀληθὲς μὲν οὖν γε καὶ νόμιμον. οὐ μὴν δὲ ἄδικον ὡς μάτην ἐξηρεύξω. πρὸς δὲ τὴν Κυρίλλου ῥῆσιν, εὐχερέστατόν ἐστι τοῖς ἀκριβῶς διεξιοῦσι τὰ τῆς Τρίτης συνόδου διακρινῆσαι τὸν τοῦ μεγάλου φωστῆρος σκοπόν. οὐ γὰρ ἐδεῖτο τοῦ τοῦ Πάπα Κελεστίνου ὁ καὶ σύνοδον κατὰ Νεστορίου συγκροτήσας, καὶ ἀποστείλας πρὸς τὸν δυσσεβῆ ἀρχιερεῖς τέσσαρας, κωμάριον, ποτάμωνα, Δανιὴλ καὶ Θεόπεμπτον, καὶ πρὸς τοὺς ἀνατολικοὺς Πατριάρχας, ἀλλὰ δὴ καὶ πρὸς τοὺς ἐξοχωτάτους τῶν λοιπῶν θρόνων, καὶ ἐπισκόποις ἐπιστείλας, καὶ πρὸς τοὺς Βασιλεῖς αὐτοὺς, καὶ Βασιλίδας. καὶ πρὸς τὸν ἀλιτήριον δώδεκα ἀναθεματισμούς· ὅτι καὶ οὐδεὶς ἄλλος ἐκοινώνει τῷ πιστῷ καθὰ μαρτυρεῖ ἡ ἐπιστολή, οὐκ ἐδεῖτο, λέγω, Κελεστίνου τοῦ ἀποσχίσαι τῆς Νεστορίου κοινωνίας, ὃν καὶ αἱρετικὸν ἐπιστέλλων ἀπήλεγχεν· ἀλλ' ὅπως διὰ τῆς τοιαύτης ἀδελφικῆς καὶ ταπεινῆς ἐρωτήσεως, διεγείρῃ κελεύειν εἰς ὅπερ καὶ διεπράξατο.

πράξατο. ἵνα σύμψηφον ἐκεῖνον ἔχῃ κατὰ Νεστορίου, ὡς ἂν ἔχῃ καὶ Κύριλλος διὰ τὴν τῶν ῥωμαίων συμμαχίας, εἰλικρινέστερον ὅσον πρὸς ἄλλως αὐτὸ τάττεσθαι Νεστορίῳ, καὶ μὴ ὡς πρότερον ὑποπτεύεσθαι. ὡς ἐχθροπαθῶς φερόμενος πρὸς ἐκεῖνον, καὶ ἐγκαλεῖσθαι, ὥστε καὶ δεηθῆναι ἀπολογίας. ἐδεῖτο τοίνυν τῆς τοῦ Πάπα μάλιστα συμφωνίας, ὡς Ἰωάννου ἀντιοχείας, καὶ ἰουβεναλίου Ἱεροσολύμων. ἀλλ᾽ ἴσως περὶ Ἰωάννου, ὡς συμφυλέτου Νεστορίου οὐ πολὺ τεθαῤῥήκει, καθὰ καὶ συμβέβηκεν, ὥστε κατὰ σκοπὸν γενομένου Κυρίλλῳ κελεστίνου· εὐθὺς καὶ αὐτὸς μετὰ παῤῥησίας τὴν ἀκοινωνησίαν Νεστορίῳ ἀπέστειλε, καὶ τοὺς δώδεκα ἀναθεματισμούς. οὐ τοίνυν ἡ ἐρώτησις ἦν περὶ τῆς καθ᾽ ἰδίαν ἀποχῆς τοῦ αἱρετικοῦ κοινωνίας, ἀλλὰ τῆς κατὰ παῤῥησίαν καὶ κρίσιν, ὡς διαῤῥήδην λέγει, καὶ τρανώτερον δι᾽ ἔργων ἀπέδειξεν. ὥστε μάτην λέγεις, ὅτι οὐκ ἐτόλμα δίχα τῆς κελεστίνου ψήφου ἀποσχέσθαι τῆς κοινωνίας Νεστορίου. ἧν γὰρ πρότερον ἀπεχόμενος ὥς φησι καθάπερ καὶ ἄλλος. ἔγκυψον πρὸς τῆς ἀληθείας τῷ τέλει τῆς ἐπιστολῆς, καὶ θεώρησον, ὅπως ἀναδιδάσκει λεπτομερῶς κελεστῖνον τὰ πάντα, καὶ λατινιστὶ διερμηνευθέντα παραπέμπει, ὅπως τὰς μεθόδους, ἀναντιῤῥήτως, καὶ ὅτι τάχιστα ἐλθούσης τῆς συγκαταθέσεως ἀναδύσηται πρὸς τὸν ἀγῶνα τῆς πίστεως. γράφει δὲ οὕτως (ἐπιστολῇ πρὸς κελεστῖνον παρὰ τῇ τρίτῃ συνόδῳ κεφαλαίῳ τεσσαρακοστῷ) ὑπὲρ δὲ τοῦ εἰδέναι σαφῶς τὴν σὴν ὁσιότητα, τίνα ἐστὶν ἃ αὐτὸς μὲν λέγει καὶ φρονεῖ, τίνα δὲ, ἃ οἱ Μακάριοι καὶ μεγάλοι Πατέρες. ἀπέστειλα τόμους κεφαλαίων ἔχοντας περικοπὰς. ἑρμηνευθῆναι δὴ παρεσκεύασα ἐν ἀλεξανδρείᾳ. καὶ οὐ τεκμήρια ἡμῶν ταῦτα. φωναὶ δὲ μᾶλλον διαπρεύσοι τῶν διδασκάλου, ὡς ὑπεστρώσαμεν. ὅπου λέγει, ὅτι τοιαῦτα φρονοῦντι οὐδεὶς κοινωνεῖ. τὸν δὲ ἐπὶ τούτοις σκοπὸν τῆς σῆς τελειότητος καὶ τὰ ἑξῆς, ὡς προτεθείκαμεν. ἔστιν ἰδεῖν ἀκριβῶς ἐκ τῶν λεγομένων, ὅτι διδάσκει τὸν κελεστῖνον ὁ Κύριλλος μᾶλλον ἐν τῷ λέγειν ἀπέστειλα πρὸς τὴν σὴν ὁσιότητα ἃ μὲν φρονεῖ Νεστόριος. ἃ δὲ φρονοῦσιν οἱ Μακάριοι καὶ μεγάλοι Πατέρες, ὥστε δυνατὸν ἐκ τούτων τῷ ἀκριβῶς ἐπιστήσαντι μᾶλλον εἰδέναι, τὸν κελεστῖνον χρήζοντα τῆς τοῦ Κυρίλλου βουλῆς καὶ ἀναδιδάξεως, ἢ τοῦτον ἐκείνου.

Ἔλθωμεν δὴ καὶ εἰς τὸ τελευταῖον, ὅπου θαυμάζων ἐκφωνεῖς κάκιστον Κωνσταντινουπολίτην, καὶ ἁγιώτατον ῥωμαῖον. εἰ μὲν ὁ λόγος περὶ φωτίου εἰρήκαμεν ἱκανῶς. καὶ ἐπὶ τοῦ παρόντος πλείω προσθῆναι περιττὸν δοκεῖ, αἰνιγματωδῶς σου ἐκφωνήσαντος. ζʹ

ΤΜΗΜΑ Γʹ

δείκνυται ἡ θέσις ἐκ τῆς ἀναμαρτησίας τῆς ῥωμαϊκῆς πίστεως, ἣ προΐσχονται λατῖνοι.

Συσφίγγων νυνὶ τὰ τῆς συμπλοκῆς, ἐπὶ τὸ ἀσφαλὲς καὶ ἀναμάρτητον καταφεύγεις τῆς ῥωμαϊκῆς καθέδρας, συνιστάνεις δὲ τοῦτο οὕτως ἐπιχειρῶν. ἐκείνη ἐστὶν ἀληθὴς ἐκκλησία, ἥτις περὶ τὴν πίστιν ἐστὶν ἀναμάρτητος. ἡ λατινικὴ ἐστὶ τοιαύτη. ἔχεται γὰρ τῆς ῥωμαϊκῆς καθέδρας. ἥτινι μόνῃ καθ᾽

ἐπαγγελίαν ὑπέσχετο Χριστὸς τὸ ἀδιάλειπτον τῆς πίστεως. ἐν πέτρῳ δηλονότι καὶ τοῖς αὐτοῦ διαδόχοις, καὶ τοῖς προκειμένοις αὐτοῖς. καὶ ταῦτα παρακαλῶν διὰ ῥητῶν ἀποστολικῶν τεσσάρων ὑποσημειώσεις, καὶ ἑτέρων διδασκαλικῶν ἐξηγήσεων. ἡμεῖς δὲ συντόμως ἀπολογούμεθα πρὸς τὰ προτεινόμενα. ἀποφάσκοντες μὲν ἁπλῶς τὸ ὅτι ἀληθὴς ἐκκλησία ἐστὶν ἡ περὶ τὴν πίστιν ἀναμάρτητος, ὁμολογοῦντες δὲ, ὡς καὶ προείπομεν, τὴν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν εἶναι τὴν ἐξ ἐπαγγελίας ἀναμάρτητον, καὶ πᾶσαν ἄλλην αὐτῇ συνηνωμένην, ἀληθῆ μὲν εἶναι, καὶ μέλος τῆς καθολικῆς καὶ ἀποστολικῆς, οὐ μὴν δὲ καθολικὴν καὶ ἀποστολικήν, ὥστε οὔτε ἡ ῥωμαϊκὴ μόνη οὔτε ἡ τῶν λατίνων ἅπασα, οὔτε ἡ τῶν ἀλεξανδρέων, οὔτε ἑκάστη τῶν τριῶν λοιπῶν ἀνατολικῶν, λέγεται καθολική, εἴπου οἰκουμενική. ἀποστολικὴ μέντοι, ὡς ἐξ ἀποστόλων ἔχουσα τὴν διαδοχήν, καθολικὴ δὲ κυρίως κατὰ τὴν ἐτυμολογίαν τοῦ καθόλου, οὐ δὲ μία καθ' ἑαυτήν, ἀλλ' ἅπασαι ἅμα. ὑμεῖς δ' οἱ λατῖνοι τὸ καθολικὸν αὐτὸ ὀρθοδόξου λαμβάνοντες εἰς ὁμωνυμίαν ἐμπίπτετε, καὶ ψεῦδος συνάγετε. ποῦ δ' ἡ ἀληθὴς ἐκκλησία, ὁ ὑμέτερος θεῖος ἱερώνυμος περιγράφει λέγων εἰς τὸν ρλγ' ψαλμόν. οὐκ ἐν τοῖς τοίχοις περιΐσταται ἡ ἐκκλησία, ἀλλ' ἐν τῇ τῶν δογμάτων ἀληθείᾳ. ἐκεῖ ἐστὶν ἡ ἐκκλησία ὅπου καὶ ἀληθής ἐστι πίστις. κἀκεῖ δὲ ἐκκλησία ἦν, ὅπου πίστις ἀληθὴς ἦν, ἡνίκα οἱ αἱρετικοὶ πάσας ταύτας τὰς ἐκκλησίας ἐκέκτηντο. καὶ ὁ μέγας Ἀθανάσιος εἰς τὸ πάντα μοι παρεδόθη. πρὸς τὴν ἀλήθειαν τὸ τῆς ἐκκλησίας γνώρισμα εὑρεῖν ἐκπαιδεύει λέγων. ἀληθὴς διδασκαλία ἐστὶν ἥτις τῶν πατέρων οὐδὲν διαφέρει. ὅτι δὲ οὐκ ἀναμάρτητος περὶ πίστιν ἐστὶν ἡ ῥωμαϊκὴ ἐκκλησία οὔτε ἡ λατινὶς ἅπασα συνηνωμένη ταύτῃ, μαρτυρεῖ ἐν τοῖς περὶ χρίσματος ζητήμασιν ἀδριανὸς ἕκτος παρὰ κορεσσίῳ σαφέστατα. μόνην λέγων τὴν οἰκουμενικὴν σύνοδον μὴ δύνασθαι σφάλλεσθαι. ὅπερ οὐ φωτὸς μεσημβρινοῦ τηλαυγέστερον ἀποφαίνεται ἐπαγγελίαν, οὐδ' ἑωθινοῦ προσαυγάσματος, ἵν' εὐφημότερον εἴπωμεν, ἐμφαίνει διάγνωσιν. Ἀλλ' ἄγε ἀκούσωμεν δὴ καὶ τὰς ἀποδείξεις.

ΑΠΟΔΕΙΞΙΣ Α'

Παρὰ Λουκᾷ εἰκοστῷ δευτέρῳ. σίμων σίμων ἰδοὺ
ὁ σατανᾶς ἐξητήσατο ὑμᾶς τοῦ σινιάσαι,
ὡς τὸν σῖτον. ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ,
ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου.
καὶ σύ ποτε ἐπιστρέψας,
στήριξον τοὺς ἀδελφούς σου.

Ταύτην καὶ τὰς ἑξῆς γραφικὰς μαρτυρίας προφέρων οὐ θαυμάσει, δέον σοφωτέρων τῶν λαμπροτάτων τῆς διαυγοῦς διδασκαλίας τὰ ῥητὰ ταῦτα διευκρινῆσαι, κἀκείνων μάλιστα, τῶν ὑπαρέργους ἢ ἐγκωμίου ἀνάγκῃ ἐμπιπτόντων τῷ λόγῳ, ἀλλὰ τῶν τὸ γράμμα μᾶλλον περιεργαζομένων, καὶ τὸν σκοπὸν ἀνιχνευόντων τοῦ λέγοντος, ἅμα δὲ καὶ τὴν κυρίαν θηρευόντων διάνοιαν, κἂν τούτων πρόσθεν, ἢ ἄλλοθεν.

(εἰδύς-

(εἰ δύσληπτον τοῖς ἀκούουσιν ἴσως τὸ λεγόμενον) σὺ μὲν ἀφεὶς ταῦτα ὡς τῆς σῆς ὄντα πόρρω ἐπιχειρήσεως, εἶπον ἀλλ᾽ ἅπερ εἰς ἔπαινόν τισιν ὑπὲρ τοῦ Μακαρίου Πέτρου εἰσὶν εἰρημένα (καὶ τίς τὸν πρωτοαπόστολον ὑπερφυῶς οὐχ ὑπερθαυμάσειεν) ἢ καὶ τῆς κορυφαίας τῆς πάλαι ῥώμης καθέδρας, ἢ τὰ ὡς εἰσαγωγικά, καὶ προοίμια τοῦ λόγου · αὐτόχρημα σύ, καὶ οἷς σοὶ δρασσόμενοι, εἰς πειθὼ νομίζετε ἕλκειν τοὺς ἀκούοντας, ἢ καὶ εἰς πίστιν ὑπάρχειν ἀνανταγώνιστα, καὶ τὸ γελοιότερον, τὰ περὶ Παπῶν ἀμφισβητούμενα, τῶν ἐκείνων ἀείποτε μαρτυρίας, ὅτι μάλιστα οὐδέ τι συνιστᾶν. ἐγὼ μὲν οὖν, εἰ καὶ πρότερον τὰς προτεινομένας ἐκ τῶν Παπῶν ὑπὲρ ἑαυτῶν ῥήσεις εἰς ἀπόδειξιν παρῃτησάμην, οὐκ ὀκνήσω δ᾽ ὅμως ἄλλως ἀποροῦντος σου ἀκοῦσαι καὶ διαλῦσαι, καὶ τὸ κράτιστον τὰς ἀληθεῖς ἐκ τῶν πατέρων ἑρμηνείας προσαγαγεῖν εἰς τὴν τοῦ προκειμένου διασάφησιν.

Καὶ : ά : ἐκ τῆς Ἀγάθωνος ἐπιστολῆς, ἣν καὶ ἀποδεδέχθαι φῂς ὑπὸ τῆς : ς΄ : συνόδου (πράξ : ή .) χρῆσιν τοιαύτην προφέρεις. ἡ ἀποστολικὴ καθέδρα διὰ τῆς χάριτος τοῦ θεοῦ, οὐδέποτε ἀπὸ τῆς ὁδοῦ τῆς ἀποστολικῆς παραδόσεως διαμαρτεῖν δύναται, οὐθ᾽ αἱρετικαῖς ποτε καινοτομίαις παραφθαρεῖσα, ὑπέκυψεν. ὅτι πέτρῳ εἴρηται. σίμων σίμων, ἰδοὺ ὁ σατανᾶς : κἀγὼ ἐδεήθην περὶ σοῦ : ἐνθάδε ὁ Κύριος τὴν τοῦ Πέτρου πίστιν μὴ ἐκλείψειν ὑπέσχετο, καὶ τοὺς οἰκείους ἀδελφοὺς ἐπιστηρίζειν ὑπέμνησε. ταῦτα καὶ Λούκιος ὁ Πάπας, καὶ Φῆλιξ, καὶ ἰννοκέντιος καὶ Νικόλαος, καὶ λέων μάλιστα ἕνατος · ἐπιστολῇ πρὸς Πέτρον ἀντιοχείας ῥητῶς λέγει. μόνος δῆθεν ἐστί, περὶ οὗ μὴ ἐκλείπειν τὴν πίστιν αὐτοῦ ὁ κύριος καὶ σωτὴρ εἴρηκε δεηθῆναι. λέγων ἐδεήθην περὶ σοῦ : ἥτις σεβασμία καὶ ἐνεργὴς προσευχὴ ἐπέτυχεν, ὥστε τὴν τοῦ Πέτρου πίστιν, ἕως ἄρτι μὴ ἐκλιπεῖν, οὐδὲ ἐκλείψειν πιστεύεται ἐν τῷ θρόνῳ αὐτοῦ. Α΄

Δεύτερον ἀπὸ τοῦ ἐξηγήσεως Θεοφυλάκτου λέγοντος, ἐπειδὴ σὲ τῶν μαθητῶν ἔξαρχον ἔχω, στήριξον τοὺς λοιπούς. τοῦτο γὰρ πρέπει σοι τῷ μετ᾽ ἐμὲ Πέτρᾳ τῆς ἐκκλησίας ὄντι καὶ θεμελίῳ. Β΄

Τρίτον ἀπὸ τοῦ χρυσοστόμου : γ΄ : κεφαλαίῳ : τῶν πράξ : εἰκότως πρῶτος πάντων τὴν αὐθεντίαν οἰκειοῦται τοῦ πράγματος, ὡς δῆθεν ὑπὸ χεῖρα πάντας ἔχων, πρὸς τοῦτον γὰρ εἴρηκεν ὁ Χριστός . καὶ σύ ποτε ἐπιστραφεὶς στήριξον τοὺς ἀδελφούς σου. Γ΄

ἈΠΆΝΤΗΣΙΣ

Ταῦτα μέν σου τὰ ἀξιολογώτερα, ἐῶμεν τὰ λοιπὰ ὡς τούτοις παραπλήσια, ἢ καὶ ἀντ᾽ οὐδενὸς ἡμῖν λογιζόμενα. ὡς καὶ κάτω πολλὰ ἕτερα κολακευτικά τινα ὄντα, ἢ ἐγκωμίου φύσει χρώμενα τῇ ὑπερβολῇ. Δ΄

Ἐπανέλθωμεν πρὸς τὸ Ἀγάθωνος, οὗ τὴν ἐπιστολὴν ἀποδεδέχθαι φῂς ὑπὸ τῆς συνόδου, καὶ κεκυρῶσθαι. εἰ μὲν νοεῖς ἀποδεδέχθαι τὰ συντείνοντα πρὸς τὰ δόγματα τῶν δύο φύσεων ἐν Χριστῷ καὶ θελήσεων, καὶ ἐνεργειῶν (ὃς ἦν σκοπὸς τῆς συνόδου) ὁμολογοῦμεν. εἰ δὲ καὶ τὰ πάρεργα, οἷόν τε καὶ τὸ προτεινόμενον, ἐλέγχεσθε ἅμα καὶ σύ, καὶ Ἀγάθων ὑπὸ τῶν συνοδικῶν ἀποφάσεων. Α΄

φάσκων· ὅπου γὰρ μεγαλαυχεῖς ἐν προοιμίοις τῆς ἐπιστολῆς τὴν ῥωμαϊκὴν καθέδραν μηδέποτε διεφθάρθαι καινοτομίαις αἱρετικαῖς, ἐξελήλεγμένον ἐστὶ ῥητῶς· ἡ γὰρ σύνοδος ἡ ϛʹ πρὸ αὐτοῦ Ὁνώριον ἀναθεμάτισεν· ᾧ συνά-δων καὶ ὁ ἁγιώτατος ὄντως Ἀγάθων, καὶ ὁ μετ' αὐτὸν Λέων δεύτερος διὰ ἐπιστολῆς ἄλλης ἐπικυρῶν τὴν ψῆφον, τὸν Ὁνώριον ὡς αἰσχύνην τοῦ θρόνου καταδίκασεν. οὐκ ἀπεδέξατο τοίνυν ἡ σύνοδος πάσας τὰς συλλαβὰς τοῦ ἁγίου Πατρὸς, οὐδ' ἐμέλησε πώποτε ταῖς συνόδοις περὶ προοιμίων καὶ ἐγκωμίων θρόνου τινὸς, ἀλλ' ὧν μόνον ἐκανόνισαν, ἢ ὅρους ῥητῶς περιέχεται, ἢ καὶ οἷς προφανῶς συμφωνοῦσι καὶ τὰς πράξεις ἐμφέρεται· μάτην οὖν ὑμεῖς ἐκ φιλαυτίας πειθόμενοι μᾶλλον, ἢ ἐκ φιλαληθείας, τὰς ῥήσεις οἵας δήποτε προσλαμβάνοντες, τὸν ῥώμης ὑπεραίρετε θρόνον, ἢ μᾶλλον τὴν ἀλήθειαν ἀδικοῦντες ἐκ σαθρῶν καὶ ψευδῶν νοημάτων δόγμα πίστεως συνιστᾶν διϊσχυρίζεσθε. πλὴν ἀλλ' ἀκούσατε τὴν τῆς γραφῆς διασάφησιν ἐν πλείοσι θεωρήμασι·

αʹ Σίμων Σίμων, φησὶν· ἰδοὺ ὁ σατανᾶς ἐξητήσατο ὑμᾶς. Πρῶτον, διὰ τὸ

βʹ κοινοῦ ἐπερχομένου τοῦ κλύδωνος πρὸς Σίμωνα μόνον ὁ λόγος. Δεύτερον, διὰ τὸ κοινοῦ ὄντος τοῦ κινδύνου περὶ Πέτρου δοκεῖ μόνου δεηθῆναι ὁ κύριος.

γʹ: δʹ Τρίτον τί ἐστι τὸ μὴ ἐκλείπειν τὴν πίστιν τοῦ Πέτρου. Τί τὸ οὔποτε ἐπιστρέψας;

εʹ Τί τὸ στήριξον τοὺς ἀδελφούς σου.

αʹ Πρὸς τὸ πρῶτον, πρόδηλον ἐκ τοῦ εὐαγγελικοῦ ὕφους, ὅτι πάντας τοὺς ἀποστόλους ἐξητήσατο ὁ σατανᾶς, σινιάσαι ὡς τὸν σῖτον· ἀλλὰ μόνος ὁ Πέτρος αὐτῷ ἐπετράπη· ὅθεν εἰ καὶ πρὸς πάντας ὁ λόγος, ὡς δηλοῖ ἡ ἀντωνυμία ὑμᾶς, ἐξόχως καὶ ἐξονόματος ἀποτείνεται πρὸς τὸν Πέτρον, ὡς μέλλοντα μονώτατον, εἰς τὴν πάλην μετὰ τοῦ σατανᾶ κατελθεῖν. διὸ καὶ δὶς τοῦτον

βʹ καλεῖ, ὡς προσοχῆς πλείστης δεόμενον· Τοῦτ' αὐτὸ καὶ εἰς τὸ δεύτερον λέγομεν. ὅτι, εἰ καὶ περὶ πάντων τῶν μαθητῶν ἦν ἡ δέησις τοῦ Χριστοῦ, ἀλλὰ διὰ τὴν περίστασιν τοῦ μέλλοντος ἐμπεσεῖν μόνῳ τῷ Πέτρῳ τῷ τῆς ἀρνήσεως πειρασμῷ, ῥητῶς περὶ τούτου μόνου, τὸ περὶ πάντων νοούμενον λέγεται, ὅτι περὶ Πέτρου ἐδεήθη. Ὅτι δὲ περὶ πάντων τῶν μαθητῶν ἦν ἡ δέησις τοῦ Χριστοῦ, ὡς πάντας ἐξαιτησαμένου τοῦ σατανᾶ σινιάσαι, διεξοδικώτατα δείκνυται ἐν: κφʹ:

Ἰωάν: ιζʹ:

ιζʹ: τοῦ Ἰωάννου ὅπου ῥητῶς αὐτὸς ὁ σωτὴρ λέγει πρὸς τὸν Πατέρα. Πάτερ τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, ἵν' ὦσιν ἕν, καθὼς ἡμεῖς. καὶ πάλιν οὐ περὶ τούτων ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευσόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ. ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ Πάτερ ἐν ἐμοὶ, κἀγὼ ἐν σοί: ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν. Ὁρᾷς ὅτι περὶ πάντων ἡ δέησις ἦν τοῦ Χριστοῦ· πρὸς δὲ

γʹ μόνον τὸν Πέτρον ἀποτείνεται διὰ τὴν τούτου μέλλουσαν περίστασιν. Τί δέ ἐστι

Χρυσ: ὁμιλ: ογʹ: εἰς τὸ: κϛʹ: ματθ: Θεοφύλ:

τὸ μὴ ἐκλείπειν τὴν πίστιν, ἵνα μὴ εἰς τέλος ἀπόληται. σὺ ὦ Πέτρε, φησὶν ὁ χρυσόστομος ὁμιλ: ἑβδομηκοστῇ τρίτῃ εἰς τὸ: ιγʹ: Ἰωάννου περὶ τὸ: τέλος. ἢ ἵνα μὴ ἀπόληται ἡ πίστις, ὡς ὁ αὐτὸς ὁμιλ: πγʹ: εἰς τὸ εἰκοστὸν ἕκτον ματθαίου ῥητῶς. ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου, ὥστε μὴ τέλεον ἀπολέσθαι· καὶ θεοφύλακτος ἐκφράζων εὐφυῶς τὸ ῥητὸν λέγει. εἰ γὰρ καὶ πρὸς μικρὸν μέλλεις σαλευθῆναι, ἀλλ' ἔχεις ἐναποκείμενα τὰ σπέρματα τῆς πίστεως, κἂν τὰ φύλλα ἔρριψε

τὸ πνεῦ

τὸ πνεῦμα τοῦ ἐπηρεάζοντος, ἀλλ' ἠρίζωσα ζῆν, καὶ οὐκ ἐκλείψει ἡ πίστις σου. Λά-
βε καὶ τοῦ αὐτοῦ τὸ συνεχῶς προσκείμενον εἰς τὸ ἐπιστρέψας, καὶ στήριξον. σὺ
γὰρ ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου. τὸ μὲν πρόχειρον νοῆσαι, τουτέστιν,
ὅτι, ἐπειδὴ σὲ τῶν μαθητῶν ἔξαρχον ἔχω, μεθ' ὃ ἀρνησάμενός με, κλαύ-
σεις, καὶ εἰς μετάνοιαν ἔλθῃς, στήριξον τοὺς λοιπούς. τοῦτο γὰρ προσήκει σοι, ὡς
μετ' ἐμὲ ὄντι τῆς ἐκκλησίας πέτρᾳ καὶ στηρίγματι. Νοήσειε δ' ἄν τις τοῦτο οὐ
μόνον περὶ τῶν τότε ἀποστόλων εἰρῆσθαι. (δηλαδὴ περὶ ὧν νομίζω μαρτυρεῖ
ματθαῖος: εἰκοστῷ ὀγδόῳ, ὅτι ἐδίστασαν, ῥητῶς δὲ περὶ θωμᾶ) ἀλλὰ καὶ
περὶ πάντων τῶν ἄχρι τῆς συντελείας τοῦ αἰῶνος πιστῶν. σὺ γὰρ ὦ πέτρε ἐπι-
στρέψας, καλὸν ὑπόδειγμα γενήσῃ πᾶσιν εἰς μετάνοιαν. καὶ οὐδεὶς τῶν πι-
στευόντων εἰς ἐμὲ ἀπογνώσεται, ἀποβλέπων πρὸς σὲ, τὸν ἀπόστολον μὲν ὄντα,
ἀρνησάμενον δὲ, καὶ πάλιν τὰ πρωτεῖα πάντων, καὶ τὴν τῆς οἰκουμένης ἐπιστα-
σίαν λαβόντα διὰ τῆς μετανοίας. ᾐτήσατο οὖν ὁ σατανᾶς σινιάσαι σε, ἀλλ'
ἐγὼ οὐ πάντως σε ἐγκατέλιπον, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου εἰς τὸ παντελές.
εἰ καὶ ἐδεήθην γὰρ αὐτὸς ἐγὼ περὶ σοῦ, ὅμως σὺ μὴ ἀναπέσῃς. ἀλλ' ἐπιστρέψας,
τουτέστι μετανοήσας καὶ δακρύσας, καὶ ἀπὸ τῆς ἀρνήσεως φυγὼν, γενοῦ καὶ τοῖς
ἄλλοις πιστοῖς (συνίετε τίνες οἱ ἀδελφοὶ) τύπος τοῦ μετανοεῖν καὶ μὴ ἀπογινώ-
σκειν. ταῦτα πάντα θεοφύλακτος. Ἄκουσον καὶ κυρίλλου τὸ, τὸ ἐπιστρέψας,
Κύριλλος
καὶ στήριξον. θαυμαστόν φησι τὴν τῆς θείας μακροθυμίας ὑπερβολήν. ἵνα μὴ
ποιήσῃ ἀπογνῶναι τὸν μαθητὴν, μήπω πλημμελήσαντι τὴν συγγνώμην δω-
ρεῖται. καὶ πάλιν αὐτὸν εἰς τὴν ἀποστολικὴν ἀξίαν ἐπανάγει λέγων, στήριξον
τοὺς ἀδελφούς σου. Καὶ ὁ ὑμέτερος βέδας ἐν τῇ τοῦ θωμᾶ σειρᾷ συνομολογεῖ
Βέδας
λέγων. καθὼς ἐγώ σου τὴν πίστιν, ἵνα μὴ ἐκλείπῃ δεηθεὶς διεφύλαξα, οὕτω
καὶ σὺ τοὺς ἀσθενεστέρους ἀδελφούς, (ὁρᾷς κἀνταῦθα τίνες οἱ ἀδελφοὶ) μή-
ποτε περὶ συγχωρήσεως ἀπογνῶσι, παραθαρρύνειν μνημόνευε. Καὶ τί δ' αὐ-
δ': ἑ:
τὸ τὸ ἐπιστρέφειν καὶ στηρίζειν σαφῶς ὑφαίνεται ὁ Χρυσορρήμων διδάσκαλος
ὁμιλ: ογ': εἰς τὸ: ιγ': Ἰωάννου, λέγων. ἐπειδὴ γὰρ ἡ πολλὴ ἀγάπη ἀν-
τιλογικὸν αὐτὸν ἐποίησε σωφρονίζει λοιπὸν αὐτὸν, ἵνα μὴ ᾖ ἐν τοῖς μετὰ ταῦ-
τα τοῦτο πάθῃ, ὅτ' ἂν τῆς δικαιοσύνης τὴν οἰκονομίαν ἀναδέξηται. ἀλλ' ἀναμι-
μνησκόμενος, ὧν ἔπαθεν, ἐπιγνώσκῃ ἑαυτὸν. οὐχὶ κἀκεῖνο ἔπειτα καὶ στη-
ρίζειν τοὺς ἄλλους. περιττὸν ἂν εἴη καὶ πλείω προσθεῖναι, τηλαυγέστατα φανεί-
σης ἤδη ἐκ τῶν ἀρχαίων διδασκάλων τῆς ἀληθείας. πρόχειροι παρ' ὑμῖν παντοῖοι
σχολιασταὶ καὶ ἐπισκέψασθε, οὐδὲ τοὺς σχολαστικοὺς ὑμῶν, τοὺς τὰς ῥήσεις
διαστρέφοντας, καὶ εἰς πᾶσαν αὐτῶν ἔννοιαν βιαίως διὰ σοφισμάτων ἐπισπῶν-
τας. καὶ τὸ τοῦ λόγου, οὐ τὸ ὑπόδημα πρὸς τὸν πόδα, ἀλλὰ τὸν πόδα πρὸς τὸ
ὑπόδημα βιαζομένους ἐφαρμόζειν. ὅθεν χωλαίνειν ἐξ ἀνάγκης ποιεῖ τὸν
ὑποδυόμενον, ὡς καὶ ὑμᾶς αὐτοὺς τοιουτοτρόπως συλλογιζομένους. Καὶ εἴπερ
εἰλικρινὴς αὕτη τοῦ γράμματος ἡ σαφήνεια, πόθεν πρὸς θεοῦ ὑμεῖς, καὶ οἱ ὑμέ-
τεροι πάπαι εἰς τὸ ἀναμάρτητον τῆς ῥωμαϊκῆς καθέδρας, τὴν Πέτρου πίστιν
ἐφέλκετε, ὅπου γε οὐχ ὁ περὶ τῆς ὁμολογίας τῆς πίστεως Πέτρου λόγος, ἀλλὰ
περὶ τῆς μετὰ τὴν ἄρνησιν, μὴ προρρίζου γενομένης, ἀλλὰ δὴ καὶ ἐκτιναχθείσης

διὰ σό-

διὰ στόματος, διαμενάσης δὲ μόνον ἐν τῇ καρδίᾳ. Ἀλλ᾽ ἔστω καὶ τοῦτο.
Πόθεν ὑμεῖς τὰ προσωπικὰ τοῦ Πέτρου χαρίσματα ὑμῖν αὐτοῖς, καὶ τοῖς
τοῖς διαδόχοις ἀναμφισβητήτως προσοικειοῦσθε, τοῦτο γὰρ οὐδενὶ ἐπισκιάσματι
εὑρεῖν ἐστι παρὰ τῇ γραφῇ. ἀλλὰ δὴ καὶ ἱκανῶς παρεστήσαμεν, τὴν ἐπὶ Πέ-
τρῳ προσευχὴν καὶ ἐπὶ τοῖς λοιποῖς νοητέον ἀποστόλοις. εἰ γὰρ καὶ Πέτρος εἰς 5
προφανῆ παρεδόθη καὶ ἐγκατελείφθη κίνδυνον ἀρνήσεως, ἀλλὰ καὶ τοῖς λοι-
ποῖς ἀπιστεῖν περὶ τῆς Ἰησοῦ θεότητος καὶ τῆς Ἀναστάσεως ἐπῆλθεν. ὅθεν ἔλε-
γον. ἡμεῖς δὲ ἠλπίζομεν ὅτι οὗτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραὴλ καὶ
πάλιν, οἱ δὲ ἐδίστασαν καὶ πάλιν ἐφάνησαν ὡσεὶ λῆρος αὐτοῖς αἱ ὀπτασίαι τῶν
γυναικῶν, καὶ ἠπίστουν αὐταῖς. καὶ Θωμᾶς ἐὰν μὴ ἴδω, οὐ μὴ πιστεύσω, ἔ- 10
λεγεν. ὥστε εἰκὸς νοεῖν τὴν τοῦ Κυρίου ἐπὶ Πέτρῳ ῥητῶς δέησιν, καὶ τοῖς ἄλλοις
προσεπεκτείνεσθαι. καθὰ καὶ ῥητῶς ἐκ τῶν παρ᾽ Ἰωάννῃ τοῦ Χριστοῦ πρὸς τὸν
Πατέρα μακρῶν δεήσεων παρεστήσαμεν. Εἰ γοῦν κατὰ Λέοντα τὸν ἔννατον, ἐνερ-
γὴς ἦν ἡ περὶ Πέτρου παρὰ Κυρίου δέησις, ὥστε τὸν αὐτοῦ διάδοχον μὴ ἐξαμαρ-
τάνειν, οὕτως ἄρα καὶ περὶ τῶν λοιπῶν διαδόχων τῶν ἀποστόλων. ὅπερ τίς 15
οὐχ ὁρᾷ ψευδὲς καὶ γελοῖον ἄντικρυς. ὥστε οὐ δὲ τὸ παρ᾽ ἡμῶν, πρὸς μόνον
τὸν Πέτρον ἐκλαμβανόμενον, ἀνελυθεῖ καὶ εἰς τοὺς διαδόχους αὐτοῦ. Προ-
θήσω καὶ τοῦτο. ὅτι, εἰ καί τι ἀπὸ Πέτρου διαβαίνειν πιστευτέον εἰς τοὺς ἑξῆς,
οὐκ εἰς τὸν Πάπαν μηδαμῶς μόνον, ἀλλ᾽ εἰς τὴν καθολικὴν ἐκκλησίαν νο-
μιστέον, ὡς καὶ τὰς κλεῖδας, καὶ τὴν Μακαριότητα τῆς ὁμολογίας, καὶ τὴν ἐφ᾽ 20
ὁμολογίᾳ οἰκοδομὴν, καὶ τὴν τοῦ δεσμεῖν καὶ λύειν ἐξουσίαν, καὶ εἴ τι ἄλλο
θεωρεῖν ἐστιν. οὐ γὰρ Πέτρον εἰσεποιήσατο μόνον ὁ Κύριος μαθητὴν καὶ ἀπό-
στολον, ἀλλὰ καὶ ἑτέρους ἕνδεκα. οὐ δὲ Πέτρῳ μόνῳ εἶπέ ποτε, οὐ δὲ Πέτρῳ
μόνῳ προσέφερεν, οὐ δὲ παρὰ Πέτρου λαβεῖν τοὺς ἄλλους προσέταξεν. οὐδὲ κἂν
ποσάκις ἁμιλληθέντων περὶ πρωτείων ὁ πάνσοφος καὶ προγνώστης Θεὸς τῷ Πέ- 25
τρῳ ταῦτα ἐνεχειρίσατο, μᾶλλον δὲ καὶ ἐπετίμησε τοῖς πρωτεῖον τὴν ἐξουσί-
ας εἰσάγειν εἰς τὴν ἐκκλησίαν βουλομένοις. Ἐρρέτω τοίνυν Ἐρρέτω, ἐς
κόρακας βαλλέσθω τὰ κατὰ τῆς καθολικῆς ἐκκλησίας διαβούλια. Τὸ τοῦ Χριστοῦ
ἄσπιλον σῶμα ὑπὸ δουλείαν ἀνθρώπου ὁμοιοπαθοῦς δουλῶσαι καταμηχανώ-
μενα. Ἠβουλόμην καταπαῦσαι ὧδε τὴν τῆς σῆς ἀποδείξεως ἀνατροπὴν, πε- 30
ριτραπέντος σου τοῦ ὑποστηρίγματος. ἀλλὰ θεατρίσαι τοῖς φιλαλήθεσι
πρότερον, οὐκ ἐάσω. τὰ ἐπὶ ματαιωματαιότατα τοῦ σοῦ Πάπα Νικολάου

Νικόλ: πάπ: πρὸς Μιχαὴλ βασιλέα.

πρώτου πρὸς Μιχαὴλ τὸν Βασιλέα μεγαλαυχήματα. Τὰ τῆς ῥωμαϊκῆς φη-
σὶν ἐκκλησίας προνόμια ἀπὸ Χριστοῦ στόματος τῷ Μακαρίῳ Πέτρῳ βε-
βαιωθέντα, ἐν τῇ αὐτῇ ἐκκλησίᾳ διατεθέντα, ἔκπαλαι τηρηθέντα, καὶ ὑπὸ 35
τῶν οἰκουμενικῶν συνόδων ἐπαινεθέντα, καὶ ὑπὸ πάσης ἀεὶ τῆς ἐκκλησίας σε-
βασθέντα, μηδαμῆ μηδαμῶς ἐλαττοῦσθαι δύνανται, ἢ καταβάλλεσθαι, ἢ ἐναλλά-
ττεσθαι. ὅτι θεμέλιον ὁ θεὸς ἔθετο, ἀνθρωπίνη οὐκ ἰσχύει παρασαλεῦσαι μη-
χανή. καὶ ὅπερ θεὸς ὥρισεν, ἑδραῖον καὶ κραταιὸν συνίσταται. κἀκεῖνος μάλιστα
ἐξαμαρτάνει ὁ τῇ τοῦ θεοῦ ἀντιτάττεσθαι διατάξει πειρώμενος. τὰ προνόμιά φημι 40
τοῦ θρόνου τούτου καὶ ἐκκλησίας, διηνεκῆ διατελοῦσι, θεόθεν ἐρριζωμένα καὶ πεφυ-
τευμένα.

τὰ ῥήματα, προσκρούεσθαι δύνανται, μετενεχθῆναι οὐ δύνανται. ἐφέλκεσθαι δύνανται, ἀποσπασθῆναι οὐ δύνανται. ὅπερ καὶ ἐν τοῖς λοιποῖς (λογίοις) ταὐτά εἰσι. δ' οὖν ἡμῖν τὰ προνόμια ταῦτα δεδώρηται. οὕτω τε ἐπιστρέψας, ἤκουσε παρὰ Κυρίου, στήριξον τοὺς ἀδελφούς σου. Τοιαῦται ὑμῶν ὦ γαθοὶ αἱ μεγαλορρήμονες φωναὶ ἐπὶ ματαίοις νοήμασι. τοιοῦτοι ὑμῶν οἱ τῆς Παπικῆς ὑπὲρ πᾶσαν ἐξουσίαν ἀνυπερβλήτου ὑπεροχῆς ὑπερνεφέλιοι πύργοι, ἐπὶ σαθρολάτου, μᾶλλον δὲ καὶ ἀνυποστάτου θεμελίου, ἀθρόον καταρρασσόμενοι, καὶ τοὺς περικειμένους συνδιαθλῶντες. Εἰ γοῦν τὰ προνόμια ῥώμης ἐκ στόματος Χριστοῦ, ἢ ἐκ τῶν πατέρων ἤδη ὁ εἰκοστὸς ὄγδοος τῆς ἐν χαλκηδόνι κανὼν ἐναπεφήνατο. ὃν εἰ καὶ λέων ὅτ' ἄλλα ἁγιώτατος οὐκ ἀπεδέχετο πάθους ἀνθρωπίνου ἥττων γενόμενος, πρὸς τὸ μὴ ἔχειν ἰσότιμον τὸν Κωνσταντινουπόλεως. ὅμως πρόφασιν τοὺς τῶν πατέρων κανόνας ἄλλως διαγορεύοντας προὔτεινεν, νομοθεσίαν αὐτοῦ τοῦ Κυρίου. ὡς μετὰ Νικολάου καὶ Παπῶν ἄλλων ὑμεῖς ματαίως διϊσχυρίζεσθε. ὥστε οἱ τῷ ῥηθέντι κανόνι ἀντιλέγοντες, οἷοι ἂν εἶεν, διαμαχόμενοι κρινέσθωσαν καὶ τῷ ἁγίῳ πνεύματι, καὶ τῶν Πατρικῶν διδαγμάτων ἀπόσπονδοι. εἰ δὲ τοσοῦτον τοῖς ὑμετέροις Πάπαις προσνέμετε, ὥστε τῆς τούτων μαρτυρίας χωρὶς μηδὲν πιστεύειν, πεισάτω τοιγαροῦν ὑμᾶς Ἰωάννης ὁ ἁγιώτατος Πάπας δεύτερος, ὃς Ἰουστινιανῷ τῷ μεγάλῳ ἐπιστέλλων (ὡς καὶ σὺ κατὰ τὴν τρίτην δεῖξιν εἰσφέρεις) ῥητῶς οὕτω λέγει. τὴν ῥωμαϊκὴν ἐκκλησίαν, πασῶν ἀληθῶς εἶναι κορυφὴν, καὶ τῶν πατέρων οἱ κανόνες, καὶ τὰ τῶν Βασιλέων θεσπίσματα διαγορεύουσιν. οὐ τοίνυν ἀπὸ Χριστοῦ στόματος καὶ θείας φωνῆς, κατὰ τὸν Πάπαν Νικόλαον. εἰ δὲ οὕτως, ἐχρῆν μᾶλλον εἰπεῖν, αἱ τοῦ σωτῆρος φωναὶ, ἐν εὐαγγελίοις διαγορεύουσι.

Β΄ Πρὸς δὲ τὸ δεύτερον τὸ τοῦ θεοφυλάκτου, οὐδεὶς φθόνος ἔξαρχον λέγεσθαι καὶ κορυφαῖον τῶν μαθητῶν. οὐ μὴν δὲ ἀλλὰ καὶ μετὰ Χριστὸν Πέτραν καὶ στήριγμα τῆς ἐκκλησίας, μόνον δὲ λέγεσθαι τοῦτο τὸν Πέτρον οὐδαμῶς. περὶ γὰρ Ἰωάννου τὸ ἔξαρχον λέγεσθαι τῶν μαθητῶν, καὶ Παῦλον ὁμοίως πλειστάκις ἀναγινώσκομεν παρὰ τῷ χρυσορρήμονι διδασκάλῳ. ἔτι δὲ καὶ ἀμφότερον τὸν Ἰάκωβον, καὶ Ἀνδρέαν, καὶ εἴ τιν' ἄλλον ἐξαίρετόν τι παρὰ τοὺς λοιποὺς διαπρέψαντα. τὸ δὲ θεμέλιον λέγεσθαι, καὶ τοῦτο οὐ μόνου τοῦ Πέτρου ἴδιον. ἤδη γὰρ καὶ θεμέλιον τῶν ἀποστόλων λέγεται ὑπὸ Παύλου τὸ θεῖον κήρυγμα (ἐφεσ: β΄:) καὶ δώδεκα θεμέλιοι τῆς ἄνω Ἱερουσαλὴμ, οἱ δώδεκα ἀπόστολοι φαίνονται, ἐν τῇ ἀποκαλύψει (ἐν κφ΄ ικά) καὶ κοινωνήσας κατ' ἀμβρόσιον ὁ Χριστὸς τὰς ἰδίας κλήσεις τοῖς ἀποστόλοις, τὸ φῶς εἶναι, καὶ ποιμένας, καὶ διδασκάλους. τί θαυμαστὸν, εἰ καὶ τὸ πέτρας εἶναι τῆς εὐαγγελικῆς οἰκοδομῆς προσενείματο.

Γ΄ Πρὸς τὸ τρίτον τὸ τοῦ χρυσοστόμου συντόμως ὑπὸ σοῦ προφερόμενον, ὅτι ἐπιστρέψας ἤκουσε, στήριξον τοὺς ἀδελφούς σου. τί ἄλλο ἐστὶν ἢ τοῦ λόγου ὑπόθεσις, ἣν ἐσιώπησας. εἰ μὴ ὅτι μετάνοιαν εὐηγγελίζετο λέγων. ὡς ἐν κφ΄: γ΄: τῶν πράξεων, μετανοήσατε οὖν καὶ ἐπιστρέψατε εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας, καὶ ὥσπερ αὐτὸς ἐκ πάντων μόνος ἥμαρτε, καὶ ἐπέστρεψεν, οὕτω καὶ εἰκότως πρῶτος πάντων οἰκειοῦται τὴν αὐθεντείαν τοῦ πράγματος,

ματος, ὡς δῆθεν ὑπὸ χεῖρα πάντας ἔχων, οὐ τοὺς ἀποστόλους ἀλλὰ τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Δ' Πρὸς δὲ τὰ τοῦ Βενάρδου καὶ Λέοντος τοῦ σοφοῦ (καίτοι οὐκ ἐχρῆν ἡμᾶς τοσοῦτον περὶ ταῦτα λεπτολογεῖν τοὺς ἀποκρίσεις) λέγομεν, τὰς τοιαύτας ῥήσεις ἰσχὺν οὐκ ἔχειν εἰς δόγματος σύστασιν, οὐ γὰρ ἀκριβείας ἕνεκεν διδασκαλικῆς, ἀλλὰ παραινέσεως χάριν, ἢ ἐγκωμίων ἐῤῥέθησαν. ἀμφότερα δ' εἰς πειθὼ καὶ ἐπίδειξιν ταῖς ὑπερβολαῖς χρῶνται τῶν λόγων. καὶ ἡμεῖς δ' αὐτοὶ ῥητορικῇ τέχνῃ καὶ ἀφραδείᾳ ἑπόμενοι, τὰς ὑπερβολὰς τῶν λόγων ἀποδεχόμεθα. οὐδὲν ὅμως συμβάλλουσι τὰ τοιαῦτα μόνα, δογματικαῖς ἀκριβῶς ὑποθέσεσιν. Ἔτι δὲ καὶ ἄλλως ἀποκριθῆναι τὰ ἐπὶ τῇ ῥωμαϊκῇ καθέδρᾳ μεγαλεῖα οὐ συγκρίσει τῶν ἄλλων Πατριαρχικῶν θρόνων, ἢ ταπεινώσει λέγεσθαι, ἀλλὰ τῶν ὑπ' αὐτὴν κατὰ δύσιν ἐκκλησιῶν, ὧν αὕτη ὑπάρχει μόνη καὶ πρώτη. Ποῦ σοι τοίνυν ἡ ἀναντίῤῥητος ἐκ τῶν προκειμένων ἐξηγήσεων ἀπόδειξις, εἰς Πέτρον μόνον καὶ εἰς τοὺς διαδόχους ἐκείνου τὰ τοῦ Χριστοῦ ῥήματα συστέλλουσα. ὀφείλεις γὰρ οὖν εἰς τὴν προκειμένην ὑπόθεσιν, καὶ ἑπομένας ῥήσεις εὐαγγελικάς τε, καὶ γραφικὰς, ῥητῶς εὑρεῖν, ὅπερ ἀμήχανον. Πέτρῳ μόνῳ καὶ τοῖς Πέτρου διαδόχοις λέγεσθαι ἁπλῶς καὶ ἀπολελυμένως τὸ, στήριξον τοὺς ἀδελφούς σου, τὸ, οὐκ ἐκλείψει ἡ πίστις σου, τὸ, δώσω σοι τὰς κλεῖς τῆς Βασιλείας τῶν οὐρανῶν, τὸ, ποίμαινε τὰ προβάτιά μου, καὶ τὸ μοναρχικὸν ὡσαύτως, καὶ τὸ, ἡ πίστις ὑμῶν καταγγέλλεται καὶ καταγγελήσεται ἀεὶ εἰς τὸν κόσμον. εἰ δὲ ταῦτα οὐχ ἁπλῶς καὶ ἀπολελυμένως τῷ Πέτρῳ ἀλλὰ διὰ σκοπόν τινα, καὶ οὐ μόνῳ ἀλλὰ πᾶσι, καὶ οὐδ' αὐτῷ τινα ποσῶς ἐπετράπησαν, ὡς ἡ ὀνειροπολουμένη μοναρχία. Μάτην ἄρα καὶ ἀνισχύρως συλλογίζεσθε καὶ γελοίως συμπεραίνετε, ἀλλὰ καὶ ἱεροσύλως τὴν εὐαγγελικὴν ἀλήθειαν ἐκβιάζεσθε· καὶ μαρτυρίαις ἀδήλοις ἢ ψευδογράφοις, ἢ δυσωνύμοις, ἢ καὶ τὸ παραλογώτερον, ἰδίαις, τὸν σκοπὸν ὑμῶν καταρτίζετε· Τούτοις καὶ τοῖς τοιούτοις θαῤῥοῦντες οἱ ἐν τῇ κατὰ Φλωρεντίαν συλλόγῳ τὴν τοῦ Πάπα μοναρχίαν προὐβάλλοντο, καὶ τὰ προνόμια ταῦτα κατὰ τὰς γραφὰς, ὡς ἔφασκον, καὶ τοὺς ἁγίους Πατέρας ἀποφαίνεσθαι διεμηχανῶντο. οἱ δ' ἀνατολικοὶ γραφὰς μὲν καὶ ῥήσεις ἁγίων ἄξοντες, ἀντειπεῖν ὑπ' εὐλαβείας οὐκ εἶχον, ὑπώπτευον δὲ, μήτις παρ' αὐτοῖς τοιαῦτά πως περὶ τοῦ Πάπα ἐγκωμιάζων ἀπεφθέγξατο. καὶ τὸν δόλον οὕτως ἀπεκρούοντο ἀντερίζοντες, ὥστε κατὰ τοὺς συνοδικοὺς μᾶλλον κανόνας ὁρίζεσθαι τὰ τοῦ Πάπα προνόμια. οἱ γὰρ κανόνες καὶ δῆλοι, καὶ πρόχειροι, καὶ ἐξηκριβωμένοι. ῥήσεις δ' ἁγίων καὶ ἄδηλοι, καὶ ἀσαφεῖς, καὶ ἀγνοούμεναι, καὶ τὸ χεῖρον (ὅπερ οὔπω ᾔδεισαν) ἀντιβαίνουσαι ῥητῶς τοῖς ὅροις τῶν οἰκουμενικῶν συνόδων, διὰ τὰ ἐκ τῶν παπικῶν ἐπιστολῶν προφερόμενα. Ἀλλ' οἱ περὶ τὸν Πάπαν ἐνίσταντο, καὶ ὁ Πάπας αὐτὸς, τὶ εὐλογώτερον εἶναι λέγοντες, ἢ ταῖς τῶν ἁγίων ῥήσεσι πείθεσθαι. Ἀλλὰ καὶ τίνων ἁγίων ἐρωτῶ ἐγὼ, ὦ Λατῖνοι, εἰ μὲν τῶν ἀνατολικῶν, ἀνυπόπτους ἔχομεν πάντας, οὐ μὴν δὲ ἁγίων μόνον, ἀλλὰ δὴ καὶ ἁμαρτωλῶν αὐτῶν, καὶ γραμματικῶν ἔτι, προφέρετε, καὶ ἀποδέχομαι. εἰ δὲ Λατίνων, καὶ τοὺς ἐκ τῶν ἐνδόξων ἐγκολπίζομαι, Ἀμβροσίου φημὶ

Ἱλαρίου

Ἱλαρίου, κυπριανοῦ, αὐγουστίνου, Εἰρηναίου, καὶ τῶν ὁμοίων τούτοις. οὐχ ὑποδεεστέρων ἢ νεωτέρων ἀλλ' ἀρχαίων ἀρχιερέων. Παπῶν δὲ ὑπὲρ ἑαυτῶν μαρτυρίας οὐδ' ἀκούειν δίκαιον. καταμεμφόμεθα δὲ μᾶλλον. ὅτι ὡς κεινομένων ἀπολογίας ψευδεῖς καὶ ἀναποδείκτους ἀποφάσεις δῆθεν ἐχούσας ἰσχὺν θαῤῥεῖτε προβάλλεσθαι, λέοντα ἐν τούτοις καὶ Γρηγόριον τοὺς παρ' ὑμῖν μεγάλους, καὶ ἀνάκλητον ἴσους τίθημι, καὶ Γελάσιον, καὶ Φήλικα, ὡς καὶ τὸν περὶ μικροῦ ληροῦντα Νικόλαον, καὶ λέοντα ἔννατον καὶ αὐτὸν τὸν ἀγεννῆ Εὐγένιον. ὁ ἀρχηγὸς ὑμῶν καὶ ἡμῶν ὁ πρωταπόστολος Πέτρος ἀποφαινέσθω, ὅπερ καλῶς ἀκούειν τοὺς εὐσεβεῖς προὐργιαίτερον. (ἐν: ά: ἐπιστολῇ κεφ' έ.) πρεσβυτέρους παρακαλῶ ὁ συμπρεσβύτερος. ποιμάνετε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ θεοῦ, ἐπισκοποῦντες, μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως, μὴ δὲ αἰσχροκερδῶς, ἀλλὰ προθύμως. μηδ' ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλ' ὡς τύποι γενόμενοι τοῦ ποιμνίου. ὅρα δὲ ὅτι τὸ ποίμνιον τὸ ἐγχειρισθὲν, τοῦ θεοῦ καὶ ἔστι καὶ λέγεται. τῆς γοῦν μοναρχίας τόπος περιλείπεται ἀνθρώπῳ θνητῷ, ὅπου γε τὴν κυριότητα πᾶσαν ἑαυτῷ ὁ ἀθάνατος θεὸς σφετερίζεται.

ἈΠΌΔΕΙΞΙΣ Β'

Ματθαίου, ις'. Μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι. ἕως τοῦ, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ.

Κἂν ταύτῃ τῇ γραφικῇ ῥήσει, φανερᾶς οὔσης καὶ κατὰ τὰς φωνὰς αὐτὰς, καὶ τὰς τῶν πατέρων ἐξηγήσεις, ὑμεῖς οἱ περὶ τὸν Πάπαν τῇ φιλαυτίᾳ πάντων ὑπερνικώμενοι, τῇ ῥωμαϊκῇ καθέδρᾳ προσοικειοῦν διαμηχανᾶσθε, τὸ τῆς καθολικῆς ἐκκλησίας ἀήττητον, καὶ τὸ τῆς πίστεως ἀνέκλειπτον, καὶ τὸ τῶν κλειδῶν τὴν ἐξουσίαν τε καὶ ἐνέργειαν. Φέρε δὴ τὰς μαρτυρίας ὑπερτιθέμενοι τὴν ἐντελῆ συναγωγὴν τῶν συλλογισμῶν ὑμῶν προθώμεθα. Πρῶτον, συνάγεις τὴν πίστιν ἐν τῇ ἐκκλησίᾳ διαμένειν ἀνέκλειπτον, κατὰ τὸ Πέτρῳ εἰρημένον, πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. Δεύτερον, τὰ τῷ Πέτρῳ εἰρημένα εἰς τοὺς αὐτοῦ διαβαίνειν διαδόχους. κἀκ τούτων παραλογιζόμενος οὕτω κατασοφίζῃ. τῇ συνεζευγμένῃ τῷ Πέτρῳ ἐκκλησίᾳ ἐπήγγελται τὸ τῆς πίστεως ἀνέκλειπτον. ἀλλὰ μὴν τὸ τῷ Πέτρῳ ἐπηγγελμένον, καὶ ἐν τοῖς διαδόχοις αὐτοῦ πληροῦται. ἄρα ἐν τῇ καθεξῆς ἐκκλησίᾳ τοῖς διαδόχοις Πέτρου συνεζευγμένῃ, τὸ τῆς πίστεως ἀνέκλειπτον ἐκπληροῦται. ἀλλὰ μὴν ἡ λατίνων ἐκκλησία καὶ πρὸ τοῦ χωρισμοῦ καὶ μετὰ τὸν χωρισμὸν τῆς ἀνατολικῆς ἀπ' αὐτῆς, ἣν καὶ ἔστι τοῖς τοῦ Πέτρου διαδόχοις συνεζευγμένη. ἄρα ἐν αὐτῇ τῇ λατινικῇ τῷ Πέτρῳ ἐπηγγελμένον τῆς πίστεως τὸ ἀνέκλειπτον ἐκπληροῦται. καὶ τὰς μὲν προηγουμένας προτάσεις νομίζεις, ἐστηρίχθαι, διά τινων χρήστων πατέρων, ὡς κάτωθι ἀνεξετάσομεν.

ἈΠΌΚΡΙΣΙΣ

Πρὸς δὲ τὰς συναγομένας σου θεωρίας εὐχερῶς ἡμεῖς ἀπαντῶμεν.
τὸ μὲν πρῶτον ἀποδεχόμενοι καὶ καθομολογοῦντες εἰς τὴν καθόλου ἐκ-
κλησίαν, οὐ μὴν ἀπεριορίστως εἰς ἐκκλησίαν τινά. τὸ δεύτερον
ἀποφάσκομεν οὑτωσί. λέγομεν γὰρ διαβαίνειν τὴν ἐπαγγελίαν εἰς τὴν καθό-
λου ἐκκλησίαν· οὐ μὴν δὲ ῥητῶς εἰς τοὺς ῥωμαίων ἀρχιερεῖς· εἶεν οὖν, ἢ διά-
δοχοι Πέτρου, ἢ μή. ἡ γὰρ ὁμολογία Πέτρου, καὶ πάντων ἦν τῶν ἀποστόλων.
Κἂν προσώπου πάντων, εἷς ὁ Πέτρος ἀπεκρίνατο, τὸ στόμα τῶν λοιπῶν ἀπο-
στόλων, κατὰ τὸν χρυσοῦν Ἰωάννην, προπηδῶν καὶ προλαμβάνων (ὁμιλίᾳ
: νδʹ : εἰς τὸ δέκατον ἕκτον Ματθαίου) εἰ δὲ καὶ δοίημεν κατὰ τὸν αὐτόν,
ὡς καὶ ἀληθῶς σαφεστάτην γεγονέναι τότε τῷ Πέτρῳ τὴν ἀποκάλυψιν καὶ οὐχ
ὡς τὸ πρότερον τοῖς ἐπὶ τοῦ πλοίου πᾶσιν, ὅτε, ὡς φησὶν ὁ Ματθαῖος, οἱ ἐν
τῷ πλοίῳ ἐλθόντες προσεκύνησαν αὐτῷ λέγοντες, ἀληθῶς θεοῦ υἱὸς εἶ. τί
δὴ κωλύει, λέγειν, καὶ πᾶσι γεγονέναι τότε τὴν αὐτὴν ἀποκάλυψιν ἀπὸ τοῦ πα-
τρὸς; κατὰ τὴν ἐρώτησιν ὑπὸ τοῦ υἱοῦ, εἴγε καὶ ἐξ ἑνὸς ἑκάστου ἤθελεν αὐ-
τὸ τοῦτο πιστεύεσθαι καὶ κηρύσσεσθαι. ἔπειτα δὲ τοιγαροῦν ὥσπερ, κατὰ τὸν θεῖον αὐγου-
στῖνον (περὶ χριστιανικοῦ ἀγῶνος. : κφʹ : τριακοστῷ) κοινὴ ἦν ἡ ὁμολογία, κοι-
νὴν χρῆναι νομίζεσθαι; καὶ τὴν ἀπόκρισιν, ὥστε κοινὸν καὶ τὸν μακαρισμόν,
κοινὴν τὴν ἐκκλησίαν, κοινὴν τὴν ἐπαγγελίαν, κοινὰς τὰς ὑποσχέσεις τῶν
κλειδῶν, ἤτοι τὴν ἐξουσίαν τοῦ δεσμεῖν καὶ λύειν κατὰ τὸν χρυσορρήμονα. (ὁ-
μιλία εἰκοστὴ τρίτη. Ματθαίου, ἑβδόμῳ) καὶ κατὰ πάντας ἅμα τοὺς διδα-
σκάλους, ὡς ἔργῳ, καὶ ἀνεδείχθη μετὰ τὴν ἔγερσιν, εἰπόντος ἅμα πᾶσι.
τοῦ κυρίου, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας. καὶ τὸ ὅπου δύο ἢ τρεῖς συνηγμένοι
ἐκεῖ εἰμὶ καὶ ἐγώ· καὶ τὸ πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ
εὐαγγέλιον· Ματθαίου. : κηʹ : καὶ τὸ αὐτόθι, ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ
πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ ὅσα παραπλήσια
κοινὰ πᾶσι. πλὴν καὶ τὸ νυνὶ ἐπαγόμενον ἰσχυρότατον· ὁ ἀκούων φησὶν (ὡς
λέγει παρὰ Λουκᾷ ἐν κεφαλαίῳ : ιʹ : πρὸς τοὺς ἐκλέκτους ἑβδομήκοντα) ὑ-
μῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ. ἐπίσης ἄρα οἱ ἀπόστολοι πάν-
τες, ἐπίσης τε οἱ ἐπίσκοποι ἐπίτροποι Χριστοῦ καὶ οὐχ ὁ Πέτρος μόνος.
εἰ γάρ τοι μόνος ὁ Πέτρος, ἢ ὑπὲρ τοὺς ἄλλους ἦν τι κατ' ἐξουσίαν Πέτρος,
ἔλεγεν ἄν, ἢ λέγειν ὤφειλε κἂν ἅπαξ τὸ ἀψευδὲς καὶ πάνσοφον ἐκεῖνο στό-
μα, ἢ τοῦτο ἢ παραπλήσιον, ὁ ἀκούων Πέτρου ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν Πέτρον
ἐμὲ ἀθετεῖ. τοῦτο δ' οὐδαμόθεν πάντως οὐδέν. ἀλλὰ καὶ τοῦτο καὶ τἄλλα
πάντα, μὴ μέντοι προσωπικά, κοινά. ἡ ἐκλογή, ἡ ἀποστολή, ἡ μαθητεία, τὸ
θαυματουργεῖν, ἡ ἱερωσύνη, ὁ νιπτήρ, αἱ ὀπτασίαι τῆς Ἀναστάσεως, καὶ τῆς
ἀναλήψεως· ἡ κάθοδος τοῦ ἁγίου πνεύματος, ἡ ἐκλογὴ Ματθία, ἡ σύνοδος ἐν
ἱερουσαλὴμ περὶ τῶν νομικῶν, τὸ καθίσαι σὺν Χριστῷ ἐπὶ θρόνων τοῦ κρίνειν, τὸ
φίλους λέγεσθαι, τέκνα, ἀδελφούς. τὸ ἐπιτιμᾶσθαι περὶ πρωτείων, καὶ πλεῖστα
ἕτερα. περὶ τούτου αὐτοῦ διασκεψώμεθα κατὰ τὴν σύνοψιν τεττάρων ἀποδείξε-

ων περὶ

Χρυσός:

Αὐγουστῖνος

Κυπριανός

ου περὶ τοῦ τετάρτου τμήματος. ἐπισφραγιζέτω τὸν λόγον ἡμῶν κυπριανὸς
ὁ περιώνυμος ἱερομάρτυς περὶ ἁπλότητος ἱερέων. τοῦτο ἦσαν φησὶ καὶ οἱ ἄλλοι
ἀπόστολοι ὅπερ ἦν καὶ ὁ πέτρος. τῇ αὐτῇ συντυχίᾳ πεπλουτισμένοι καὶ τιμῆς
καὶ ἐξουσίας. αὐτόθιτε παρὰ κορεσσίῳ κεφ´: κγ´: ἰσοτίμους καὶ ἰσοδυνάμους
5 τῷ πέτρῳ πάντας τοὺς ἀποστόλους τίθησι. καὶ τούτων φανερῶν ὄντων κἀκ τοῦ
γράμματος, κἀκ τῶν διδασκάλων, περιττὸν περαιτέρω εἰς ἀνατροπὴν σου
τὰς ῥήσεις. εἰ μὴ μόνον τὸ τοῦ ἁγίου αὐγουστίνου καθ᾽ ἡμῶν, ὑπὸ σοῦ κάταθι
παραβαλλόμενον, ἡμεῖς ἀναπεπταμέναις ὠλέναις, ἐγκολπιζόμενοι εἰς τὴν τῶν
σῶν νοημάτων ἀναίρεσιν ἀντιστρέψομεν. φησὶ γὰρ, κατὰ σὲ, ἐπιστολῇ. ρξέ
10 πρὸς γενέρωσον, πέτρῳ τῆς ἐκκλησίας ἁπάσης τύπον φέροντι, ὁ κύριος,
εἴρηκεν ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ τὰ ἑξῆς.
τί τούτου προδηλότερον. ὅτι οὐ πέτρῳ μόνῳ, οὐδὲ τῇ λεγομένῃ αὐτοῦ ἰδίᾳ καθ-
θέδρᾳ, ἢ καὶ διαδόχοις, ἀλλ᾽ ὡς ἐν προσώπῳ πάσης τῆς ἐκκλησίας, καὶ τῶν
ἀποστόλων ὁμοῦ ἁπάντων τὰ τῆς ἐπαγγελίας ἀνηγορεύθησαν. πρὸς δὲ τὸν
15 παραλογισμόν σου ἀποκρινόμεθα παραπλησίως. τῇ καθολικῇ ἐκκλησίᾳ ἐ-
παγγελμένον, οὐ τῇ κατ᾽ ἰδίαν λεγομένῃ τοῦ πέτρου ἤτοι τῇ ῥωμαίων, καὶ τῇ
λατινίδι πάσῃ, τοῦτο γὰρ δηλοῖ σου τὸ ὁμωνύμως νοούμενον συνεζευγμένῃ τῷ
πέτρῳ. καὶ γὰρ ἔστιν ἡ καθολικὴ ἐκκλησία συνέζευκται τῷ πέτρῳ, ἀλλ᾽ οὐ καὶ
μόνῳ. πᾶσι δὲ τοῖς ἀποστόλοις ὥς φησι παῦλος. ἐφεσίοις δευτέρᾳ, ἐποικο-
20 δομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων. ἀλλὰ καὶ κυριώτερον ἔδει σε φάναι
συνεζευγμένῃ τῷ χριστῷ. πλὴν τοῦτο μὲν οὐκ ἔφης. οὐ γὰρ εἶχες ἐκ τούτου
συνάγειν εἰς τοὺς πάπας τὴν διαδοχήν. καὶ τὴν ἐλάττονα δὲ παντελῶς ἀπαρ-
νούμεθα. ὡς γὰρ οὐ μόνῳ τῷ πέτρῳ ἐπήγγελται, ἀλλὰ καὶ τοῖς ἀποστόλοις πᾶ-
σιν (οὐ γὰρ πέτρος μόνος ἐκκλησία, καὶ σῶμα χριστοῦ, ἀλλ᾽ αὐτὸς εἷς καὶ
25 οἱ λοιποὶ συναπόστολοι ἅμα) οὕτως οὐ δὲ τοῖς πέτρου διαδόχοις μόνοις, ἀλλὰ
καὶ τοῖς τῶν λοιπῶν ἅμα. διάδοχοι δὲ ἀποστόλων οἱ ἐπίσκοποι πάντες, ῥητῶς
κατὰ τὸν ἱερὸν ἱερώνυμον περὶ εὐάνδρον πρεσβύτερον, κυριώτερον δὲ καὶ ἐξαιρέ-
τως οἱ πατριαρχικοὶ λεγόμενοι ἀποστολικοὶ θρόνοι. φαίημεν οὖν ἔστι τοῦτο κατὰ
τὸν χρυσορρόαν διδάσκαλον, ὃ περὶ παύλου καὶ βαρνάβα συλλογίζεται, ὡς ἐν τῷ
30 θ´. τῆς α´ πρὸς κορινθίους λόγῳ: κα´. εἰ γὰρ τὰ ἄλλα (παύλῳ καὶ βαρ-
νάβᾳ μετὰ τῶν ἀποστόλων) κοινὰ, πῶς τοῦτο οὐ κοινόν. καὶ αὐγουστῖνος ὁ θεῖος,
ἐν τῷ περὶ χριστιανικοῦ ἀγῶνος. κφ´: λ´. λέγει: ὃ πέτρῳ λέγεται, πᾶσι
τοῖς ἀποστόλοις λέγεται. ὃ πρὸς πέτρον ἐρωτῶντα παρὰ λουκᾷ δωδεκάτῳ.
ὁ κύριος ἀπεκρίνατο, παρὰ μάρκῳ δωδεκάτῳ. ἃ δὲ ὑμῖν λέγω πᾶσι λέγω,
35 γρηγορεῖτε, συμφωνεῖ τῇ γνώμῃ καὶ ὁ μέγας ἐν διδασκάλοις ἀμβρόσιος λόγῳ:
λγ´: φύλ: τλβ´: καὶ τλγ´: παρὰ κορεσσίῳ, ὃ λέγεται πέτρῳ καὶ ἀποστόλῳ
λέγεται· καὶ ἵνα κατὰ λόγον οἱ λόγου μετέχοντες διαγνοίημεν τἀληθές, εἰ πέ-
τρος οὐκ ἦν τοιοῦτος, πόθεν εἰς τὸν θρόνον ῥώμης μόνον μετέβη τὸ ἀξίωμα; ὅτι
ὁ θρόνος ἴσως ἐγένετο πέτρου. καὶ μὴν ἔστιν ἀντιόχεια, καὶ ἱερουσαλὴμ πόλις
40 (φησὶ χριστὸς) τοῦ μεγάλου βασιλέως καὶ τῶν ἀποστόλων πάντων. εἰ καὶ προ-
σηκούσθη ἱακώβῳ. ἀλλ᾽ οὐκ ἦσαν οἱ ἀπόστολοι προσηλωμένοι καθέδραις καὶ
πόλεσι,

πόλεσι. ζῶντος τοῦ Πέτρου, ἀρχιερατεύειν ἐν ῥώμῃ Λῖνος· καὶ εὔοδος ἐν ἀντιοχείᾳ· καὶ κατὰ πρόσωπον Ἰωάννου ἐν ἐφέσῳ Τιμόθεος, καὶ στάχυς ἐν βυζαντίῳ ἐπ᾽ Ἀνδρέου. καὶ ὁμοίως ἀλλαχοῦ ἐπὶ τῶν λοιπῶν ἀποστόλων· ποῦ δ᾽ ἡ καθέδρα εἰπέ μοι Παύλου; οὐκ ἦν ἴσως ἐπίσκοπος; ποῦ ἄρα, εἰ μὴ πανταχοῦ. ὅθεν ὡς καθόλου ἐπίσκοπος, πανταχοῦ καὶ ἐφρόντιζεν ὡς που ἐπικειμένην αὐτῷ λέγει τὴν μέριμναν πασῶν τῶν ἐκκλησιῶν. (β΄: Κορινθίοις κεφαλαίῳ :ια:) ὅθεν καὶ ἐν ἀντιοχείᾳ ἕτερον χειροτονεῖ μετὰ εὔοδον τοῖς ἔθνεσιν Ἰγνάτιον, καὶ ἐν ἐφέσῳ ὅπου Ἰωάννης, Τιμόθεον· καὶ σιλουανὸν ἐν θεσσαλονίκῃ. καὶ κορινθίοις (ὧν ἰδιώτατος λέγεται ἀπόστολος. ἢ καὶ ποιμὴν) τὸν σίλαν. καὶ βαρνάβας ἐν μεδιολάνῳ μικρὸν ἐπισκοπεύσας ἕτερον προχειρίζεται. ὅθεν δῆλον ὅτι κυρίως οὐκ ἦσαν οἱ τῶν ἀποστόλων δώδεκα, καὶ οἱ προστεθειμένοι τούτοις, προεδρεύσαντες ῥηταῖς πόλεσιν. οὕτω τοίνυν οὐδ᾽ ἂν εἶεν οἰκουμενικοὶ καθὼς γέγραπται. προελθόντες εἰς τὸν κόσμον ἅπαντα. οἴχεται σου τοίνυν εἰς ἄρνησιν καὶ ψεῦδος τὸ συμπέρασμα καὶ αἱ ἐπαγωγαὶ πᾶσαι. ἴδωμεν ἤδη καὶ καὶ τὰς ὑπὸ σοῦ προφερομένας εἰς βεβαίωσιν διδασκαλικὰς ῥήσεις νενοθευμένας ὡς τὰ πολλά.

Α΄ Ὠριγένης. ἐνταῦθα (φησὶ) φανερὸν, ὅτι οὔτε Πέτρου, οὔτε τῆς ἐκκλησίας, κατισχύσαι δυνήσονται αἱ τοῦ ᾅδου πύλαι.

Β΄ Χρυσόστομος αὐτόθι. ἐπὶ ταύτῃ τῇ Πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν. τουτέστι τῇ πίστει καὶ ὁμολογίᾳ. ἐνταῦθα σαφῶς προλέγει μέγα τῶν * μελλόντων ἤδη πιστεύειν καὶ πιστεῦσαι πλῆθος ἔσεσθαι, καὶ ὑψηλότερον * αὐτὸν ποιεῖ, καὶ τῆς μελλούσης ἐκκλησίας * ποιμένα καθίστησι. καὶ κατωτέρω· ὁ θεὸς χαρίζεσθαι μόνος δύναται, ὥστε τὴν μέλλουσαν ἐκκλησίαν ἐν τοσαύτῃ κυ- * μάτων ἐμβολῇ ἀκίνητον μένειν ἧς ποιμὴν καὶ κεφαλὴ * ἁλιεὺς ἄνθρωπος· καὶ δυσγενὴς τῆς οἰκουμένης αἰθισαμένης ἀδάμαντος φύσιν ὑπερβάλλειν στερρότητι. καὶ αὖθις. καὶ τὸν μὲν ἱερεμίαν ἔθνει ἑνὶ δεδομένον ὑπὸ τοῦ * πατρὸς εἰρήκει. πέτρον δὲ τῇ οἰκουμένῃ πάσῃ προέστησεν * ὁ Χριστός.

Τὰ σημειούμενα οὕτωσὶ* νενοθευμένα εἰσί

Γ΄ Αὐγουστῖνος ἐν ψαλμοῖς κατὰ δονάτου. ἀριθμήσατε φησὶ, τοὺς ἱερεῖς καὶ ἐπ᾽ αὐτῆς τῆς Πέτρου καθέδρας ἴδετε, αὕτη ἐστὶν ἡ Πέτρα, ἣν οὐ νικήσουσιν αἱ ὑπερήφανοι τοῦ ᾅδου πύλαι.

Δ΄ Θεόδωρος ὁ στουδίτης ἐπιστολῇ πρὸς Μιχαὴλ βασιλέα, φησὶ, κελευσάτω τὸ κράτος σου, εἰ ἀμφιβάλλοι, ἢ καὶ ἧττον λελυμένον νομίζοι τὸ ἀπορούμενον ὑπὸ τοῦ θεοστυγοῦς ποιμένος, ἀπὸ τῆς πρεσβυτέρας ῥώμης ἀποσταλῆναί σοι τοῦ πράγματος τούτου τὴν ἐξήγησιν, κατὰ τὴν πάλαι κεκρατηκυῖαν παράδοσιν. αὕτη ἐστὶν ὦ χριστομίμητε βασιλεῦ ἡ ἄκρα κορυφὴ τῶν τοῦ θεοῦ ἐκκλησιῶν, ἧς καὶ πρῶτος προήδρευσε Πέτρος, πρὸς ὃν ὁ Κύριος, σὺ εἶ πέτρος.

Ε΄ Ὁ αὐτὸς ἐπιστολῇ πρὸς ναυκράτην. θεὸν καὶ ἀνθρώπους ἐπιμαρτύρομαι, ἐχώρισαν ἑαυτοὺς ἀπὸ τοῦ σώματος τοῦ Χριστοῦ, ἀπὸ τῆς κορυφαίας καθέδρας, ἐν ᾗ Χριστὸς τὰς κλεῖς τῆς πίστεως ἔθετο. ἧς οὐ κατίσχυσαν διὰ παντὸς τοῦ αἰῶνος, οὐδὲ κατισχύσουσιν ἕως συντελείας αἱ τοῦ ᾅδου πύλαι, τὰ στόματα δηλαδὴ

δηλαδὴ τῶν αἱρετιζόντων καὶ τὸν ἀψευδῶς ἐπαγγειλάμενον.

Κύριλλος ἐν θησαυρῷ * κατὰ τὴν ταύτην τοῦ Χριστοῦ ἐπαγγελίαν, ἡ ἀποστολι- ς' *
κὴ τοῦ Πέτρου ἐκκλησία πάσης ἀπάτης διαμένει καὶ συζυγίας αἱρετικῆς
ἀνέπαφος, ὑπὲρ πάντας προέδρους, καὶ ἐπισκόπους, καὶ ἐξάρχους τῶν ἐκ-
5 κλησιῶν, καὶ ἀποστόλων ἐν τοῖς οἰκείοις ἀρχιερεῦσιν, ἐν πληρεστάτῃ πίστει, καὶ
ἐξουσίᾳ Πέτρου. καὶ τῶν μὲν ἄλλων ἐκκλησιῶν πλάνῃ τινῶν καταισχυμμένων,
ἀκλονήτως ἐστηριγμένη βασιλεύει αὐτή, σιγὴν ἐπιτιθεῖσα, καὶ πάντων ἐμ-
φράττουσα τῶν αἱρετικῶν τὰ στόματα. καὶ ἡμεῖς κατ᾽ ἀνάγκην σωτηρίας οὐκ
ἀλαζονείᾳ ἐξαπατώμενοι, οὐδ᾽ ὑπερηφανείας οἴνῳ μεθύοντες, τὸν τῆς ἀλη-
10 θείας τύπον, καὶ τῆς ἁγίας ἀποστολικῆς παραδόσεως ἅμα σὺν αὐτῇ καθομο-
λογοῦμεν τε καὶ κηρύσσομεν.

Βασίλειος ἐπιστολῇ πρὸς τὸν ῥωμαίων ἀρχιερέα διὰ Σαβίνου διακόνου φησί, Ζ'
τῷ ὄντι ἄξιον τῆς ἐξοχωτάτης ἐκείνης φωνῆς, δι᾽ ἧς Μακάριόν σε * ἀνεκή- *
ρυξεν, ὅτι τῇ σῇ θεοσεβείᾳ ὑπὸ Κυρίου δεδώρηται, τὸ κίβδηλον δῆθεν ἀπὸ τοῦ
15 γνησίου καὶ καθαροῦ διακρίνειν, καὶ τὴν πίστιν ἀνυποστόλως κηρύττειν.

Ἡ ἐν Ἀλεξανδρείᾳ σύνοδος πρὸς Φήλικα Πάπαν * ὁμοίως καὶ παρὰ τῶν Η' *
εἰρημένων πατέρων ὡρίσθη συμφώνως. ἵνα ἐάν τις τῶν ἐπισκόπων, ἢ τὸν
Μητροπολίτην, ἢ τοὺς συνεπαρχιώτας, ἢ κριτὰς ὑποπτεύῃ, τὴν ἁγίαν ὑμῶν
ῥωμαϊκὴν ἐπικαλεῖται καθέδραν. ἥτινι παρὰ τοῦ αὐτοῦ Κυρίου τοῦ λύειν τε καὶ
20 δεσμεῖν ἐξουσία, ἐξαιρέτῳ προνομίῳ ὑπὲρ τοὺς ἄλλους ἐπιβεβραβεύθη. αὐτὴ
γὰρ στήριγμα τοσοῦτον εὐσταθὲς καὶ ἀσάλευτον εἴληφεν, ὅτι ταύτην τύπον ἁπασῶν
τῶν ἐκκλησιῶν περιφανέστατον ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ὑμετέραν
ἀποστολικὴν κατέστησε καθέδραν. αὕτη γὰρ ἐστιν ἡ ἱερὰ κορυφὴ, ἐν ᾗ πᾶσαι
περιπολοῦνται αἱ ἐκκλησίαι, διακρατοῦνται, καὶ ἀνακουφίζονται.

25 Κυπριανὸς πρώτῳ βιβλίῳ, ἐπιστολῇ, ὀγδόῃ, θεὸς εἷς ἐστι καὶ Χριστὸς εἷς Θ'
καὶ μία ἐκκλησία. καὶ καθέδρα μία, ἐπὶ Πέτρῳ τῇ Κυρίου φωνῇ τεθε-
μελιωμένη. ἄλλο θυσιαστήριον γένεσθαι, ἢ νέαν ἱερωσύνην καθίστασθαι παρὰ
τὸ ἓν θυσιαστήριον, καὶ τὴν μίαν ἱερωσύνην ἀδύνατον. ὁ ἀλλαχοῦ συνά-
γων σκορπίζει.

30 Ἀνάκλητος ὁ Πάπας ἐπιστολῇ τρίτῃ πρὸς πάντας ἐπισκόπους. αὕτη Ι'
ἡ ἱερὰ καὶ ἁγία ῥωμαϊκὴ καὶ ἀποστολικὴ ἐκκλησία, οὐκ ἀπὸ τῶν ἀποστό-
λων, ἀλλ᾽ ὑπ᾽ αὐτοῦ τοῦ Κυρίου σωτῆρος ἡμῶν τὸ πρωτεῖον κεκλήρωται, καὶ
τὴν ὑπεροχὴν τῆς ἐξουσίας, καὶ ὑπὲρ πάσας τὰς ἐκκλησίας καὶ σύμπασαν
τοῦ χριστωνύμου λαοῦ ποίμνην. κατὰ τὸ σὺ εἶ Πέτρος.

35 Μάξιμος ὁ Κωνσταντινουπόλεως ἐπίσκοπος * ἐπιστολῇ πρὸς τοὺς ἀνατολικοὺς ΙΑ' *
Πάντα τῆς γῆς τὰ πέρατα, καὶ οἱ ἁπανταχοῦ ὀρθόδοξοι τὴν ἀληθῆ καθομο-
λογοῦντες πίστιν, εἰς τὴν τῶν ῥωμαίων ἀρχιερέων ὡς εἰς ἥλιον ἀποβλέπουσι
κυριότητα, καὶ ἀπ᾽ αὐτῆς τὸ τῆς καθολικῆς καὶ ἀποστολικῆς πίστεως φῶς
ἀπολαμβάνουσι, καὶ εἰκότως. ὁ γὰρ Πέτρος ἀναγινώσκεται, τὴν τε-
40 λείαν πίστιν ὁμολογήσας, τοῦ Κυρίου ἀποκαλύψαντος, λέγων. σὺ εἶ ὁ Χριστὸς
ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. τοῦτον γὰρ ἐκ τῶν λοιπῶν ἀνθρώπων ἀπὸ πάσης τῆς
οἰκουμέ-

οἰκουμένης, ὁ τῆς οἰκουμένης δημιουργὸς ἐξελέξατο ᾧ καὶ τὴν τῆς διδασκαλίας καθέδραν ἐξαιρέτως εἰς κλῆρον ἔχειν διηνεκεῖ προνομίῳ δικαίῳ ἐχαρίσατο.

ΙΒʹ Ἐν τῇ ἐπιστολῇ πουλχερίνου καὶ τῶν ἄλλων περὶ τῆς διοσκόρου καταιρέσεως, ἥτις ἔχεται κατὰ τὸ τέλος τῆς ἐν χαλκηδόνι συνόδου ταῦτα ἐν τοῖς ἄλλοις. ὅθεν ὁ ἁγιώτατος καὶ Μακαριώτατος Πάπας κεφαλὴ τῆς καθόλου ἐκκλησίας * Λέων, δι' ἡμῶν ὡς λεγάτων αὐτοῦ, συμφωνούσης καὶ τῆς ἁγίας συνόδου, τῇ Πέτρου κεκοσμημένος ἀξίᾳ τοῦ τῆς ἐκκλησίας θεμελίου καὶ Πέτρας τῆς πίστεως, καὶ θυρωροῦ τοῦ οὐρανοῦ ὀνομαζομένου τῆς ἐπισκοπικῆς αὐτὸν ἀξίας ἐγύμνωσε.

ΙΓʹ Μάρκελλος Πάπας ἐπιστολῇ πρὸς τοὺς ὑπ' ἀντιόχειαν ἐπισκόπους. αὐτὸς γὰρ (ὁ Πέτρος) κεφαλή ἐστιν ἁπάσης τῆς ἐκκλησίας ᾧ εἶπεν ὁ Κύριος· σὺ εἶ Πέτρος. εἴπερ ἡ ἐν ἀντιοχείᾳ καθέδρα, ἥτις ὤνην πρωτεύουσα, τῇ ῥωμαϊκῇ ὑποβέβηκεν, οὐκ ἔστι μία τυγχάνει (καθέδρα) μὴ τῇ αὐτῆς ὑποκειμένη ἐξουσίᾳ, πρὸς ἣν πάντες ὡσανεὶ πρὸς κεφαλὴν (κατὰ τὰ τῶν ἀποστόλων καὶ τῶν αὐτῶν διαδόχων θεσπίσματα) ἐπίσκοποι, οἱ βουλόμενοί τε καὶ οἱ δεόμενοι προσφυγεῖν τε καὶ ἐκκαλεῖσθαι ὀφείλουσιν. ἵν' ἐντεῦθεν ἀπολαύωσιν ἐπικουρίαν καὶ ἐλευθερῶσιν. ὅθεν ἔλαβον τὴν διδασκαλίαν καὶ χειροτονίαν.

ΙΔʹ Αὐγουστῖνος ἐπιστολῇ πρὸς γενέρωσον. βλέπε ἀνωτέρω περὶ τῶν ῥήσεων.

ΙΕʹ Τὰς μεταξὺ παραδραμόντες ἀντ' οὐδενὸς μαρτυρίας, ἀκούσωμεν καὶ τὰς ἐγκωμιαστικὰς μακρολογίας ἃς προσήνεγκας τοῦ ἱεροῦ σου ἱερωνύμου ἐπιστολῇ: νζʹ: καὶ νη: πρὸς δάμασον, ἐξ ὧν τὰ πρὸς τὸ προκείμενον ταῦτα. ἐγὼ δὲ τέως βοῶ, ὅτι τῇ τοῦ Πέτρου καθέδρᾳ προσκείμενος ἐμός ἐστι, μελέτιος, οὐ βιτάλιος καὶ Παυλῖνος ἔχεσθαί σου ἑαυτοὺς λέγουσι. τις δ' ἂν δυναίμην, εἴπερ αὖ εἷς τοῦτο ἔλεγε. νῦν δ' οἱ δύο ψεύδονται, ἢ καὶ πάντες. διὸ δὴ τὴν σὴν ἱκετεύω Μακαριότητα. οὕτως ἐπὶ θρόνου μετὰ τῶν δώδεκα κρίνων καθέζοιο, ἵνα διὰ σῶν γραμμάτων δηλώσῃς, τίνι ἐν συρίᾳ κοινωνεῖν δέον. τέλος τοιοῦτον ἐπιφωνεῖς διδάσκαλον, εἰ καὶ παυλῖνον ἐπιφανίῳ προσφιλέστατον, Πατριάρχην ἐγνώκει, ὅμως ἐπαπορούντων περὶ τούτου τινῶν, οὐθ' ἑτέρῳ πειθόμενος τὸ τοῦ δαμάσου ῥωμαϊκὸν ἀπῄτει χρησμολόγημα.

ἈΠΆΝΤΗΣΙΣ

Καὶ ταῦτα μὲν τὰ τῆς σῆς ἐπὶ δόγματι καινοῦ διδασκαλίας ὑποστηρίγματα. ἔλθωμεν δὴ καὶ εἰς τὴν τούτων καθαίρεσιν καὶ τῶν ἀντιλογιῶν σου τὴν λύσιν.

Αʹ Τὰ προηγούμενα οὐδὲν ὑμῖν συμβάλλει ῥητῶς. εἰ μήπου ἀντὶ Πέτρου, καὶ τοὺς διαδόχους αὐτοῦ μόνους, καὶ ἀντὶ ἐκκλησίας τὴν ῥωμαϊκὴν ἐκλαμβάνητε μόνην. ἃ καὶ πρότερον ἀνεσκευάσαμεν. ἐν πέτρῳ γὰρ τοὺς ἀποστόλους πάντας καὶ τοὺς ὀρθοὺς διδασκάλους νοεῖ. κἀν τῇ ἐκκλησίᾳ, τὴν καθόλου καὶ ἀποστολικήν, εἰς ἣν καὶ πιστεύομεν.

Καὶ τὰ

Καὶ τὰ χρυσοστόμου δὲ ἰσχυώτινα δοκεῖ ἐμφαίνειν κατὰ τὸν ἦχον τῶν φωνῶν, Β'
ἀλλ' οὐδὲν τοιοῦτον. μᾶλλον δὲ καὶ παραπεπλασμένη ἡ ῥῆσις καὶ
τὸ χρύσεια φαινόμενα κίβδηλα. οὐ γὰρ φησὶν ὁ Χρυσοῦς τῷ ὄντι, ὅτι ὑψηλό-
τερον * τὸν Πέτρον ποιεῖ, καὶ ποιμένα μὲν ἔγραψεν, οὐχ ἁπλῶς δὲ (ὡς * Τὰ νενοθευ-
5 κεῖται παρ' ὑμῖν) τῆς μελλούσης ἐκκλησίας * καὶ, ἄνθρωπον ἁλιέα μὲν * μένα
ἔφη στερρότερον πέτρας, ἐκκλησίας δὲ κεφαλὴν * καὶ ποιμένα ὑμεῖς πα- *
ρενέθεσθε. καὶ τὸ μὲν πανταχοῦ τῆς οἰκουμένης τὸν Πέτρον ἄνευ ῥήματος κεῖ-
ται, τὸ δὲ ὅτι προέστησεν * ὁ Χριστός, ὑμεῖς ἐνεκεντρίσατε. λάβετε τοῦ φωστῆ- *
ρος τὴν γνώμην εἰλικρινῆ καὶ ἀπαραχάρακτον. ἐντεῦθεν δείκνυσι πολλοὺς
10 μέλλοντας ἤδη πιστεύειν, καὶ ἀνίστησιν αὐτοῦ τὸ φρόνημα, καὶ ποιμένα ποιεῖ.
ἃ γὰρ θεοῦ μόνου ἐστὶν ἴδια, τό, τε ἁμαρτήματα λῦσαι, καὶ τὸ ἀπερίτρεπτον τὴν
ἐκκλησίαν ποιῆσαι ἐν τοσαύτῃ κυμάτων ἐμβολῇ, καὶ ἄνθρωπον ἁλιέα πέ-
τρας πάσης ἀποφῆναι στερρότερον, τῆς οἰκουμένης πολεμούσης ἁπάσης, ταῦ-
τα αὐτῷ ἐπαγγέλλεται δώσειν. καὶ τὸν μὲν Ἱερεμίαν ἑνὶ ἔθνει (δεδομένον
15 τέθησι) τοῦτον δὲ πανταχοῦ τῆς οἰκουμένης. πόθεν οὖν ὑμῖν τὸ δογματίζειν
τὸν Πέτρον παρὰ χρυσοστόμου ὑψηλότερον καθεσταμένον τῶν ἀποστόλων. καὶ
μέχρι τούτου εἴη ἂν ἴσως καὶ ἀνεκτόν. ἀλλ' ἐκ τοῦ Πέτρου τις εὐφρονῶν ἀνά-
σχοιτο τὴν ψευδοτιμίαν ταύτην, εἰς τοὺς ὑμῶν Πάπας ὡς διαδόχους ἀκού-
ειν διαπορθμευομένην. πόθεν ὑμῖν τὸ κεφαλὴν τὸν Πέτρον ὀνομάζειν, τὸ
20 Χριστῷ μόνῳ προσῆκον κατὰ Παῦλον πολλαχοῦ. καὶ Βασίλειον περὶ κρίματος
θεοῦ μετὰ μίαν σελίδα μυστικώτατον ὄνομα; τὸ δ' ὅτι προέστησε τῇ οἰκουμένῃ
πάσῃ ἔγκειται μέν, οὐ φθονοῦμεν δὲ, κοινῷ τῶν ἀποστόλων ἁπάντων ὄντι χα-
ρίσματι. κατὰ τὸ προφητικὸν καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.
καὶ εἰ μὲν τὰ προηγούμενα τοῦ δόγματος ὑμῶν παραπεπλασμένα καὶ νόθα,
25 πῶς ἂν εἴη τὰ ἑπόμενα κύριά τε καὶ ἀναγκαῖα. καὶ ταῦτα μὲν οὐκ ἐπὶ τοῖς
τοῦ χρυσορρήμονος ἔστι μόνοις εὑρεῖν, ἀλλὰ καὶ κατωτέρω ἐν τοῖς Κυρίλλου,
καὶ Βασιλείου, καὶ συνόδοις, καὶ ταῖς θείαις αὐταῖς γραφαῖς. πῶς οὖν οὐκ
ἐπάναγκες, μὴ πάντως ὑμᾶς ἀποπλανᾶσθαι τῆς ἀληθείας, τῶν ἑλληνικῶν
ἀμοιροῦντας φωνῶν, καὶ τῆς ἀνατολικῆς κατεπανισταμένους ἐκκλησίας καὶ
30 καινοτομεῖν παρὰ τὰ πάτρια, καὶ τὰς παραδόσεις ἐθέλοντας, καὶ τὸ δυσφο-
ρώτατον τοὺς ὀρθὰ φρονοῦντας ἡμᾶς ἀδίκως ἐλέγχειν, καὶ ὡς ἀπολλυ-
μένους τοὺς ἀκαινοτομήτως πολιτευομένους διακωδονίζειν. ἀλλ' ἡμῖν τοὐ-
ναντίον ἐνυπάρχει. ἐξὸν γὰρ ὑμᾶς ἐξελέγχειν καὶ ὀνειδίζειν ὡς ἐπ' αὐτοφόρῳ
παραχαράξαντας, καὶ τὴν ἀλήθειαν, ἢ καὶ τὴν πίστιν ὡς ἀληθῶς, καὶ τὴν τῶν
35 ἀνθρώπων ὑπόληψιν ἀδικοῦντας., ὅμως γε ὡς ἀδελφοῖς ἐξαπατωμένοις
μᾶλλον, ἢ ἀπατῶσι, συλλυπεῖσθαι προαιρούμεθα. μετ' εὐμενείας τε καὶ πρα-
ότητος νουθετοῦμεν, ἢ μὴ προπετῶς παρασαλεύειν τἀρχαῖα καὶ πάτρια,
ἢ κἂν γε μὴ κακοτέχνως κιβδηλεύειν τὰ γνήσια. καὶ εἴπερ παρερμηνεύειν
φιλεῖτε τὰ κείμενα, δέον κἂν μὴ παραγράφειν. τοιαῦτα καὶ τὰ Κυρίλλου κατὰ
40 τὸν ἕκτον ἀριθμόν, τοῦ Βασιλείου κατὰ τὸν ζ'. καὶ τῆς συνόδου κατὰ τὸν η': τοῦ λε-
γομένου Μαξίμου Κωνσταντινουπόλεως κατὰ τὸν ἑνδέκατον, καὶ ἄλλα γε τυχὸν

παραπλη-

παραπλησίως. ὧν ἡμεῖς τὰς ῥήσεις ὡς καὶ ἄλλα γε πλεῖστα πρὸς τὸ κύριον
παραβάλλειν μὴ ἔχοντες, εἰς ὀρθὸν μετενεγκεῖν ἐξηγήσεως ἐσπουδάσαμεν
φρόνημα. τοιγαροῦν καὶ εἰς τὰ ἑξῆς παρακύψωμεν.

γʹ

Αὐγουστῖνος ἀρχαῖα κατὰ δονατιστῶν. ὑπὸ τὴν ῥώμης ὄντων ἀπὸ τῆς τῶν
ῥωμαίων ἀρχαιότητος καὶ διαδοχῆς διαλεγόμενος καταισχύνει. ὡς ἀ-
πειθεῖς οἰκείας ἀρχῆς καὶ ἐξουσίας. τὸ δ' ἔτι ἔφη τὴν ῥωμαϊκὴν καθέδραν πέ-
τραν, οὐ θαυμαστόν. μετωνυμικῶς γὰρ λέγονται ἀντὶ τῶν ἐχόντων τὰ ἐχόμε-
να, καὶ ἀνάπαλιν καὶ ἀντὶ σημείων τὰ σημειούμενα. καὶ ἀντὶ αἰτίων τὰ ἐξαι-
τίων, καὶ ἀντὶ τοῦ λόγου τὸ μέρος. ἐρώτησον ὅμως αὐγουστῖνον ἐν τῇ βίβλῳ
τῶν ἐπιδιορθώσεων ὡς λέγει. οὐκ εἴρηται τῷ Πέτρῳ σὺ εἶ πέτρα, ἀλλὰ σὺ εἶ
Πέτρος. πέτρα δὲ ἦν ὁ Χριστός, ὃν ὡμολόγησε Πέτρος. καὶ αὖθις ἀ-
λλαχοῦ ἐπ' ἐμοὶ οἰκοδομήσω σε, οὐκ ἐπὶ σοὶ ἐμέ. τὰ αὐτὰ καὶ εἰς Ἰωάννην
διορθούμενος ταυτὸ τοῦτο καὶ ἀνωτέρω χρυσόστομος πέτραν καλῶν τὴν ὁμολογί-
αν. τοῦτ' αὐτὸ καὶ Κύριλλος βιβ: δʹ τῶν διαλόγων περὶ τριάδος περὶ τὴν
ἀρχήν. ταυτὰ καὶ ἀμβρόσιος πρὸς ἐφεσίους. καὶ πάντες σχεδὸν οἱ ἡμέ-
τεροι. εἰ δὲ καὶ πέτρα ἦν ἀληθῶς ὁ Πέτρος τῆς πίστεως, νοητέον τοῦτο ὡς καὶ
ἐπὶ τοῖς ἄλλοις ἀποστόλοις κατὰ μετάδοσιν ὡς φησὶν ἀμβρόσιος. μεγάλη φη-
σὶν εὐεργεσία χριστοῦ, ὅτι μεταδίδωσι τὰ οἰκεῖα ὀνόματα τοῖς μαθηταῖς.
ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου. ἐγώ εἰμι ὁ ἄρτος
τῆς ζωῆς, καὶ ἡμεῖς εἷς ἄρτος ἐσμέν. ἐγὼ ἡ ἄμπελος. ὁ γὰρ ἀμπελὼν
Κυρίου Σαβαὼθ οἶκος ἰούδα. προστίθημι κἀγὼ θεμέλιον ὁ Χριστὸς τῆς ἐκ-
κλησίας. θεμέλιον οὐδεὶς θεῖναι δύναται παρὰ τὸν κείμενον, ὅς ἐστι Χριστός.
ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων. ὁμοίως ποιμήν. πατήρ.
διδάσκαλος. κριτής. ἀρχιερεύς. εἰσὶν οὖν καὶ πέτρα. ἀλλ' οὐκ ἀρχέτυποι
καὶ αὐτοπαγεῖς. ὅπερ παρανοίας καὶ βλασφημίας ἐγγύς. θεμέλιον γὰρ
ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστι Χριστός. ὅπερ ἀπὸ τοῦ Παύ-
λου προφέρει εἰς ἀπόδειξιν ἄνωθεν ὁ αὐγουστῖνος. προσομολογεῖ τούτοις καὶ
Κύριλλος εἰς τὸ τοῦ ἡσαΐου φάσκων. ὁ Χριστὸς κρηπὶς ἀκλόνητος τῇ νοητῇ
σιών. καὶ ὁ πηλουσιώτης ἰσίδωρος ἐπιστολῇ τετρακοσιοστῇ δεκάτῃ ἕκτῃ προσ-
μαρτυρεῖ λέγων. πέτρα ὁ Χριστὸς ἄτρεπτος μείνας, ὅτε σταυροῦται. ἁ-
μαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. καὶ οὕτω
μὲν μόνῳ Χριστῷ τῷ θεῷ ἁρμόττει τὸ λέγεσθαι πέτραν. καὶ τοσοῦτος ἀ-
λφονσος ὁ ἐξηκριβωμένος ἐν ταῖς γραφαῖς πάσαις διδάσκαλος. εἰς τὸ δέ-
κατον ἕκτον ματθαίου δείκνυσιν ἀκραιφνῶς, ὅτι οὐκ ἐπὶ τῷ Πέτρῳ τεθεμε-
λίωται ἡ ἐκκλησία. τὸ δ' ὅπως λέγονται ὁ Πέτρος καὶ ἑπομένως οἱ λοιποί.
ὁ αὐτὸς εἰς τὸ Ἰωάννου πρῶτον. σὺ κληθήσῃ κηφᾶς, φερωνύμως φησὶν ἀπὸ τῆς
πέτρας μετονομάζει Πέτρον. ἐπ' αὐτῷ γὰρ ἔμελλε τὴν αὐτοῦ θεμελιοῦν ἐκ-
κλησίαν καὶ ἱερώνυμος κατὰ ἰοβινιανοῦ βιβλίῳ: αʹ: ὡς παρὰ κυρίῳ. ἐπὶ
τοῦ Πέτρου φησὶ θεμελιοῦσθαι τὴν ἐκκλησίαν (ἤτοι ῥητῶς) ἐπὶ πάντων δ'
ἐπίσης θεμελιοῦσθαι τὴν τῆς ἐκκλησίας δύναμιν. καὶ Βασίλειος δ'
ὁ μέγας εἰς τὸ δεύτερον ἡσαΐου. προσφυέστατα περὶ τοῦ αὐτοῦ ἑρμηνεύει
λέγων.

Αὐγουστῖνος.

Ἰωάν: ςʹ.
Κορίν: ί.
Ἡσαΐας: έ.
Αʹ: κορίν: γʹ.

Ἡσαΐας: κή:
Ἰσίδ: ἐπισ: υίς

Ἄλφονσος.

Ἱερών: κατὰ ἰοβινι-
ανοῦ βιβλ: αʹ:

Βασίλ: Ἡσαΐ: βʹ:

λέγων, ἐκκλησία θεοῦ ἧς οἱ θεμέλιοι εἰσὶν ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. ᾠκοδόμηται γὰρ ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν. ἓν τῶν ὀρέων ἦν καὶ ὁ Πέτρος. ἐφ' ἧς πέτρας ἐπηγγείλατο ὁ Κύριος οἰκοδομῆσαι αὐτοῦ τὴν ἐκκλησίαν. πέτρα δὲ ὑψηλὴ ἡ ψυχὴ τοῦ Μακαρίου Πέτρου ὠνομάσθη διὰ τὸ παγίως ἐρριζῶσθαι καὶ στερρῶς καὶ ἀνενδότως ἔχειν πρὸς τὰς ἐκ τῶν πειρασμῶν ἐπαγομένας πληγάς. καὶ πάλιν αὐτόθι. πάντες οἱ χωροῦντες τὴν τῆς θεότητος γνῶσιν διὰ τὸ μέγεθος τοῦ νοῦ καὶ τῶν ἀπὸ τοῦ νοῦ πράξεων τετελεσμένοι τῷ ὑψηλῷ βίῳ τὰ ἄκρα τῶν ὀρέων εἰσίν. ἐπισφραγισάτω τέλος ὁ χρυσόστομος, λόγῳ εἰς τοὺς ἀποστόλους λέγων, ὑμεῖς ἐστὲ τῆς ὀρθοδοξίας ἀμετάθετοι στῦλοι, καὶ τῆς ἐκκλησίας πέτρα. καὶ εἰ Πέτρος ὁπωσδήποτε πέτρα τῆς πίστεως λέγεται, μὴ καὶ τῷ ῥώμης ἀρχιερεῖ, καὶ τῇ αὐτοῦ καθέδρᾳ διαδίδοται ὁ τοιοῦτος ἔπαινος. εἰ δέ πως καὶ χαρισώμεθα κατ' αὐγουστῖνον τὴν ῥωμαϊκὴν καθέδραν πέτραν εἶναι, μὴ καὶ τῆς πίστεως παρερμηνεύσωμεν, πέτραν ἁπλῶς εἶπεν ἤτοι ἐστηριγμένην ἐν τῇ ὀρθοδοξίᾳ καὶ ὁμολογίᾳ. καὶ γὰρ οὕτως εἶχε τότε, μὴ γὰρ ὅτι ἀγωνιστικῶς εἶπεν, οὐ νικήσουσιν αὐτὴν αἱ ᾅδου πύλαι, εὐθὺς ὑπονοήσωμεν ὑμεῖς τὸ ἀεί, ἢ τὸ μόνη, ἢ ἄνευ συνόδου, καὶ τῆς τῶν ὁμοταγῶν ἀδελφῶν ὁμοψυχίας, ὡς τοῖς πάλαι χρόνοις ἐπολιτεύετο. ἐξ οὗ γὰρ τὰ τῆς καθολικῆς ἐκκλησίας καὶ τῶν οἰκουμενικῶν συνόδων ἑαυτῇ σφετερίζεσθαι κατετόλμησε, καὶ τῆς πέτρας ἀπερράγη τῆς ἀκλονήτου, καὶ τὴν ἀποστολικὴν οἰκοδομὴν ἐν καινοτομίαις κατέστρεψε.

Δʹ Πρὸς δὲ τὸ τοῦ στουδίτου (εἴγε καὶ οὕτως ἔχει) οὐδὲν ἀπεικὸς πρὸ αἱρετικὸν βασιλέα (οἷος ἦν ὁ τραυλὸς Μιχαὴλ) πολλαπλασίαις αἱρέσεσιν ἐξ ὁμοροῦ περιειλημμένον, αἱρετικῷ πατριάρχῃ καὶ προέδροις προσκειμένον εἰκονομαχίᾳ δεδουλωμένον, κεχρῆσθαι τὸν Θεόδωρον τῇ τοῦ εὐσεβοῦς ἱεράρχου τῶν ῥωμαίων μαρτυρίᾳ καὶ ἐξουσίᾳ, οὐ δὲ τὴν ἄνωθεν ἀγνοοῦμεν κεκρατηκυῖαν παράδοσιν, ἐν τοῖς περὶ πίστιν ἀπορουμένοις ἀναζητεῖσθαι καὶ τὴν ῥωμαϊκὴν καθέδραν. τίς τοῦτ' ἄν ποτε ἀπηγόρευσεν, ἢ κορυφὴν εἶναι τῶν ἐκκλησιῶν, καὶ τὸ πρωτεῖον νομιζομένην τῆς τάξεως. δέοιμεν καὶ προσέτι πλεῖον κατὰ συμβεβηκὸς, ἤτοι προσωπικὸν ἀξίωμα τιμῆς διὰ τοὺς προγεγενημένους ἀρχῆθεν ἐκεῖ καὶ κορυφαίους τῶν ἀποστόλων καὶ μάρτυρας, καὶ ἱερομάρτυρας, καὶ πλείστους ποιμένας, ἁγιωσύνῃ καὶ διδασκαλίᾳ τὰ μάλιστα διαπρέψαντας. ἆρ' οὖν τοιοῦτο τοῦτό γε, ὥστε μοναρχίαν τῷ θρόνῳ χαρίσασθαι, καὶ τοὺς λοιποὺς ἀθετῆσαι ἀποστολικοὺς θρόνους, καὶ δὴ καὶ τὰς οἰκουμενικὰς συνόδους.

Εʹ Τί δὲ καὶ τὸ ἑπόμενον. ὑποθώμεθα γνήσιον Θεοδώρου (οὐ γὰρ ἔχομεν τὴν βίβλον ἀνακρίνειν νυνὶ) ὅτι ἔθετο ἐκεῖ ὁ Κύριος τὰς κλεῖς τῆς πίστεως. χάριν εἴρηται τοῦ ὁμολογήσαντος, καὶ ἀμοιβὴν τὰς κλεῖς εἰληφότος. μὴ γὰρ καὶ μόνος; μὴ γὰρ καὶ μόνη τῇ τῶν ῥωμαίων ἐκκλησίᾳ πεφιλοτίμηται. ἢ οὐχὶ τοῖς πᾶσι καὶ πάσαις ἑκάστῳ κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ ἤτοι τῆς χρείας τῶν πιστῶν; εἰ δὲ καὶ τὰ ἐχόμενα προτείνεις, ὅτι ἧς ἐκατίσχυσαν οὐδὲ κατισχύσουσιν αἱ τοῦ ᾅδου πύλαι. τίνος ἔροιμ' ἐγώ. τῆς πίστεως, οὐ τῆς καθέδρας. τοῦτο γὰρ καὶ προηγεῖται τοῦ ἀναφορικοῦ. οὐδὲν τοίνυν ἀπόνασθε τῆς Θεοδώρου μαρτυρίας.

Νενοθευμένον ἢ καὶ πεπλασμένον * ϛʹ.

Πρὸς δὲ τὸ τοῦ Κυρίλλου * ἡμεῖς ἐν ὅλῳ τῷ θησαυρῷ, τοῦτον οὐχ εὑρίσκο-
μεν, ἐπλάκις περὶ Πέτρου ἐμπίπλει λόγος ἐκεῖσε τῷ διδασκάλῳ, ἀλλ᾽
οὐδέποτε περὶ τῆς αὐτοῦ καθέδρας ἐκτίθεται οὐδέν. ἠρωτήσαμεν καὶ ἡμᾶς. ποῦ
ἀνέγνωτε; καὶ παρὰ τῷ ἀκινάτῃ Θωμᾷ προσῆχθαι ἐν τῇ αὐτοῦ καθ᾽ ἡμῶν
πραγματείᾳ, ἀπελογήσασθε. πόθεν δ᾽ ἐκεῖνος; ὑμεῖς ἀδιστάκτως περὶ ἀ- 5
πεκρίθητε πεποιθέναι αὐτὸν, μὴ ἐπισφάλλεσθαι. εὖγε ὦ γεννάδαι τῆς ἀπερι-
έργου πίστεως; εἰς τὰ Θωμᾶ τινος δόξαν ἀναπόδεικτα, τῶν δὲ πατέρων καὶ ἀρ-
χαιοτάτων ἀποσκιρτᾶν. καὶ προσεπιπλάστοις λογίοις προσέχειν, τὰ δὲ κυ-
ριώτατα διὰ τούτων ἐν ταῖς γραφαῖς διαστρέφειν. Κἀκ τούτων τῶν σαθρῶν
μᾶλλον δὲ καὶ ἀραχνείων νοημάτων τὸν ἄνωθεν ἄρραφον τῆς Χριστοῦ ἐκκλησίας 10
ἀνυφαίνειν χιτῶνα, τὴν γύμνωσιν θεατρίζοντα μᾶλλον, ἢ τὴν τῶν ἀθεά-
των τῆς πίστεως περικάλυψιν;

Νενοθευμένον: ζʹ

Πρὸς δὲ τὸ : ζʹ : καὶ τοῦτο παρακεχαραγμένον. οὐ γὰρ πρὸς τὸν ῥωμαίων ἀρ-
χιποίμενα γράφει Βασίλειος, ἀλλὰ πᾶσι τοῖς κατὰ τὴν Ἰταλίαν καὶ Γα-
λίαν ἐπισκόποις, καὶ οὐ Βασίλειος μόνος, ἀλλὰ καὶ πρὸ αὐτοῦ, καὶ μετ᾽ 15
αὐτοῦ Μελέτιος, καὶ Εὐσέβιος καὶ οἱ λοιποί. ἡ δὲ ῥῆσις ἀπαραλλάκτως αὕτη.
περὶ τὸ τέλος τῆς ἐπιστολῆς. τῷ ὄντι γὰρ τοῦ ἀνωτάτου μακαρισμοῦ ἄξιον τὸ τῇ
ἡμετέρᾳ θεοσεβείᾳ χαρισθὲν παρὰ τοῦ Κυρίου, τὸ μὲν κίβδηλον ἀπὸ τοῦ δοκί-
μου καὶ καθαροῦ διακρίνειν, τὴν δὲ τῶν Πατέρων πίστιν ἄνευ τινὸς ὑποστολῆς κη-
ρύσσειν. ἣν καὶ ἐδεξάμεθα καὶ ἐπέγνωμεν ἐκ τῶν ἀποστολικῶν χαρακτήρων 20
μεμορφωμένην. συνθέμενοι αὐτῇ καὶ πᾶσι τοῖς ἐν τῷ συνοδικῷ γράμματι
κανονικῶς καὶ ἐνθέσμως δεδογματισμένοις. ὅρα οὖν κοινῇ ἐπιστέλλει τὰς Εὐ-
φημίας τε καὶ εὐχαριστίας, ἰδίᾳ δὲ τὴν τοῦ Πάπα ὑπογραφὴν διὰ τῶν ἀ-
ποστολικῶν χαρακτήρων ἐγνωκέναι ὁμολογεῖ. καὶ συνοδικῷ γράμματι περιέ-
θεται, ὃ καὶ ἐζήτει πολλάκις. οὐ παπικῷ μόνῳ, ὡς ταννῦν εἰς τὴν ἐκκλησίαν 25
ἀντεισηγάγετε. πῶς δὲ διέλαθεν ὑμᾶς τὰ προστεταγμένα μικρὸν τῇ ῥήσει,
ὥστε γνῶναι τίς ἡ ἀποστολικὴ καὶ καθολικὴ ἐκκλησία. φησὶ γάρ, ἐφ᾽ ἅπερ καὶ
μάλιστα τῆς παρ᾽ ὑμῶν χρήζομεν βοηθείας ὥστε τοὺς τὴν ἀποστολικὴν ὁμο-
λογοῦντας πίστιν, ἅπερ ἐπενόησαν σχίσματα διαλύσαντας, ὑποταγῆναι λοι-
πὸν τῇ αὐθεντίᾳ τῆς ἐκκλησίας, ἵνα ἄρτιον γένηται τὸ σῶμα τοῦ Χριστοῦ πᾶσι 30
τοῖς μέλεσιν εἰς ὁλοκληρίαν ἐπανελθόν. καὶ μὴ μόνον τὰ παρ᾽ ἑτέροις (τοῦ-
τέστι τοῖς δυτικοῖς) μακαρίζωμεν ἀγαθά, ὅπερ νῦν ποιοῦμεν, ἀλλὰ καὶ τὰς ἡμε-
τέρας ἡμῶν ἐκκλησίας, ἐπίδωμεν τὸ ἀρχαῖον καύχημα τῆς ὀρθοδοξίας
ἀπολαβούσας. τῷ ὄντι γὰρ μακαρισμοῦ ἄξιον. ὅρα ὅτι κοινὸν τὸν μακαρισμὸν εἰς
τοὺς δυτικοὺς ἀναφέρει, μηδὲν τηνικαῦτα μετέχοντας ἢ σχίσματος ἢ αἱρέσεως. ὃ 35
καὶ τοῦ Κυρίου χάρισμα προσαγορεύει. πλὴν ἀλλὰ καὶ ταῦτα εἰς ἐπαίνου μὲν ὑπερ-
βολὴν γεγραφέναι δοίημεν τὸν μέγαν Βασίλειον, οὐ γὰρ ἁπλῶς, μᾶλλον δὲ καὶ
ἐπιεικέστατον τοὺς ἐν ὕψει, εὐχαριστίας χάριν ὑπεραινεῖν. ἐρωτήσωμεν ὅμως τὸν
αὐτὸν κατ᾽ ἰδίαν, ἐν τῷ ἀπερικαλύπτῳ τῆς συνειδήσεως, ὁποῖον τι πλεονέκτη-
μα ἢ προτέρημα ὑπὲρ τοὺς ἄλλους τῷ Πάπα χαρίζεται, ἢ λατινικώτερον φάναι 40
τίς ἐστι, καὶ μάλιστα πρὸς τοὺς ἀνατολικούς, αὐτὸς ἑαυτῷ τὰ εἰλικρινέστατα νοοῦντα

καὶ γρά

καὶ γράφοντα, πρὸς φίλτατον καὶ σεβασμιώτατον. ἔστι δ᾽ οὗτος ὁ σεβασμιώτα-
των εὐσεβής, ὡς ὁ πολυώνυμος τῶν ἐν νικαίᾳ Πατέρων, ὁ ὁμολογητὴς καὶ
μάρτυς, ὁ ποιμὴν ἀληθής. φησὶ δὲ ῥητῶς ἐν τῇ: ϛ´: πρὸς ἐκεῖνον ἐπιστολῇ τοῦ Πάππα
οὕτω καταμεμφόμενος. ἐγὼ μὲν αὐτὸς ἀντὶ τοῦ κοινοῦ σχήματος (ἤτοι συνόδου) ,,
5 ἠβουλόμην αὐτὸν ἐπιστεῖλαι τῷ κορυφαίῳ ὅτι οὔτε ἴσασι τῶν παρ᾽ ὑμῖν τὴν ἀλή- ,,
θειαν, οὔτε τὴν ὁδὸν δι᾽ ἧς μάθοιεν καταδέχονται. καὶ ὅσα τοιοῦτος εὕρομεν αὐτοῦ ,,
(ἐν τῷ: β´: τμήματι, β´: ἐπιγραφῇ πρὸς τὸ ζ´: ἀποκρίσει) ἐν οἷς ἄξιον
ἐπιστάσεως ὅπως εὐφημεῖ τὸν Πάππαν, λέγει γὰρ αὐτὸν ὑπαινιττόμενος κορυ-
φαῖον. καὶ τίνων κορυφαῖον; αὐτῶν τῶν δυτικῶν. πολλοῦ τοίνυν καὶ δεῖ κορυ-
10 φαῖον εἶναι τῆς καθόλου ἐκκλησίας, εἰ μὴ συνεσταλμένως συνῶμεν καὶ τῇ
τάξει μόνῃ. πλείστου δ᾽ ἐνδεῖται, ἢ καὶ ἀπείρου, τὸ μοναρχεῖν τις ἀξιοῖ.

Τοιοῦτο νομίζομεν ἐκ τῆς ἀλλοκότου τε καὶ ἀλλοτρίας τῶν παλαιοτέρων καθ᾽ — Η´ Καὶ τοῦτο νενοθευμένον ☆
ἡμᾶς περιττολογίας ☆ οὐδὲν ἐστιν εὑρεῖν τοιοῦτο ἐν τοῖς μετέπειτα, οὔτε
καὶ τοῖς ἱεροῖς διδασκάλοις τοιούτοις ἐστί. κἂν τῆς φερομένης ἐνθάδε πρὸς
15 τὸν ῥώμης ἐκκλήτου, ὅτι ὡρίσθη συμφώνως ὑπὸ τῶν Πατέρων, ὕποπτον παν-
τὴ πλαστογραφίας τὸ λεγόμενον. δοκεῖ γὰρ περὶ τῶν ἐν νικαίᾳ Πατέρων διαλαμ-
βάνειν. ὃ καὶ ψευδὲς ἀπήλεγξεν ἡ ἐν καρθαγένῃ σύνοδος ὡς ἀνωτέρω εἰρήκαμεν.

Εἰς τὸ ἔννατον. τὸ τοῦ κυπριανοῦ ἀληθεύειν φαμὲν, ὀρθῶς νοούμενον. εἰ γὰρ — Θ´
καὶ ἡμεῖς οὐκ ἀνέγνωμεν οὔτ᾽ ἀναγνῶναι τὰ τοῦ ἱερομάρτυρος ἔχομεν τῆς
20 λατίνων ὄντος μάλιστα μετειδότες τε καὶ φωνῆς, ἀλλά γε δῆλος ὁ νοῦς τῶν
ῥημάτων. ὅτι ὥσπερ Χριστὸς εἷς καὶ ἐκκλησία μία, οὕτω καὶ ἐν ῥώμῃ, καὶ ἐν
ἑκάστῃ πόλει καθέδρα μία. πλὴν περὶ ὧν ῥητῶς καὶ ὁλοκλήρως οὐκ ἔστιν ἡμῖν
θεωρῆσαι, οὐ δεῖ περιεργάζεσθαι περὶ τὰς ἀποκρίσεις ἔξεισιν. εἴδαμεν τοῦτο ὅτι ὁ
κυπριανὸς τῷ ῥώμης ἀντετάσσετο κορνηλίῳ, περὶ τοῦ ἐκ τῶν αἱρετικῶν βαπ-
25 τίσματος καὶ γενναίως ἀντεπυκτίζετο, καὶ οὐδεὶς αὐτῷ ἀντέτεινε πώποτε,
τὸ ὅτι ὁ συνάγων ἔξω τῆς ῥώμης καθέδρας σκορπίζει.

Πρὸς δὲ τὸ τοῦ ἀνεκκλήτου ἐπιμαρτυρουμένου καὶ κρίνοντος τὰ οἰκεῖα ὅσος — Ι´
καὶ οἷος αὐτὸς ἀκούσεται, σὺ περὶ σεαυτοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν
ἀληθής. ἔχομεν ἡμεῖς μαρτυρίαν πολλῷ τῷ μέσῳ μείζονα ἀνεκκλήτου τὸν
30 τῆς ἐν χαλκηδόνι τετάρτης συνόδου κανόνα, εἰκοστὸν ὄγδοον. ἐκ τῶν Πατέρων
ἀπειληφέναι (εἴπατε καὶ ἐκ παραδόσεως τῶν Πατέρων) τὸν ῥώμης τὰ πρεσ-
βεῖα διὰ τὸ εἶναι αὐτὴν βασιλεύουσαν τῶν τῆς οἰκουμένης πόλεων. οὕτως ὑ-
ψώθη καὶ τὸ βυζάντιον μετὰ τὴν ῥώμην. καὶ πᾶσα πόλις ἀνακαινιζομένη διὰ
βασιλικοῦ θεσπίσματος. εἰ δ᾽ ἔχετε, οὐκ ἐκ τῶν ἀποστόλων, ὅπερ οὐδ᾽ ἔχετε,
35 ἀλλ᾽ ἀπὸ τοῦ Χριστοῦ, δείξατε ἀπὸ τῶν γραφῶν. αὐταὶ γὰρ μαρτυροῦσι περὶ
Χριστοῦ. οὔτε γὰρ αὐτὸν τὸν Πέτρον ὅπερ αὐχεῖτε τὴν διαδοχὴν, ὑπὸ
Χριστοῦ προκεχειρίσθαι δεῖξαι δυνήσεσθε, μᾶλλον δὲ τοὐναντίον, ἐλεγχόμενον
τὸν φιλοπρωτεύοντα, εἰ μὴ μόνον ἐκ τῆς τάξεως ἧς ἀναγινώσκομεν, τοῦ προ-
τάσσεσθαι Πέτρον ἔν τε τῷ ἀριθμῷ, ἔν τε ταῖς διαλέξεσι, καὶ τοῖς τοιούτοις.

40 Πρὸς τὸ ἑνδέκατον. μάξιμον Κωνσταντινουπόλεως ☆ οὐκ ἔχομεν εἰ μὴ δύο, — ΙΑ´ Νόθον ☆
τὸν μὲν ὑπὸ τὴν ἅλωσιν τῶν λατίνων, τὸν δὲ ὑπὸ τὴν τῶν ἀγαρηνῶν.

οὐδετέρῳ

οὐδετέρῳ δὲ τοιαῦτα γράφειν· τῆς ἔριδος ἤδη ἀκμαζούσης, ἐπέοικεν. εἰ μή-
πω φαίητε μαξιμιανὸν τὸν μετὰ Νεστόριον. οὐ ἐπιστολὰς ἔχομεν ἐν τῇ τρίτῃ
συνόδῳ. ἀλλ' οὐδὲν ἐν αὐταῖς τοιοῦτο. ἔτι δὲ μᾶλλον οὐδενὸς Πατριάρχου ἢ
διδασκάλου τοιαύτην εὕρομεν ἐπιστολήν. ὥστε καὶ τοῦτο τὸ κεφάλαιον κεῖσθαι ἐν
ψευδογράφοις. 5

ΙΒ΄ Πρὸς τὸ δωδέκατον. ἐπιστολὴ πασχασίνου κατὰ τὸ τέλος τῆς συνόδου οὐκ ἔ-
στιν, ἀλλ' ἢ τῆς συνόδου, ἢ μᾶλλον εἰπεῖν ἀνατολίου, ὀνόματι τῆς συνό-
δου πρὸς τὸν Μακαριώτατον Πάπαν Λέοντα, τοιοῦτον δ' ὁποῖον εἰσάγετε οὐδὲν
* τυγχάνει * πλὴν ἡ ψῆφος κατὰ διοσκόρου περὶ τὸ τέλος τῆς Δευτέρας πρά-
ξεως ἐκ στόματος πασχασίνου καὶ Λουκησίου καὶ Βονιφατίου τῶν ληγάτων, οὕτως 10
ἐμφέρεται. ὅθεν ὁ ἁγιώτατος καὶ Μακαριώτατος ἀρχιεπίσκοπος τῆς με-
γάλης καὶ πρεσβυτέρας ῥώμης Λέων δι' ἡμῶν μετὰ τῆς παρούσης συνόδου· μετὰ
τοῦ τρισμακαρίστου καὶ πανευφήμου Πέτρου τοῦ ἀποστόλου. ὅς ἐστι πέτρα καὶ κρη-
πὶς τῆς καθολικῆς ἐκκλησίας καὶ τῆς ὀρθοδόξου πίστεως ὁ θεμέλιος, τῆς τοῦ
ἐπισκόπου καὶ πάσης ἱερατικῆς ἠλλοτρίωσεν ἀξίας. ταῦτα τὰ πασχασίνου ἐν 15
τῇ ψήφῳ τῇ κατὰ διοσκόρου ῥήματα. πόθεν ἐνέπειρες σὺ τῷ Λέοντος ὀνόμα-
τι, τὸ κεφαλὴ τῆς καθόλου ἐκκλησίας. καὶ τῇ τοῦ Πέτρου κεκοσμημένος ἀ-
ξίᾳ· πόθεν κἀπὶ τῷ Πέτρῳ τὸ θυρωρὸς τῆς Βασιλείας τῶν οὐρανῶν· εἰ δὲ
καὶ ἐν τῇ συνοδικῇ ἐπιστολῇ φέρεται εἰς εὐφημίαν τῷ Λέοντι τὸ Πατὴρ καὶ
κεφαλὴ, ἐν τοῖς ἑξῆς ἀποκρινούμεθα κατὰ τὴν ἐπιοῦσαν τρίτην ἀπόδειξιν. ἐν τῇ 20
πρὸς τὸ πέμπτον ἀποκρίσει, καὶ ἐν τῇ δωδεκάτῃ τοῦ πέμπτου τμήματος.
τὰ νῦν ἀρκεῖται ὅτι κεφαλὴν ἁπλῶς λέγουσιν οὐ τῆς καθόλου ἐκκλησίας ὡς
ὑμεῖς κιβδηλεύετε.

ΙΓ΄ Πρὸς τὸ δέκατον τρίτον. τοῦ σοῦ μαρκέλλου Πάπα, περιττὸν ἀνκριθείη ἀ-
πολογίαν ποιεῖσθαι. περὶ τοῦ αὐτοῦ τούτου ἀποκρινομένου ἐκείνου. καὶ δικάζειν 25
μὴ ἔχοντος. ἐλέγχειν ὅμως τὸν μάτην κρίναντα ἐπὶ τοῦ παρόντος ἔξεστι πα-
ρεισαχθέντα. τὸν Πέτρον φησὶ κεφαλὴν τῆς καθόλου ἐκκλησίας· μῶν ἀ-
ληθῆ μαρκέλλου ταῦτα ἢ τινὸς ἴσως ψευδομαρκέλλου, ὑποθώμεθα. ὑμῖν
τὰ τοιαῦτα παρενοχλεῖ μὲν οὐδέν. διδασκάλων τῆς ἐκκλησίας ἐκκρίτων
ζητοῦμεν ψήφους. ἀνθ' ἑνὸς τούτων Πάπας ἑκατὸν θεσπίζοντας καθ' αὐτοὺς 30
καὶ ὑπὲρ ἑαυτῶν οὐκ ἀποδεχόμεθα. ἐροῦμεν ὅμως τὸ κἀπὶ τῇ: β΄: ἄνω
χρήσει τοῦ χρυσοστόμου. κεφαλὴν μόνον ἡμεῖς τὸν χριστὸν τοῦ τῆς ἐκκλησίας σώμα-
τος λέγειν ἀποστολικῇ φωνῇ διδασκόμεθα. ἐν δὲ τοῖς ἀποστολικοῖς κανόσι τῷ
: λδ΄: λέγονται οἱ τῶν ἐθνῶν ἐπίσκοποι καὶ Μητροπολῖται κεφαλαὶ, ἤτοι ἀρ-
χηγοὶ τῶν τοῦ ἔθνους ἐκκλησιῶν καὶ συνόδων καὶ διοικήσεων. τῆς καθόλου δ' ἐκκλη- 35
σίας οὐδείς. πλὴν δῶμεν τὸν Πέτρον κεφαλὴν λέγεσθαι ἀλλ' οὐ κυρίως. τρο-
πικῶς δὲ, ἤτοι πρῶτον τῇ τάξει τῶν ἀποστόλων ἢ παλαίτερον. ἔτι οὐ μόνον, ἀλλ'
ὡς ἔοικε κατὰ τοὺς λοιποὺς ἀποστόλους. εἰ δὲ κεφαλὴν διισχυρίζῃ πάντως τὸν πέτρον,
οὐ πείσεις με συλλογισμῷ τῷ τοῦ μαρκέλλου. ἔφη τῷ ἀποστόλῳ ὁ Κύριος, σὺ εἶ Πέ-
τρος. ἄρα Πέτρος ἐστὶ κεφαλή. πῶς συμπεραίνεις ἀλόγιστε τὰ ἀσυνάρτητα, ἐκ 40
τῆς ὁμολογίας· ἐκ τοῦ μακαρισμοῦ· ἐκ τῆς ἐπαγγελίας· ἐκ τίνος· κοινὰ πάν-
τα τῶν

τὰ τῶν ἀποστόλων, τὰ μὴ προσωπικά, ὡς ἐδείξαμεν, πῶς οὖν ὁ Πέτρος μόνος
κεφαλή; ἀλλ' οὐ γὰρ Πέτρος, οὐδ' ἄλλος τις, εἰ μὴ ὁ Χριστός, περὶ οὗ γέ-
γραπται, καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὁ θεὸς ὑπὲρ πάντα. θεμέλιον οὐδεὶς ἄλλον
δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. διαγνῶμεν καὶ τὰ
5 ἑξῆς πόθεν ὑποβέβηκεν ἡ ἐν ἀντιοχείᾳ καθέδρα τῆς ῥώμης προστάσσοντος,
φησὶ μάρκελλος, τοῦ Κυρίου. πρόφερε τὸ πρόσταγμα. ἐκ τῶν γραφῶν; ἀλλ'
οὐκ ἔχεις. ἐκ διδασκάλων ἐκκρίτων; οὐδαμῶς. τοιγαροῦν ἐκ τῆς φιλαυ-
τίας τῆς σῆς, καὶ τὰ τοῦ Κυρίου διαπλάττεις προστάγματα. ἐροῦμεν ὅθεν
προτέτακται ὁ ῥώμης θρόνος ἡ τετάρτη σύνοδος ἐν τῷ εἰκοστῷ ὀγδόῳ κανόνι,
10 διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην. ὥστε εἰ καὶ μὴ Πέτρος προήδρευσεν,
ἀλλ' ὁ καὶ πρὸ Πέτρου Βαρνάβας ἐποίησεν, εἴπερ αὖ καὶ ἐνέμεινεν, ὅμως ἡ
ῥώμη τὰ πρεσβεῖα καὶ πάλιν ἂν ἐκομίζετο. οὕτω καὶ οἱ λοιποὶ θρόνοι. καὶ ὁ Ἀ-
λεξανδρείας ἐν πρώτοις ὑπὸ τοῦ μαθητοῦ τῶν ἀποστόλων καθιδρυμένος, τοὺς
τῶν ἀποστόλων θρόνους ὑπερηκόντισε. μὴ γὰρ διὰ Μάρκον ὁ θρόνος. οὐ μὲν οὖν,
15 ἀλλὰ διὰ τὴν πίστιν, διὰ Χριστόν. τὸ δὲ τοιοῦτον θρόνον εἶναι τῇ τάξει οὐ δι' ἀπο-
στόλον ἔχει, ἀλλὰ διὰ τὸ εἶναι τὴν πόλιν Ἀλεξάνδρειαν. ἔπειτα μεγαλαυχῶν
ὅσος μάρκελλος. οὐδείς ἐστι θρόνος ὁ τῇ τῆς ῥώμης ἐξουσίᾳ μὴ ὑποκείμενος.
εἰς ἓν ὡς εἰς κεφαλὴν (κατὰ τὰ τῶν ἀποστόλων, καὶ τῶν αὐτῶν διαδόχων θεσπί-
σματα)* προσφεύγειν πάντες οἱ ἐπίσκοποι ὀφείλουσι. ποῖα ταῦτα τῶν ἀπο-
20 στόλων θεσπίσματα. εἰ μὲν ὁ ἄνωθεν τριακοστὸς τέταρτος κανών, τοιγαροῦν,
οὐ τῆς καθόλου ἐκκλησίας κεφαλὴ ὁ ῥώμης θρόνος. ἀλλά τινος ἔθνους, ἢ
ἐθνῶν. εἰ δὲ τῆς καθόλου ἐκκλησίας, δεῖξατε κανόνα τῶν ἀποστόλων τοῦτο
διαγορεύοντα. ἢ τῶν διαδόχων πληρεστάτης ἐξουσίας αὐτῶν, αὐτῶν φημὶ
τῶν οἰκουμενικῶν συνόδων. παρὰ γὰρ Παπῶν διὰ τὰς ἄνω αἰτίας, οὐδὲν
25 παραδέχομαι. ἢ ἐκ πιθανολογίας οἱασουῦτινος δεῖξον, ὅτι πάντες οἱ θρόνοι
τῷ ῥώμης ὑπόκεινται. ὅπερ ἴσως καὶ παρασείσεις δι' ὧν ἐπισφραγίζει. ἐκεῖθεν
γὰρ ἔλαβον τὴν διδασκαλίαν καὶ τὴν χειροτονίαν. εἰ μὲν περὶ τῶν δυτικῶν ὁ λόγος,
ἔοικεν. ἐκ γὰρ ῥώμης εἰς δύσιν μετοχετευθεῖσαν συγχωροίημεν καὶ τὴν διδασκα-
λίαν, καὶ ὡς τὰ πολλὰ τὴν χειροτονίαν. εἰ δὲ τὰ τῆς ἀνατολῆς πῶς οὐκ ἄντικρυς
30 ψεῦδος. ὁπότε καὶ προφητικῶς προαπήγγελτο ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ
λόγος ἐξ Ἱερουσαλήμ. ὅθεν εἰς τὰ ἡμέτερα πρῶτον ἐξήπλωται πλῆρες τὸ κήρυ-
γμα, καὶ τὰ τῆς χάριτος ἅπαντα, καὶ ἐξ ἡμῶν εἰς ὑμᾶς. αἱ μὲν διδασκαλίαι μετὰ
τοὺς ἀποστόλους, ἀναμεταξὺ τῶν θρόνων, ἀμοιβαῖαι. αἱ δὲ χειροτονίαι ἀνὰ μέρος
ἕκασται. ἅπαξ εὑρεῖν ἐστὶ ῥωμαῖον ἀρχιερέα διὰ τὴν τῆς παροικίας τιμὴν ἐν Κων-
35 σταντινουπόλει χειροτονήσαντα μηνᾶν, τὸν Πάπαν Ἀγαπητόν. ὅπερ κἂν ταῖς οἰκου-
μενικαῖς συνόδοις εὕροιμεν φίλον, ὡς Μαξιμιανὸν ἀντὶ Νεστορίου ἐν τῇ : γ' :
Φλαβιανὸν ἀντὶ Μελετίου Ἀντιοχείας ἐν τῇ : β' : Ἀνατόλιον ἀντὶ Φλαβιανοῦ
Κωνσταντινουπόλεως, καὶ Μάξιμον Ἀντιοχείας ἀντὶ Δόμνου, κατὰ τὴν ἐν Ἐφέσῳ
λῃστρικὴν ὑπὸ Διοσκόρου. εὐλόγιον Ἀλεξανδρείας ἀντὶ Διοσκόρου κατὰ τὴν τε-
40 τάρτην. Νεκτάριον ἀντὶ Γρηγορίου θεολόγου κατὰ τὴν : β' : Θεοφάνην ἀντὶ
Μακαρίου Ἀντιοχείας κατὰ τὴν ἕκτην. τοσοῦτον δ' ἀπέχει ἀληθείας ὁ μαρκέλλου
λόγος.

Ἐφεσ: α'. Καὶ Α': Κορινθ: γ'.

* οὐχ εὕρηνται τὰ τοιαῦτα.

λόγος, ὅσον οὐ μόνον τῶν ῥωμαϊκῶν ἐθῶν, καὶ διδαγμάτων, καὶ παραδό-
σεων διαφέρουσι τοῦ ῥωμαϊκοῦ οἱ ἄλλοι θρόνοι, ἀλλ' ἔτι καὶ διαφέρονται πρὸς
ἐκεῖνον ὅτι μάλιστα, ὅθεν συνέβη καὶ τὴν χρονίαν ἐντεῦθεν προκύψαι τὴν
ἀπ' ἐκείνου διάστασιν. ἢ τίνων περὶ τῶν ὑπ' αὐτὸν διαλαμβάνει μάρκελλος
δυτικῶν ἢ πάντως ἀπατᾶται. ἢ ψευδομάρκελλον ὑμεῖς ὡς ἔθος παρεσήσατε. 5

ΙΔ' ΙΕ'

Τὰ τοῦ αὐγουστίνου δῆλα πεποιήκαμεν. διὸ πρὸς τὸ δέκατον πέμπτον τοῦ ἱεροῦ
ἱερωνύμου μεταβῶμεν. διαφερομένων τριῶν ἐν ἀντιοχείᾳ ἐπισκόπων, με-
λετίου, παυλίνου, καὶ οὐϊταλίου. ζητεῖ παρὰ δαμάσου τοῦ ῥώμης, τίνος ἂν
ἔχηται τῆς κοινωνίας. θαυμαστὸν οὐδὲν λατῖνον λατίνῳ βουλεύεσθαι. οὐχ οὕτω
διεπράξατο ἐπιφάνιος ὁ θεόσοφος. ὃς καθ' ἑαυτὸν καὶ τὰ παυλίνου ἀνέταξε, 10
καὶ τὰ οὐϊταλίου. καὶ τοῦ μὲν ἀπεχόμενος (ὃν αὐτῷ φὴς προσφιλέστατον) οὐ προσ-
ίετο, ἄχρις εἰλικρινοῦς ὁμολογίας. τὸν δὲ οὐϊτάλιον τὰ λοιπὰ θαυμάζων,
τὰ τοῦ ἀπολιναρίου μετὰ φιλαδελφίας κατηγορεῖ. αἱρέσει: νζ': ἤ: οζ': τῶν δι-
μοιριτῶν. ἀλλὰ σὺ τί δικάζεις παυλίνῳ. ἢ τί ψηφίζῃ δάμασος οὐϊτα-
λίῳ; παυλῖνον μὲν δικαιοῦτε, οὐϊταλίου καταγινώσκετε. ἀλλὰ Βασίλειος 15
παυλῖνον καταμέμφεται, οὐϊτάλιον ὁ θεολόγος Γρηγόριος ἀποδέχεται, καὶ
τῆς δαμάσου ἁπλότητος, ὡς ἀπατηθέντος θαυμάζει. τί συμπεραίνεις οὖν ἐκ
τῆς μακρολογίας καὶ τεχνολογίας ἱερωνύμου, εἰ μὴ ὅτι ἐκζητῶν τὸ ὀρθὸν
μετ' ἀγωνίας, ἐνέπεσε φιλοτιμούμενος τῷ στρεβλῷ. καὶ μελέτιον μὲν ψευ-
δόμενον ἀποφαίνων μετὰ οὐϊταλίου, ὑπὸ τῆς: β': συνόδου ἐξελέγχεται. ἥτις 20
μελέτιον ἐν τοῖς τῶν Πατέρων κορυφαίοις ἐνέταξεν, ὡς νόμιμόν τε καὶ γνή-
σιον, καὶ μετὰ θάνατον ἐν τῇ χορείᾳ τῶν πρωτοτόκων συναπηρίθμησε. καὶ χρυ-
σόστομος ἐγκωμίοις ἔστεψε. καὶ Βασίλειος ὁ μέγας ὡς μέγαν ἐν ταῖς ἐπι-
στολαῖς κατεκόσμησε. καὶ μάλιστα ἐν οἷς πρὸς τὸν μέγαν Ἀθανάσιον ἐπιστέ-
λλει, τὸ τέταρτον. οὗ ἡ ἀρχή. ἐμοὶ μὲν ἐξαρκοῦν ἐφάνη. ὅσα περὶ μελε- 25

Βασίλειος

τίου, καὶ τῶν ἀπ' αὐτοῦ ἀποσχιζόντων παυλίνου καὶ οὐϊταλίου τοιάδε ψηφίζει.
" ἀναγκαίως ἐπισημαινόμεθα, ὅτι καὶ πάσῃ τῇ ἀνατολῇ δι' εὐχῆς, καὶ ἡμῖν τοῖς
" παντοίως αὐτῷ συνημμένοις ἐπιθυμητόν, αὐτὸν ἰδεῖν, τὴν ἐκκλησίαν διέποντα
" τοῦ Κυρίου, τῇ τε πίστει ἀνεπίληπτον ὄντα, καὶ τῷ βίῳ οὐδὲ μίαν πρὸς τοὺς ἄ-
" λλους ἐπιδεχόμενον σύγκρισιν. καὶ τῷ τοῦ παντὸς ὡς εἰπεῖν τῆς ἐκκλησίας αὐ- 30
" τὸν προεστάναι. οἱ δὲ λοιποὶ οἷον ἀποτμήματα μερῶν. ὥστε ἀναγκαῖον τε
" ὁμοῦ καὶ συμφέρον, πανταχόθεν τῷ ἀνδρὶ τούτῳ συναφθῆναι τοὺς ἄλλους.
" ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν τοὺς ἐλάττους. πάντως δὲ οὐκ ἔλαθέ σου
" τὴν ἀνυπέρβλητον φρόνησιν, ὅτι ἤδη καὶ τοῖς ὁμοψύχοις τοῖς κατὰ δύσιν τὰ αὐ-
" τὰ συνήρεσε. περὶ δὲ τοὺς ἄλλους χρειώδης τινὰ οἰκονομίαν, τὴν κἀκείνους πεί- 35
" θουσαν, καὶ τὸν λαὸν εἰρηνεύουσαν. καὶ τῇ σῇ συνέσει ἐπιβάλλουσαν. ἄκουσον
δὴ καὶ τὰς μαρτυρίας τῶν κατὰ πνεῦμα καὶ φιλαλήθειαν ἀδελφῶν διδασκάλων
(Βασιλείου φημὶ καὶ Γρηγορίου) ὁ μὲν γὰρ Βασίλειος ἐπιστολῇ πρὸς δυτι-
" κούς, περὶ τὸ τέλος, (ἧς ἡ ἀρχή, Κύριος ὁ θεὸς ἡμῶν) ὁ μέν τοι (φησὶ)
" Παυλῖνος, εἰ μέν τοι περὶ τὴν χειροτονίαν ἐπιλήψιμον ἔχει, αὐτοὶ ἂν εἴποι- 40
" τε. ἡμᾶς δὲ λυπεῖ τοῖς μαρκέλλου πεποιθὼς δόγμασι. καὶ τοὺς ἀκολου-

θοῦντας

θοῦντας αὐτῷ ἀδιακρίτως εἰς κοινωνίαν προϊέμενος. Γρηγόριος δὲ πρὸς κληδόνιον.
ἐπειδὴ τοίνυν αἱ αὐταὶ φωναὶ, καλῶς μὲν νοούμεναι μετὰ τῆς εὐσεβείας εἰσὶ, κα- » Θεολόγ:
κῶς δὲ ἐξηγούμεναι τὸ δυσσεβὲς ἔχουσι, τί θαυμαστὸν, εἰ καὶ τοὺς οὐϊταλίου λόγους, ἡ- »
μεῖς μὲν ἐπὶ τὸ εὐσεβέστερον ἐδεξάμεθα, οὕτω καὶ θέλειν πείθοντος. ἄλλοι δὲ πρὸς τὸν »
5 τῶν γεγραμμένων νοῦν ἀγελαίνουσιν. ὅμοι δοκεῖ καὶ δάμασος αὐτός μεταδιδα- »
χθεὶς, καὶ ἅμα πυθόμενος ἐπὶ τῶν προτέρων μένειν αὐτοὺς ἐξηγήσεων, ἀποκηρύκτους »
αὐτοὺς πεποιηκὼς, καὶ τὸ γραμματεῖον ἀνατετραφέναι τῆς πίστεως σὺν ἀναθεμα- »
τισμῷ, καὶ πρὸς αὐτὴν τὴν ἀπάτην αὐτοῦ δυσχεράνας, ἣν ἔπαθεν ἐξ ἁπλότητος. »
ὁρᾶ μοι τὸν μέγαν ἢ καὶ μέγιστον καθ' ὑμᾶς, κράτιστόν τε τῆς ῥώμης ὑπὸ τοῦ ὄν-
10 τως μεγάλου ἐπιλαμβανόμενον, ὃ βλάσφημον ἂν τανῦν παρ' ὑμῖν νομι-
σθείη. ὁρᾶ καὶ τὸ δ᾽ ὅθεν ὁποίῳ χρησμῷ θαῤῥεῖν ἱερώνυμος ἐπαγγέλλεται. ὃς
ἐξ ἁπλότητος ἠπατήθη. ὅπως δὲ προσφιλέστατος ἦν τῷ ἐπιφανίῳ ὁ Παυλῖνος
ἐξ ἐκείνου ἂν καταμάθοις, ὅτι τῆς αὐτοῦ κοινωνίας ἐχωρίζετο, μέχρις οὗ
ἐπισώθη διὰ τῆς ἀθανασίου τοῦ μεγάλου δεδομένης ὁμολογίας. ἀλλ' ὡς ὁμο-
15 λόγει δολίως ὁ Παυλῖνος σαφῶς ἐξελέγχει φωράσας ὁ μέγας Βασίλειος. ἓν
ὑμᾶς ἐκ τῶν Ἱερωνύμου πρὸς δάμασον ἐγκωμίων εἰς πάντας τοὺς μετ' αὐ-
τὸν μετοχετεύειν διέλαθε, τὸ εὐκτικῶς ἐκείνῳ εἰρημένον, ἀποφαντικῶς ὑμᾶς
ἀγορεύειν, ὥστε τοὺς ἕνδεκα ἀποστόλους καθελόντας τῶν ἐπὶ τῆς μελλούσης
κρίσεως θρόνων, ἐγκαθίσαι τούτοις τοὺς διαδόχους τοῦ πέτρου συνδικάσοντας
20 τῷ Χριστῷ. ἐπεὶ (ὡς ἐν τμήματι πέμπτῳ κατ' ἀρχὴν εἰρήκατε) ὑπὸ τὸν
πέτρον οἱ ἀπόστολοι, καὶ κατὰ πέτρον οἱ Πάπαι.

ἈΠΌΔΕΙΞΙΣ Γ´

Ἰωάννου ἐσχάτῳ. Σίμων Ἰωνᾶ φιλεῖς με; βόσκε τὰ ἀρνία μου, ποίμαινε
τὰ πρόβατά μου. βόσκε τὰ πρόβατά μου.

25. Καθάπερ ἐν τῇ προλαβούσῃ, οὕτω κἀν τῇ προκειμένῃ δείξει προὔπτως ῥώσωμεν
τοὺς λόγους σου, κἄπειτα ὡς εἰς βεβαίωσιν τὰς μαρτυρίας. ἀποσκοποῦν-
τες νῦν εἰς τὸ, ὅτι ἡ λατινὶς ἐκκλησία οὐ δύναται περὶ τὴν πίστιν ἐξαμαρ-
0 τάνειν, οὕτως ἐκ τῆς ῥήσεως τοῦ εὐαγγελίου ἐπιχειρεῖς, εἰ τῷ πέτρῳ ἐγχειρί-
ζονται τὰ τοῦ Χριστοῦ πρόβατα πάντα, εἰς τὸ ποιμαίνεσθαι ὑπ' αὐτοῦ ἀληθείᾳ
30 πίστεως, ἀλλὰ μὴν τὰ πέτρῳ ἐγχειριζόμενα, καὶ τοῖς πέτρου διαδόχοις ἐγ-
χειρίζονται. ἄρα πάντα τὰ Χριστοῦ πρόβατα, καὶ τοῖς πέτρου διαδόχοις ἐγ-
χειρίζονται, εἰς τὸ ποιμαίνεσθαι κατὰ τὴν πίστιν. ἄρα τὰ ὑπὸ τῶν πέτρου διαδό-
χων διδασκαλίᾳ πίστεως ποιμαινόμενα πρόβατα, καὶ Χριστοῦ εἰσὶ πρόβατα.
ἀλλὰ μὴν ἕως ὅτου Χριστοῦ εἰσὶ πρόβατα, κατὰ πίστιν ἐξαμαρτάνειν οὐ δύναν-
35 ται, ἄρα τὰ ὑπὸ τῶν πέτρου διαδόχων κατὰ τὴν τῆς διδασκαλίας πίστιν ποιμαινό-
μενα πρόβατα, ἕως ὅτου τοιαῦτά εἰσι, κατὰ τὴν πίστιν ἐξαμαρτεῖν οὐ δύνανται.
ἀλλὰ μὴν ἡ λατινὶς ἐκκλησία, καὶ πρὸ τοῦ χωρισμοῦ, καὶ μετὰ τὸν χωρισμὸν ὑπὸ τῶν
πέτρου διαδόχων ποιμαίνεται. ἄρα ἡ λατινὶς, ἕως ὅτου ὑπόκειται τούτοις, καὶ
πρὸ τοῦ χωρισμοῦ, καὶ μετὰ τὸν χωρισμὸν, περὶ πίστιν ἐξαμαρτεῖν οὔτε ἠδύνα-
40 το, οὔτε δύναται.

ἈΝΤΙΡΡΗΣΙΣ

α'.

Ἀπαντῶμεν διαλεκτικῶς τοῖς προτεινομένοις σοι πρὸς τὸ συμπέρα-
σμα, διαιροῦντες τὴν μείζονα· μόνῳ τῷ Πέτρῳ ἐγχειρίζονται τὰ
τοῦ Χριστοῦ πρόβατα πάντα, ἀποφάσκομεν. αὐτῷ δὲ καὶ τοῖς ἀποστό-
λοις πᾶσιν ἐπίσης, ὁμολογοῦμεν. ὁμοίως πρὸς τὴν ἐλάσσονα. μόνοις τοῖς
διαδόχοις Πέτρου, καὶ ἐπίσης τῷ Πέτρῳ, ἤτοι ἁπανταχοῦ καὶ ἀπεριορίστως καὶ
πάντα, ἀποφάσκομεν. αὐτοῖς δὲ καὶ πᾶσι τοῖς μετὰ τοὺς ἄλλους ἀποστόλους, κατὰ
χώραν δὲ καὶ περιωρισμένως, ὁμολογοῦμεν. τὸ δὲ συμπέρασμα ὃ ἦν, ἄρα
πάντα τὰ τοῦ Χριστοῦ πρόβατα καὶ τοῖς Πέτρου διαδόχοις ἐγχειρίζονται, ἀπο-
σκορακίζομεν· ἔνεστι δὲ καὶ ἀντιστρέψαι τῷ βουλομένῳ, καὶ τοῖς ἄλλοις ἐ-
φαρμόσαι θρόνοις, καὶ ὁμοίως συμπερᾶναι, ὅπερ οὐδεὶς ἀποδέξεται. τὸ ἐπι-
συναγόμενον ἀλλοιοῦται τοῖς ὅροις καὶ διαιροῦμεν. ἂν μὲν ἀληθείᾳ πίστεως ποι-
μαίνονται, πρόβατα Χριστοῦ ὁμολογοῦμεν, τὰ ὑπὸ τῶν Ῥώμης ἐπισκόπων
ποιμαινόμενα, ἄλλως γε δ' οὔ· οὕτω παραπλησίως καὶ εἰς τὰ λοιπὰ ἐπαγόμε-
να, ἀλλὰ μὴν ἕως ὅτου Χριστοῦ εἰσι πρόβατα, κατὰ πίστιν ἐξαμαρτεῖν οὐ δύ-
νανται. διαιροῦμεν. τὰ πίστεως ἀληθείᾳ ποιμαινόμενα, καὶ ἀκούοντα τὴν φω-
νὴν τοῦ καλοῦ ποιμένος, ὁμολογοῦμεν. μὴ ἀκούοντα τὴν φωνήν, ἢ μὴ ἀλη-
θείᾳ πίστεως ποιμαινόμενα ἀρνούμεθα. τὴν ἀκολουθίαν ἁπλῶς ἀποφάσκο-
μεν, ἥτις ἦν, ἄρα τὰ ὑπὸ τοῦ Πάπα ποιμαινόμενα, ἐξαμαρτεῖν κατὰ πίστιν
οὐ δύνανται. συμβαίνει γὰρ αὐτοῖς, ἢ μὴ ἀληθείᾳ πίστεως ποιμαίνεσθαι, ἢ μὴ ἀ-
κούειν τῆς φωνῆς τοῦ καλοῦ καὶ ἀληθοῦς ποιμένος αὐτά τε καὶ τὸν αὐτῶν ποιμέ-
να. εἶτα προβαίνει τὸ ἐπιχείρημα εἰς τὸ τελευταῖον συμπέρασμα οὕτως·
ἀλλὰ μὴν ἡ Λατινὶς ἐκκλησία, καὶ πρὸ τοῦ χωρισμοῦ καὶ μετὰ τὸν χωρισμὸν
ποιμαίνεται ὑπὸ τῶν διαδόχων Πέτρου διδασκαλίᾳ πίστεως. ὤφειλες λέγειν,
ἀληθείᾳ πίστεως, κατὰ τὴν πρώτην πρότασιν, καὶ συγχωρήσαιμεν ἂν τὴν ἀκολου-
θίαν τοῦ συμπεράσματος, εἰ καὶ ψεῦδος τὸ προηγούμενον. νῦν δὲ μεταμεί-
ψαντός σου τοὺς ὅρους καὶ τὴν ἀλήθειαν περιελόντος σου τῷ ὅρῳ τῆς προηγου-
μένης προτάσεως ἐξ ἀνάγκης ψευδὲς καὶ τὸ συμπέρασμα· ὅτι μὲν γὰρ ποι-
μαίνεται διδασκαλίᾳ πίστεως ὑπὸ τοῦ Πάπα ἡ Λατινίς, πάνυ μὲν ἀληθές.
ὅτι δέ, οὐκ ἀληθείᾳ πίστεως δῆλον, ἐξ ὧν ἀλλήλων διαφερόμεθα. καὶ γὰρ ἐκ
τῶν πατέρων αὐτὴν ἀνιχνεύειν ὀφείλομεν, κατὰ τὸν μέγαν Ἀθανάσιον, εἰς
τὸ πάντα μοι παρεδόθη. ἀληθὴς φησὶ διδασκαλία ἐστὶν ἥτις τῶν πατέρων
οὐδὲν διαφέρει. εἰ τοιαύτην οὖν διδασκαλίαν ὁ Πέτρου διάδοχος διδάσκει, τί-
νος ἕνεκεν οὐχ ἕστηκε τῇ παραδόσει τῶν πατέρων, καὶ τῶν ἁγίων συνόδων τοῖς ὅ-
ροις, ἀλλ' ἀδεῶς καινοτομῶν, τὰ μὲν τῇ ὁμολογίᾳ προστίθησι, τὰ δὲ ἐκ τῶν
ἀνέκαθεν ἐθίμων τε καὶ νομίμων ἀφαιρεῖται, καὶ κατὰ τὸ δοκοῦν μετατρέπει,
ἢ μᾶλλον περιτρέπει; ἄλλο τοιγαροῦν ἀλήθεια πίστεως, καὶ ἄλλο διδασκαλία πί-
στεως, τὸ μὲν γὰρ ψεύδους ἀνεπίδεκτον. τὸ δὲ καὶ πλάνῃ ὑπόκειται. καὶ πάλιν
ἄλλο πίστις ἁπλῶς λεγόμενον, τοῦτο δὲ καὶ πρὸς ὀρθὸν καὶ σκολιόν ἐστιν ἀμφί-
βολον φρόνημα. τίνος ἕνεκεν ὦ 'γαθὲ διαλεκτικὴν ἐπαγγελλόμενος, ἀπο-

πηδᾷς

πηδᾶς τῶν ὁρίων. καὶ μέλλων πείθειν ἡμᾶς τὴν ἀλήθειαν, κατασοφίζεσθαι
μᾶλλον πειρώμενος; μὴ γὰρ καὶ κατασυκοφαντεῖν λανθάνεις ἡμᾶς μηχανώμενος;
οὐκ ἀκούεις τοῦ ἀποστόλου, ὅτι ὁ λόγος τῆς πίστεως οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σο-
φίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος. καὶ ὅτι οὐ σεσοφισμένοις
5. μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν τὴν τοῦ Κυρίου δύναμιν καὶ παρουσίαν.
καὶ πάλιν αὐτόθι ὁ ἀπόστολος. οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις,
ἀλλ' ἐν διδακτοῖς πνεύματος ἁγίου πνευματικοῖς πνευματικὰ συγκρίνοντες.
τίς ἡ ἀπόδειξις τοῦ πνεύματος; εἰμὴ αἱ θεῖαι γραφαί. τίνες οἱ διδακτοὶ θεοῦ;
εἰμὴ τῶν διδασκάλων οἱ θεόσοφοι, ἵνα τὰ πνευματικὰ τοῖς πνευματικοῖς συγκ-
10 ρινόμενα; εἰ μὴ τὰ ἀπαθῶς, καὶ διὰ λόγου ἐπινοούμενα, καὶ τῇ τοῦ πνεύματος
ἀποκαλύψει συμβαίνοντα.

Ἴδωμεν οὖν καὶ τοῦ: β΄, ἐκ τῶν προκειμένων Πατέρων τοῦ ὑμετέρου λόγου τὴν   Β΄
ἀσφάλειαν, ὅτι οὐ μόνος ὁ Πέτρος, ἀλλὰ καὶ πάντες οἱ ἀπόστολοι, ὁμοίως
τὴν τοῦ Χριστοῦ καθόλου ποίμνην, ὅσον ἠδύναντο, πανταχοῦ τῆς οἰκουμένης ἐνε-
15 χειρίσθησαν. ὁ θεῖος ἐν πρώτοις χρυσόστομος ἐσχάτῃ ὁμιλίᾳ εἰς τὸ ἔσχα-
τον Ἰωάννου περὶ πέτρου καὶ Ἰωάννου φησίν. ἐπειδὴ ἔμελλον τὴν ἐπιτροπὴν τῆς   Χρυσός:
οἰκουμένης ἀναδέξασθαι, οὐκ ἔδει συμπεπλέχθαι λοιπὸν ἀλλήλοις. τὸ αὐτὸ
καὶ περὶ Παύλου πολλάκις ἐκτίθεται, καὶ τῶν λοιπῶν ἀποστόλων. εἰ τοίνυν Ἰω-
άννην ὁμοίως τῷ πέτρῳ τὴν οἰκουμένην ὁ χρυσοῦς ἐν ταῦθα διδάσκαλος ἐπιτρα-
20 πέντα διδάσκει, τί τὸ διάφορον τούτου καὶ τῶν ἄλλων; ὥστε καὶ περὶ τῶν λοιπῶν
τοῦτ' αὐτὸ μὴ ὑπολη‹π›τέον εἶναι; ἔχεις κατωτέρω πρὸς τῷ τρίτον τὸ ἀπὸ τοῦ
χρυσοστόμου ἐπιχείρημα, καὶ μαρτυρίας ἄλλας, ἱερωνύμου, ἀμβροσίου τε καὶ
κυπριανοῦ. τανῦν δὲ ἄξιον ἐκεῖνο θεωρίας. τί δήποτε πέτρῳ λέγει ῥητῶς,
ποιμαίνειν τὰ πρόβατα, τὸ καὶ πρὸς τοὺς λοιποὺς ἀνάγκῃ συνυπακουόμενον;
25 λάβε καὶ τὰ τῆς ἐρωτήσεως ἅμα, καὶ τὰ τῆς ἀποκρίσεως παρὰ Κυρίλλου ἐκτε-   Κυρίλλ:
θειμένα, εἰς τὸ εἰκοστὸν πρῶτον Ἰωάννου κεφάλαιον. τίνος φησὶν ἕνεκεν τῶν
ἄλλων παρεστώτων μαθητῶν, μόνον ἐρωτᾷ σίμωνα. τί δηλοῖ τὸ βόσκε τὰ
ἀρνία μου, ποίμαινε τὰ πρόβατά μου; ὅτι ἠρνήσατο τρὶς τὸν Κύριον, θερα-
πεύει τὸ πεπονθὸς, καὶ ἀνταπαιτεῖ ποικίλως τὴν εἰς τρίτον ὁμολογίαν, ἀντί-
30 σταθμον ὥσπερ ἐκείνῳ τοῦτο τιθεὶς. καὶ ἀντίρροπον τοῖς πταίσμασιν ἐξαρτύων
τὴν ἐπανόρθωσιν. καὶ αὐτόθι, ὡς πλείονα τῶν ἄλλων ἄφεσιν κομισάμενος, ἐξαι-
τεῖται λέγειν, εἰ καὶ πλεῖον ἀγαπᾷ. καὶ γὰρ τοῦ σωτῆρος φωνὴ, ᾧ πολὺ ἀφίεται,   Λουκ: ζ.
πολὺ καὶ ἀγαπήσει. οὐκοῦν διὰ μὲν τῆς εἰς τρίτον ὁμολογίας τοῦ Μακαρίου
πέτρου τὸ ἐν τριπλῷ γεγονὸς εἰς ἀπάρνησιν κατηργήθη πλημμέλημα. διὰ δὲ
35 τοῦ, βόσκε τὰ ἀρνία μου, ἀνανέωσις ὥσπερ τις τῆς ἤδη δοθείσης ἀποστολῆς αὐτῷ,
νοεῖται γενέσθαι, τὸν μεταξὺ λύουσα τῶν πταισμάτων ὀνειδισμὸν, καὶ τὴν ἐξ ἀν-
θρωπίνης ἀσθενείας μικροψυχίαν ἐξαφανίζουσα. καὶ ταῦτα μὲν ῥητῶς εἴρη-
ται τῷ τῆς αἰγύπτου φωστῆρι Κυρίλλῳ. ταῦτά γε καὶ ὁ θεολόγος Γρηγόριος εἰς
τὰ ἐπιφάνεια, φάσκων περὶ τὸ τέλος. τῷ τριττῷ τῆς ἐρωτήσεως καὶ ὁμολογί-
40 ας, τὸ τριττὸν τῆς ἀρνήσεως ἐθεράπευσεν. ταῦτά πως καὶ ἄλλοι διδάσκαλοι
διεξέρχονται, ὡς καὶ παρέλαβεν ψάλλειν εἰς τὸν μέγαν ἀπόστολον ἡ ἐκκλησία.

ὅθεν κἂν

ὅθεν κἂν ταῖς περὶ ταύταις εὐαγγελικαῖς ῥήσεσιν, εἰ καὶ ῥητῶς Πέτρῳ
τῆς ὑποθέσεως οὕτω ζητούσης, ὡς ἔγνωσται, δοκεῖ λέγεσθαι, Μακάριος εἶ.
δώσω σοι τὰς κλεῖς, ἐδεήθην περὶ σοῦ, εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβα-
τά μου, καὶ ὅσα παραπλήσια, καὶ εἰς τοὺς ἄλλους ἀνάγκη συνεπινοεῖσθαι, ὡς
ἐδείξαμεν, ὥστε οὐδὲν ἐκ τούτων ἴδιον συμπεραίνεται εἰς πρόσωπον Πέτρου, καὶ 5
πολλῷ ἧττον εἰς τὴν διαδοχὴν τῶν ῥωμαϊκῶν ἀρχιερέων, λόγῳ Πέτρου. κοι-
νὸν γὰρ καὶ ἀποστόλοις πᾶσι καὶ τοῖς μετ' αὐτοὺς τὰ μὴ προσωπικὰ (προσω-
πικὰ λέγω, τὰ μὴ εἰς τὸ κοινὸν τῆς ἐκκλησίας διαδιδόμενα. οἷον τὸ ἐξ
σκοτῆρος τῷ Πέτρῳ ἐπιτραπέν. τὸ ἀγαπητὸν μαθητὴν εἶναι τὸν Ἰωάννην,
καὶ ὅσα τοιαῦτα) ὅθεν καὶ τὸν Σελευκείας Βασίλειον παρώτρυνεν ὁ χρυσοῦς 10
Ἰωάννης, εἰ φιλεῖ τὸν Χριστόν, ποιμαίνειν τὴν ἐκκλησίαν. πολλὰ μὲν οὖν ἔ-
χων εἰς τὸ προκείμενον λίαν συντείνοντα, ὑπερτίθεμαι δὲ ταμιεύων αὐ-
τὰ εἰς τὸ πέμπτον σου τμῆμα, ἐν ᾧ τὴν περὶ τῶν Πέτρου πρωτείων πραγ-
ματείαν ἐπιτηδεύεις. τανῦν δὲ εἰς τὰς τῶν πατέρων ὑπὸ σοῦ μαρτυρίας
προαχθείσας, τὰς ἀποκρίσεις ποιήσωμεν. 15

Χρυσόστομος, περὶ ἱερωσ: λόγ: β'.

Βέναρδος λατῖνος πρὸς Πάπαν Εὐγένιον βιβλίῳ: β':

Ἔσω εἰς ἀποδοχὴν πρῶτος καὶ Βέναρδος, ὁ ἐν ὑμῖν πολύς τε καὶ ὅσιος.
βιβλίῳ :β', πρὸς Εὐγένιον Πάπαν. ὅπη ἐγκωμιάζων, φησί, τίς ὢν
τυγχάνεις; ἱερεὺς μέγας, κορυφαῖος ἀρχιερεύς, ἄρχων ἐπισκόπων. σὺ
κληρονόμος τῶν ἀποστόλων. σὺ τῷ πρωτείῳ Ἄβελ, κυβερνήσει Νῶε, Πα-
τριαρχείᾳ Ἀβραάμ, τάξει Μελχισεδέκ, ἀξίᾳ Ἀαρών, αὐθεντείᾳ Μω- 20
ϋσῆς, ἐν τῷ κρίνειν Σαμουήλ. ἐξουσίᾳ Πέτρος, χρίσματι Χριστός. σὺ εἶ ᾧ
παρεδόθησαν αἱ κλεῖδες, ᾧ ἐνεπιστεύθη τὰ πρόβατα. εἰσὶ μὲν καὶ ἄλλοι οὐ-
ρανοῦ θυρωροί, ποιμνίων ποιμένες, ἀλλὰ τοσούτῳ ἐνδοξότερον, ὅσῳ δια-
φορώτερον παρὰ τοὺς λοιποὺς κεκληρονόμηκας ὄνομα. ἔχουσιν ἐκεῖνοι ἀφωρισ-
μένας ἑαυτοῖς, ἕκαστος ποίμνην ἀνὰ μίαν. σοὶ σύμπασαι ἐνεπιστεύθησαν 25
μιᾷ εἷς, καὶ κατωτέρω, τοιγαροῦν κατὰ τοὺς σοὺς κανόνας οἱ ἄλλοι εἰς μετο-
χὴν τῆς φροντίδος, σὺ εἰς τὸ πλήρωμα ἐκλήθης τῆς ἐξουσίας. τῶν ἄλλων ἡ
ἐξουσία ὡρισμένοις ὁρίοις συμπεριλείεται. ἡ δὲ σὴ καὶ εἰς τοὺς ἐπὶ τῶν ἄλλων
εἰληφότας τὴν ἐξουσίαν ἐκτείνεται. μῶν οὐχὶ αἰτίας οὔσης, σὺ κλείειν ἐπισκόπῳ
τὸν οὐρανόν, σὺ αὐτὸν τῆς ἐπισκοπῆς καθελεῖν, ἔτι δὲ σατανᾷ παραδοῦναι δύνα- 30
σαι. ἴσταται τοίνυν ἀσάλευτόν σοι τὸ προνόμιον, τοσοῦτον ἐπὶ ταῖς δεδομέναις
κλεισίν, ὅσον καὶ τοῖς ἐμπεπιστευμένοις προβάτοις.

ἈΠΆΝΤΗΣΙΣ

Πρὸς τὰ τοῦ Βενάρδου τῷ πάπᾳ ἐγκώμια.

Α' Πρὸς ταῦτα εὐχερῶς ἀποκρινόμεθα. διὰ καὶ ὅσα τὰ ἐπὶ Πάπα λεγό- 35
μενα, κἀπὶ τοῖς Πατριάρχαις καὶ τοῖς μεγάλοις ἀρχιεπισκόποις ἀνάλο-
γως ἁρμόζειν, καὶ μάλιστα λόγῳ ἐπαίνου ὑπερβολῆς. τὸ δὲ ποίμνης
μιᾶς ποιμὴν εἷς, περὶ τοῦ δυτικοῦ κλίματος νοούμενον εὖ ἔχει. τοῦ γὰρ κα-
θόλου ποιμνίου κυρίως οὐδείς. οὔτε γὰρ ἐγένετο οὔτε μὴν ἀποδέδεικται πώποτε

εἷς ποιμὴν

εἰς ποίμνην τῆς μιᾶς τοῦ Χριστοῦ μάνδρας ἐκτὸς αὐτοῦ τοῦ Χριστοῦ. Τίνας δ' αὖ
καλεῖ, τοὺς κανόνας, ὑμεῖς εὕρητε. ἡμῖν γὰρ οὐ μέλει. Ἴσως ἀπὸ Λέοντος
Πάπα πρὸς Ἀναστάσιον Θεσσαλονίκης τὰ αὐτὰ διαγορεύοντος. ὡς καὶ ἐν κα-
ταλόγῳ παρενέγκεις. οὐδὲν παρ' ἡμῖν ταῦτα ἢ ὀβολιμαῖα.

Β′ Δεύτερον λέγεις ὅτι Ἰωάννης Πάπας ὁ δεύτερος ἐπιστολῇ πρὸς Ἰουστινιανὸν
τὸν μέγαν. ἣ τῆς ῥωμαϊκῆς φησὶ καθέδρας εὐλάβειαν διατηρεῖτε, αὐτῇ
τε πάντα ὑποτάττετε, καὶ εἰς τὴν αὐτῆς ἑνότητα διεξάγετε. πρὸς ἣν τὴν ἀρχη-
γὸν, τουτέστι τὸν τῶν ἀποστόλων κορυφαῖον τοῦ Κυρίου λαλοῦντος, διατέτακται:
ποίμαινε τὰ πρόβατά μου. ἥνπερ εἶναι τῶν ἐκκλησιῶν ἀληθῶς κορυφὴν,
καὶ τῶν Πατέρων οἱ κανόνες, καὶ τῶν κρατούντων αἱ διατάξεις ἐκτίθενται.

Ἀπόκρισις πρὸς τὴν ἐπιστολὴν ταύτην.

Πολλάκις εὐχαριστοῦμεν ὑπὲρ ὧν λαβεῖν ἱμειρόμεθα, εἰ καὶ μὴ ἀπο-
λάβοιμεν τῆς εὐεργετήσοντα ὅπηθεν τοῖς ἐπαίνοις εἰς τὴν μετάδοσιν διε-
γείροντες, εἰ μὲν οὖν ὁ αὔγουστος πάντα ὑπέταξεν, ἢ ἔμελλεν ὑποτά-
ξαι τῇ ῥωμαϊκῇ καθέδρᾳ, τὰ κατὰ δύσιν μόνα νοητέον, τὰ δὲ κατὰ τὴν ἀνατο-
λὴν, αὐτὸς ἑαυτοῦ δῆλος γίνεται πολλαχοῦ τῶν διατάξεων, ὁσάκις περὶ Πατρι-
αρχῶν ὁ λόγος, ῥητῶς δὲ νεαρᾷ : ρκγ΄. οὐ πόρρω μετὰ τὴν ἀρχὴν τῆς νεαρᾶς.
ἀρχιεπισκόπους καὶ Πατριάρχας καὶ Μακαριωτάτους ἐπίσης τῆς ῥώμης καλεῖ,
καὶ τοὺς λοιποὺς τέσσαρας. κἂν τῇ χειροτονίᾳ αὐτῶν πάντας ἐπίσης χρυσίου
λίτρας εἴκοσι μόνας ἐπιτρέπει διαδιδόναι, καὶ μὴ πλεῖον, τὸ κατ' ἔθος τοῖς
κληρικοῖς. προφανέστερον δὲ : ρλά : ἔνθα περὶ προνομίων διαλαμβάνει κατ'
ἀρχὴν ῥητῶς, τάξει μόνον τοῦ Κωνσταντινουπόλεως πρωτεύειν διακελευόμενος
οὕτω. διὰ τοῦτο θεσπίζομεν κατὰ τοὺς ὅρους τῶν ἁγίων συνόδων, ὧν τὰ δόγματα
καθάπερ τὰς θείας γραφὰς δεχόμεθα, καὶ τοὺς κανόνας ὡς νόμους φυλάττο-
μεν. τὸν ἁγιώτατον τῆς πρεσβυτέρας ῥώμης Πάπαν, πρῶτον εἶναι πάντων
τῶν Ἱερέων. τὸν δὲ Μακαριώτατον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως τῆς νέ-
ας ῥώμης δευτέραν τάξιν (ὅρα τάξιν) ἐπέχειν μετὰ τὸν ἅγιον ἀποστολικὸν θρό-
νον τῆς πρεσβυτέρας ῥώμης. τῶν δὲ ἄλλων πάντων προτιμᾶσθαι. αὐτόθι καὶ
περὶ τοῦ Βουλγαρίας, καὶ τοῦ καρχηδόνος. περὶ δὲ τῶν ἄλλων Πατριαρχῶν,
καὶ τοῦ κύπρου ὡς ἀναμφίβολα περιέχεται. ταῦτα περὶ θρόνων ὁ μέγας αὐτο-
κράτωρ. ἐκ τούτων οὖν διδασκόμενος καὶ πειθόμενος, ἀρέσκει ὁμολογεῖ ἀπὸ
τῶν Βασιλέων ὁ μετριόφρων οὗτος Ἰωάννης τὸ πρωτεῖον τῆς καθέδρας καὶ ἀπὸ
τῶν κανόνων τῶν πατέρων, ῥητῶς δὲ ἐκ τούτου τῆς δευτέρας, τρίτου κανόνος
καὶ τοῦ τῆς τετάρτης, εἰκοστοῦ ὀγδόου. πλὴν οὐ καλῶς νοεῖτε ὑμεῖς τὸ ὁμώνυ-
μον. παρ' ὑμῖν Κάπουτ ἀντὶ κεφαλῆς λεγόμενον, ἀλλ' ἀντὶ κορυφῆς, ὡς
ἡμεῖς ἑρμηνεύομεν. ὡς γὰρ κορυφαῖος Πέτρος ὀρθῶς λέγεται, γὰρ οὐδαμῶς
κεφαλή. τοῦτο γὰρ Κυρίως τῷ Χριστῷ μόνῳ οἰκειούμενον ἐστὶν ὄνομα, ὡς εἴ-
πομεν κατὰ Παῦλον, καὶ Βασίλειον περὶ κρίματος θεοῦ.

Γ′ Πρὸς τὸ ἀπὸ τοῦ χρυσοστόμου τρίτον σου ἐπιχείρημα, ὅτι Ἰωάννης ὁ χρυσόστομος ἐν
βιβλίῳ: β, ἤτοι λόγῳ περὶ ἱερωσύνης φησί, διὰ τί τὸ αἷμα ἐξέχεεν (ὁ Χριστὸς)
ἵνα τὰ πρόβατα κτήσηται ταῦτα, ἃ τῷ πέτρῳ καὶ τοῖς μετ' ἐκεῖνον ἐνεχείρησεν.

Ἀπο-

ἈΠΌΚΡΙΣΙΣ

Ὅτι μὲν ἐνεχείρησε τῷ πέτρῳ, ῥητῶς ἡ εὐαγγελικὴ φωνὴ διεσάφησε. διότι δὲ πέτρῳ ῥητῶς, μικρῷ ἔμπροσθεν ἐκ τῶν ἐνδόξων πατέρων παρεδηλώσαμεν. ὅτι δὲ καὶ τοῖς μετ᾽ ἐκεῖνον, ἢ καὶ διαδόχοις, ἀνάγκη πως ὑπονοητέον. ἵνα μὴ ἐπὶ πέτρου μόνου διαμένειν ἡγοίμεθα τὴν ἀθάνατον ἐκκλησίαν, ἀλλὰ μὴν καὶ Πέτρος αὐτὸς εἰς πᾶσαν οὐκ ἤρκει τὴν οἰκουμένην. οὐ δὲ εἷς καὶ μόνος διὰ τοῦτο ὑπὸ Χριστοῦ κατέστη ἀπόστολος, λείπεται οὖν ἐν προσώπῳ πέτρου, καὶ πάντας ὑπολαμβάνειν τοὺς δώδεκα, καὶ τοὺς μετ᾽ αὐτῶν, Ἰάκωβον δῆθεν τὸν ἀδελφόθεον, Βαρνάβαν, καὶ Παῦλον. καὶ τοὺς μετ᾽ αὐτοὺς ἤτοι τοὺς τὴν ἐπισκοπὴν διαδεξαμένους. ὥστε πέτρον εἰς παράδειγμα παρέστησεν ὁ διδάσκαλος, ὅτι αὐτῷ ῥητῶς ἐπετρέπη διὰ τοῦ φιλεῖς με, καὶ ποίμαινε, ἀλλ᾽ ἐν πέτρῳ καὶ τοὺς λοιποὺς ἀποστόλους, οἷς ἐπίσης τὸ ποίμνιον ἐνεχείρησε, νοητέον, διὰ τὸ κοινὸν πᾶσιν ἐπὶ πᾶσι, καὶ τῆς ἀξίας καὶ τοῦ χαρίσματος. τότε δὲ κοινὰ τοῖς ἀποστόλοις ταῦτα, ὅτε εἰς τὸ κοινὸν συμφέρον τῆς ἐκκλησίας συντείνει. προσετέθηκε δὲ καὶ τοῖς μετ᾽ ἐκεῖνον, διὰ τὸ ἀνέκλειπτον τῆς ἐκκλησίας, οἱ μετ᾽ ἐκεῖνον δὲ οὐ μόνον οἱ ἐν ῥώμῃ διαδεξάμενοι, ἀλλὰ καὶ πρότερον ὁ ἐν ὁδῷ ἐν ἀντιοχείᾳ, καὶ ὅσοι ἀλλαχοῦ ὑπ᾽ αὐτοῦ καὶ τῶν λοιπῶν κατεστάθησαν. καὶ καθολικώτερον εἰπεῖν οἱ ἐπίσκοποι πάντες, καὶ πέτρου καὶ τῶν ἀποστόλων εἰσὶ διάδοχοι καθ᾽ ἱερώνυμον, πρὸς εὐάνδρον πρεσβύτερον, ἀλλὰ δὴ καὶ ὁ θεῖος ἀμβρόσιος περὶ τῆς ἀξίας τῆς ἱερωσύνης ἐν κεφ: β᾽ φησὶ προσφυῶς. ἃ πρόβατα, καὶ ὃ ποίμνιον, οὐ μόνος τότε ὁ Μακάριος Πέτρος ἐδέξατο, ἀλλὰ καὶ μεθ᾽ ἡμῶν ἐκεῖνα ἐδέξατο, καὶ μετ᾽ ἐκείνου ἡμεῖς ἐδεξάμεθα. καὶ κυπριανὸς. ἐν βιβ: γ᾽: καὶ ἐπιστολῇ: ιγ᾽: εἰ καί φησι καὶ πολλοὶ ὑπάρχομεν ποιμένες, μίαν ὅμως ποίμνην ποιμαίνομεν, καὶ τὰ καθόλου πρόβατα, ἅπερ ὁ Κύριος τῷ ἰδίῳ περιεποιήσατο αἵματι, συνάγειν καὶ περιθάλπειν ὀφείλομεν. καὶ ὅσα κατὰ τὸ δεύτερον αὖθις τῆς ἀποκρίσεως εἴπομεν. Ἔλθωμεν καὶ πρὸς τὸ τοῦ Πάπα Νικολάου.

Ἀμβρόσ. ,,
Κυπριανὸς. ,,

Νικόλαος ὁ Πάπας ἔφης πρὸς Μιχαὴλ τὸν αὐτοκράτορα γράφων, σκοπεῖν δέον φησὶν, ὅτι οὐχ ἡ ἐν νικαίᾳ. οὔτε ἄλλη σύνοδος τῇ ῥωμαϊκῇ προνομιοῦντι προεξένησεν ἐκκλησίᾳ, ἥτις ἐν τῷ μακαρίῳ πέτρῳ ἐγνώκει πάσης ἑαυτῆς ἐξουσίας τὰ δίκαια πληρέστατα κεκτῆσθαι, καὶ πάντων τῶν Χριστοῦ προβάτων, τὴν οἰκονομίαν εἰληφέναι, καθὰ καὶ ὁ Μακάριος Πάπας Βονιφάτιος ἐπιμαρτυρεῖ.

ἈΠΌΚΡΙΣΙΣ

Πρὸς τὸ ἀπὸ τοῦ Πάπα Νικολάου.

Τοιαύτας μαρτυρίας πολλάκις εἰρήκαμεν, ἡμᾶς οὐ προσοίσεσθαι, οὐδὲν προσήκον ἀκούειν παρὰ τοῦ κρινομένου τὴν ψῆφον τῆς αὐτοῦ κρίσεως. ὅτι μὲν γὰρ ἤκμασε καὶ πρόπαλαι ἐν τοῖς ῥωμαίων ἀρχιερεῦσι τοιαύτη φιλαρχία ἐπὶ πάντας, πρόφασιν λαχοῦσα τὴν τῶν δυτικῶν (ἀλόγως αὐτῇ πειθομένων) ὑποταγήν.

ταγήν. τοῦτον δῆλον, ὅσον ὕστερον Σικελίας δεξαμένη, τινῶν εἰς
προφανῆ μετήμειψε τυραννίδα. ὅτι δὲ ψευδῶς ἔχονται καὶ σφαλερᾶς
ὑπολήψεως καὶ Νικόλαος, καὶ οἱ περὶ τοῦτον ταῦτα λέγοντες, τὰ πρὸς
τὸ δεύτερον ἐπιχείρημα εἰρημένα ἡμῖν καὶ ἀντιτεθέντα, σαφῶς παριστάνουσιν.
5. ὤφειλε δὲ Νικόλαος ἀπὸ συνόδων τῶν προκειμένων Πατέρων ὑποσημειῶσαι τὸ
προτεινόμενον, οὐκ ἀφ' ἑτέρου περὶ αὐτοῦ Πάπα, τουτέστιν ἐκείνῳ φιλοτι-
μουμένου. οὐ μόνον δὲ ἀλλὰ καὶ μᾶλλον ἐπιτιμωμένου παρὰ τῶν ἀνατολικῶν. εἰ
γὰρ τουναντίον ἐν ταῖς συνόδοις, καὶ παραδόσεσι, καὶ διδασκαλίαις τῶν Πα-
τέρων, καὶ θεσπίσμασι βασιλέων εὑρεῖν ἐστι. μάταια τότε τὰ ῥωμαίων με-
10 γαλαυχήματα, ματαιότερα δὲ τὰ ἐπὶ τούτοις δογματιζόμενα. ὃ γὰρ λέγει
ὅτι ἐν τῷ Μακαρίῳ πέτρῳ εἴληφε πάσης ἐξουσίας πληρέστατα δίκαια, ταὐτὸ
καὶ πᾶσα ἐκκλησία ὑπὲρ ἑαυτῆς λέγει. ἐν γὰρ τῷ πέτρου προσώπῳ πάντες
νοοῦνται οἱ ἀπόστολοι, καὶ οἱ μετ' αὐτοὺς, ὡς ἐδείξαμεν πλειστάκις. εἰ δὲ μό-
νην ὑπολαμβάνει τὴν ῥώμην, καὶ ψευδοῦς καὶ φιλαυτίας, καὶ φιλαρχίας
15 ὁ λόγος ἐλέγχεται, καὶ ἀναπόδεικτον προλαμβάνει λέγων, οὐκ ἀπὸ τῶν
συνόδων ἔχειν τὸν Πάπαν ἀνακέκληται προνόμια, μᾶλλον δὲ τουναντίον, τὴν
ἀλήθειαν ἐκάστη, καὶ τὸ κρατῆσαν ἄνωθεν ἔθος διεκδικοῦσιν, ἐκκλησία.
παρίτω εἰς μέσον ὁ ὑπὲρ κυπρίων ἐν τῇ κατ' ἔφεσον ὄγδοος κανὼν ὑπὸ τῆς
ἀντιοχείας εἰς ὑποταγὴν ἐκβιαζομένων, ὅσα περὶ τῆς τῶν ἐκκλησιῶν ἐλευ- Συνόδ: ἐφεσ:
20 θερίας διαγορεύει ὡς ἐν συνόψει. πρᾶγμα φησὶ παρὰ τοὺς ἐκκλησιαστικοὺς „ Καν: η:
„ θεσμοὺς καὶ τοὺς κανόνας τῶν ἁγίων ἀποστόλων καινοτομούμενον ἔγνωμεν, ὥστε
„ τὸν ἐπίσκοπον τῆς ἀντιοχέων πόλεως, τὰς ἐν κύπρῳ ποιεῖσθαι χειροτονίας,
„ διὰ τοῦτο ἕξουσι τὸ ἀνεπηρέαστον καὶ ἀβίαστον κατὰ τοὺς κανόνας καὶ τὴν ἀρχαίαν
„ συνήθειαν τοῦτο φυλαττέσθω, καὶ ἐπὶ τῶν ἄλλων διοικήσεων καὶ τῶν ἁπανταχοῦ
25 „ ἐπαρχιῶν διαφυλαχθήσεται. ὥστε μηδένα τῶν ἐπισκόπων ἐπαρχίαν ἑτέραν,
„ οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ ἢ τῶν πρὸ αὐτοῦ χεῖρα καταλαμ-
„ βάνειν. ἵνα μὴ τῶν Πατέρων οἱ κανόνες παραβαίνωνται. μὴ δὲ ἐν ἱερουργίας
„ προσχήματι, ἐξουσίας τῦφος παρεισδύηται. μὴ δὲ λάθωμεν τὴν ἐλευθερίαν
„ κατὰ μικρὸν ἀπολέσαντες, ἣν ἡμῖν ἐδωρήσατο τῷ ἰδίῳ αἵματι ὁ Κύριος.
30 „ ἔδοξε τοίνυν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ σώζεσθαι ἑκάστῃ ἐπαρχίᾳ κα-
„ θαρὰ καὶ ἀβίαστα τὰ προσόντα δίκαια αὐτῇ ἐξ ἀρχῆς ἄνωθεν κατὰ τὸ πάλαι
„ κρατῆσαν ἔθος. καὶ ταῦτα μὲν ἡ σύνοδος. δειξάτω δὲ Νικόλαος ὁ Πάπας
τὸ λεγόμενον ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐκ κανόνων καὶ παραδόσεων, εἰ βούλεται πείθειν
ἡμᾶς, ὡς ἔχομεν δεῖξαι τὴν οἰκείαν ἐλευθερίαν μετὰ τῆς πρὸς ἀλλήλους ὀφει-
35 λομένης ἀγάπης καὶ ὁμονοίας καὶ ἀποδεξόμεθα.

Ἀλλὰ καὶ περὶ τῆς τοῦ Πάπα Ἀδριανοῦ ἐπιστολῆς οὕτως ἐροῦμεν, φησὶ γὰρ ὅτι ἐν Ε'
τῇ ἑβδόμῃ συνόδῳ, πράξει: β'. ἀπεδέχθη ὑπὸ τῶν Πατέρων ἡ ἐπι-
στολὴ τοῦ Πάπα Ἀδριανοῦ πρὸς ταράσιον, ἐν ᾗ ὁ Πάπας οὑτωσὶ γέγραφεν. οὗ-
τινος ὁ θρόνος (τουτέστιν ὁ ῥωμαϊκὸς) ἀνὰ πᾶσαν τὴν οἰκουμένην τὸ πρωτεῖον κε-
40 κτημένος διαλάμπει, καὶ πασῶν τῶν ἐκκλησιῶν κεφαλὴ καθέστηκε,

Ἀπόκρισις

ἈΠΌΚΡΙΣΙΣ

Καὶ πρὸς τὰ ἀπὸ τῆς ἀδριανοῦ Πάπα ἐπιστολῆς.

Ὁ εἰπόμενος πρὸς τὸν ἀγάθωνα, ὃ προήνεγκας κατὰ τῆς α: ἀπόδειξιν, ὡς
ἐν τῇ α: μαρτυρίᾳ, λέγομεν καὶ πρὸς τὸ παρὸν τοῦ ἀδριανοῦ. ἔστιν
τῷ λέγοντί σε, ὅτι ἀπεδέξατο ἡ σύνοδος. αἱ γὰρ σύνοδοι ἐν ταῖς ἐπιστολαῖς 5
καὶ διδασκαλίαις τῶν ἐπισκόπων, εἰς τὸν σκοπὸν μόνον ἀφορῶσι τοῦ προκειμένου
δόγματος, ἢ ἑτέρας ὑποθέσεως, οὐκ εἰς πάσας τὰς φωνάς. οὐδ' ἔμελλε
διὰ καυχήματα μάταια, τὴν συμφωνίαν ἀποβάλλειν τῆς ῥωμαϊκῆς καθέδρας,
ἥτις καὶ λίαν συνέβαλλε τότε εἰς ἀναίρεσιν τῆς εἰκονομαχίας. ἕως γὰρ καὶ
τότε (τὸ πλεῖστον) κατὰ τὸν μέγαν Βασίλειον ἐν τῇ πρὸς τὸν μέγαν Ἀθανά- 10
σιον δευτέρᾳ ἐπιστολῇ συνέβαλλε. μίαν φησὶν ἐπέγνων βοηθείας ὁδὸν ταῖς
καθ' ἡμᾶς ἐκκλησίαις τὴν παρὰ τῶν δυτικῶν ἐπισκόπων σύμπνοιαν, ἔτι τὸ πρω-
τεῖον καὶ κεφαλὴ οὐκ ἐνόσει τοῖς πατράσιν ὡς νῦν εἰς ἅμιλλαν ἐνέσκηψε μο-
ναρχίας, καὶ τῆς τῶν ἀδελφῶν ὀλιγωρίας. ἀλλὰ πρωτεῖον ἡ ἀρχὴ καὶ κο-
ρυφὴ τάξεως. καὶ γὰρ τόνδε τὸν τρόπον ἐκλαμβάνει, καὶ ὁ ἐν ἁγίοις Γρηγό- 15
ριος ὁ διάλογος ἐπιστολῇ ε: καὶ ν': τὴν α: σύνοδον κεφαλὴν τῶν μετ'
αὐτὴν τεσσάρων ὀνομάσας. ἀλλὰ καὶ τί δὴ φήσειας αὖ αὐτὸν τοῦ χρυσοστόμου
ἀκούσας. (ἐν τῇ ὁμιλίᾳ τῇ τρίτῃ πρὸς τὸν ἀντιοχείας λαὸν) τὴν αὐτῶν
πόλιν κεφαλὴν τοῦ κόσμου καλέσαντος. τί δέ, αὖ ἀκούσας καὶ τὴν καισάρειαν
τῆς καππαδοκίας ὑπὸ τοῦ θεολόγου Γρηγορίου μητέρα τῶν ἐκκλησιῶν προ- 20
σαγορευομένην (ἐν τῷ Βασιλείου ἐγκωμίῳ) ἐπεὶ δὲ ταῦτα φησὶ, διεξελθὼν
(οὐάλης δηλαδὴ) ἐπὶ τὴν ἄσειστον καὶ ἀνεπηρέαστον τήνδε τῶν ἐκκλησιῶν μητέ
ρα, ὡς δουλωσόμενος ὥρμησεν. καὶ ἐν τῇ πρὸς καισαρεῖς ἐπιστολῇ ὡς ἐκπρο-
σώπου τοῦ ἑαυτοῦ πατρὸς τὰ αὐτὰ σχεδὸν περὶ τῆς αὐτῆς φησὶ. πάσης οὖν λέ-
γων ἐκκλησίας φροντιστέον, ὡς Χριστοῦ σώματος, μάλιστα δὲ τῆς ἡμετέ- 25
ρας, ἣ μήτηρ σχεδὸν ἁπασῶν τῶν ἐκκλησιῶν ἦν τε ἀπ' ἀρχῆς, καὶ νῦν ἐστὶ
καὶ νομίζεται, καὶ πρὸς ἣν τὸ κοινὸν βλέπει, ὡς κέντρῳ κύκλος περιγρα-
φόμενος. καὶ περὶ τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, τίς ποτ' ἂν ἀπορήσειεν ὁ-
μοίως μητέρα τῶν ἐκκλησιῶν καὶ πασῶν μέντοι, ἐνδικώτατα φημιζομένην
ἀναντιρρήτως; ὡς πρώτην πασῶν, καὶ διδάσκαλον τῆς καθόλου οἰκουμένης 30
ἐκεῖθεν γὰρ ἐξῆλθεν ὁ νόμος καὶ ὁ Κυρίου λόγος κατὰ τὸν προφήτην. ὥστε καὶ
τὸ κεφαλὴν λέγεσθαι καὶ μητέρα τῶν λοιπῶν τὴν ῥωμαϊκὴν ἐκκλησίαν, εἰ
καὶ δοίημεν κατά τινα ἄλλα προτερήματα, οὐδὲν ἧττον καὶ ἄλλαις ἥττοσιν
ἐκκλησίαις εὕρομεν τοῦτο κοινόν· ἐῶ γὰρ λέγειν τὴν ἐν Κωνσταντινουπόλει, τὴν
τῆς ῥώμης ἰσότιμον καὶ ἰσοδυνάμον. τὴν ἀντιόχειαν ὑπὸ τοῦ μεγάλου Βασιλείου 35
ὁμοίως λεγομένην, εἰσάγων. ὃς Ἀθανασίῳ τῷ πάνυ ἐπιστέλλων τὸ δεύτε-
ρον (οὗ ἡ ἀρχὴ οὐδένα τοσοῦτον ἡγοῦμαι) οὑτωσὶ λέγει. τί δ' ἂν γένοιτο ταῖς κατὰ
τὴν οἰκουμένην ἐκκλησίαις καιριώτερον τῆς ἀντιοχείας; ἣν εἰ συνέβη πρὸς
ὁμόνοιαν ἐπανελθεῖν. οὐδὲν ἐκώλυεν ὥσπερ κεφαλὴν ἐρρωμένην παντὶ τῷ
σώματι ἐπιχορηγεῖν ὑγείαν. 40

Ἔχεις καὶ

Ἔχεις καὶ ἀπὸ ἐγχειρίου λουγδουνῶν, καὶ ἀπό τινος ἀλκουΐνου ῥήσεις, τοῦ μὲν καὶ εἰς τοὺς Πατριάρχας ἁρμόττουσαν, τοῦ δὲ οὐδ' εἰς Πάπαν ἀπὸ ψευδοκυρίλλου τινὸς ἑτέρου. (ἐν γὰρ τῷ θησαυρῷ τῷ παρ' ἡμῖν καὶ ὑμῖν, οὐδὲν τοιοῦτον ἀναγινώσκεται) ὃ προφέρει ἀλκουΐνος) ὀφείλομεν ἡμεῖς (φησὶ) τῇ κεφαλῇ ἡμῶν τῷ ῥωμαίων ἀρχιερεῖ συνέχεσθαι. παρὰ μόνῳ προσήκει παρ' αὐτοῦ τὸ πιστευτέον, ἢ κρατητέον λαμβάνειν. βαβαὶ τῆς πλαστογραφίας καὶ ψευδογραφίας. τοσαῦτα Κύριλλος ὑπὲρ πίστεως ἠγωνίσατο ἐν συνόδῳ πρὸς τοὺς ἀνατολικοὺς τοὺς ὑπὸ ἀντιόχειαν, καὶ κατὰ Νεστορίου, οὐδὲν τοιοῦτον ἁρμοζόντως ἔχον τῇ ὑποθέσει ἐδίδαξε, καὶ ὅπου περὶ θεότητος ἐπραγματεύετο υἱοῦ καὶ πνεύματος, ὁμοουσίου τῷ Πατρὶ, πῶς ἐχώρει τὰ τῆς ῥωμαϊκῆς καθέδρας προτερήματα. τοσοῦτον ἀπέχει τῆς μεγαλοπρεπείας, καὶ μεγαλονοίας Κυρίλλου καὶ τῶν ἀνατολικῶν διδασκάλων τε, καὶ ἐλευθέρων ἀρχιερέων, ὅσον τὰ νῦν οἰκεῖα γνωρίσματα τῆς δουλοπρεποῦς εἰσὶ γνώμης τῶν δυτικῶν ὑμῶν, καὶ ἐπελάθεσθε τὸ ἀποστολικὸν οἱ τῆς ἐκκλησίας ἄρχοντες, τὸ φάσκον, τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων, καὶ μονονουχὶ ἀχθοφορεῖτε τὸν ἐπὶ θρόνου καθήμενον οἱ γονυπετοῦντες αὐτὸν, καὶ τὸν πόδα καταφιλοῦντες, ἀρχιερεῖς τοῦ θεοῦ τοῦ ὑψίστου καὶ συμποιμένες καὶ ἀδελφοὶ, καὶ συλλειτουργοὶ, ἀλλὰ δὴ καὶ τοῖς αὐτοῦ διακόνοις, καὶ ὑποδιακόνοις, καὶ ἁπλῶς κληρικοῖς ὑποκλινόμενοι, καὶ ὑποταττόμενοι· καὶ ἐν τῇ φρικτῇ ἱερουργίᾳ τῷ ματαίῳ τῆς πορφύρας ὀνόματι, τῷ εἶναι δῆθεν συμβούλους τοῦ Πάπα τοὺς ταύτην ἀμπεχομένους. ταῦτα εἰσὶ τὰ παράδοξα τῆς ἐπαιρομένης κατὰ τῶν ἀδελφῶν καθέδρας, εἰς μοναρχίαν ἀποκυήματα, ἢ καὶ ἀληθέστερον εἰπεῖν ἀτοπήματα. ἐξ οὗ γὰρ τῆς καθολικῆς τῶν ἀνατολικῶν ἀπέστη κοινωνίας, ἅμα καὶ τῆς ἀκριβείας, ἢ καὶ μᾶλλον παραφυλακῆς τῶν ἱερῶν θεσμῶν ἀπεσκίρτησεν. ἀλλὰ τούτων μὲν ἅλις. μεταβῶμεν καὶ εἰς τὴν τελευταίαν ἀσθενεστάτην, καὶ γελοίαν ἀπόδειξιν.

ΑΠΟΔΕΙΞΙΣ Δ

Παύλου, πρὸς ῥωμαίους: α: κεφ. πρῶτον εὐχαριστῶ τῷ θεῷ μου ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ.

Ἐπάγεις ἐκείνων ἐξηγήσεων διδασκάλων ὑμῶν ἁγίων, ὅτι προφητικῶς καὶ οὐ μόνον ἱστορικῶς τὴν τῶν ῥωμαίων πίστιν ὁ Παῦλος ἐπῄνεσεν. ἄρα ἡ τῶν ῥωμαίων πίστις καὶ τῶν αὐτῆς συνεχομένων λατίνων, καὶ λατινιζόντων, ἐστὶν ἀναμάρτητος. κυπριανὸν μάρτυρα, καὶ εἰρηναῖον, καὶ ἱερώνυμον εἰσκαλεῖς. κἀκ τῶν ἡμετέρων τὸν θεολόγον Γρηγόριον, καὶ Θεοδώρητον βεβαιοῦντας. ἄλλως γὰρ εἴ τις μὴ ἀποδέξηται τούτων, λέγεις, τὰς ῥήσεις, καταγνωστέον τοιούτων Πατέρων, ἢ κολακείας, ἢ ματαιολογίας.

ΑΠΟΚΡΙΣΙΣ

Τοιοῦτος οὖν ἔοικεν ὁ συλλογισμὸς τῆς παρούσης δείξεως. ἡμεῖς δὲ τὰς ἰσχυροτέρας ῥήσεις εἰσάγοντες, τὰς λοιπὰς ὡς ἀδρανεστέρας ἐάσομεν. ἐπαχθὲς γὰρ τὸ πλεῖστον, καὶ τὸ καθ' αὐτὸ διαλυόμενον, ἢ καὶ ἐκ τῶν

προηγου-

προηγουμένων ἐξελεγχόμενον, ἀνατρέπειν πειρᾶσθαι.

Α΄ Τοιγαροῦν φησὶ Κυπριανὸς καθ' ὑμᾶς ἐν ἐπιστολῇ νε΄. ἐκεῖσε ῥωμαῖοι, ὧν ἡ πίστις ἀποστόλου κηρύσσοντος ἐπῃνέθη, εἰς οὓς ἡ κακοπιστία ἔχειν εἴσοδον οὐ δύναται.

Β΄ Καὶ Θεοδώρητος, ἐν ἐπιστολῇ πρὸς Λέοντα Πάπαν. ἐξαιρέτως δὲ καὶ λαμπρῶς ταύτην (τὴν ῥωμαϊκὴν ἐκκλησίαν) κατακοσμεῖ ἡ πίστις. καὶ ἀξιόπιστος μάρτυς ὁ ἀπόστολος.

Γ΄ Καὶ Ἱερώνυμος ἐν βιβλίῳ τρίτῳ, ἀπολογίας κατὰ ῥουφφίνου. γίνωσκε τὴν ῥωμαϊκὴν πίστιν τοιαύτας μαγγανείας οὐκ ἀποδέχεσθαι. εἰ καὶ ἄγγελος ἄλλως εὐαγγελίζηται, παρ' ὃ ἅπαξ ἐκηρύχθη, Παύλου μαρτυρίᾳ ὠχυρωμένην, μηδαμῶς ἐναλλάττεσθαι δύναται. καὶ πρὸς Παμμάχιον. ὅστις αὖ τῆς κοινῶν δογμάτων καταγγελεύς, δέομαί σου φεῖδου ῥωμαϊκῶν ὤτων. φεῖδου πίστεως ἀποστολικῇ φωνῇ ἐπαινεθείσης.

Δ΄ Γρηγόριος δὲ ὁ θεολόγος ἔπεσι περὶ τοῦ καθ' ἑαυτὸν βίου. ἡ πρεσβυτέρα ῥώμη φησὶν ἀπὸ χρόνων ἀρχαίων τὴν ὀρθὴν ἔχει πίστιν, ὡς ἐπέοικε πόλει πάσης προϊσταμένη τῆς οἰκουμένης, εἰλικρινῆ περὶ θεοῦ ἀεὶ κατέχειν πίστιν.

Ε΄ Ἀλλὰ καὶ εἰρηναῖος ἐν τρίτῳ βιβλίῳ κατὰ αἱρέσεων ἐν κεφαλαίῳ τρίτῳ τῆς ῥωμαϊκῆς ἐκκλησίας ἔφη πίστιν ἀλληλοδιαδόχως διὰ τῶν ἐπισκόπων μέχρις ἡμῶν ἐπιδεικνύμενοι, καταισχύνομεν τοὺς ὁπωσδήποτε παρὰ τὸ προσῆκον συνάγοντας, εἰς ταύτην γὰρ τὴν ἐκκλησίαν, διὰ τὴν ἰσχυροτέραν ἀρχαιότητα, ἀναγκαῖον πᾶσαν συνελθεῖν ἐκκλησίαν τουτέστι τοὺς ἁπανταχοῦ πιστούς, ἐν ᾗ ὑπὸ τῶν πανταχοῦ διεφυλάχθη, ἡ ὑπὸ τῶν ἀποστόλων παράδοσις.

ΑΠΑΝΤΗΣΙΣ

Καὶ αὗται μὲν αἱ ῥήσεις τὸν συλλογισμὸν ὑποστηρίζουσι. ἴδωμεν δὲ καὶ τὴν ἀπὸ τούτων οἵα καὶ ὅση ἰσχύς. ἀλλ' ἐν πρώτοις τοῦτο καθομολογούμενον καθόλου ὑποτιθέμεθα, τὰς ῥήσεις ἡμῖν οὔτε γνωστάς, οὔτε τὰς βίβλους ἔχειν ὅπως ἀντιπαραβάλλωμεν. ὅμως κατὰ κοινὴν τῆς ἀληθείας ὑπόληψιν οὕτως ἀπολογούμεθα. καὶ εἰ τοσούτου ποιεῖσθε ὦ βέλτιστοι τὸν ὑπὸ τοῦ ἀποστόλου πρὸς ῥωμαίους ἔπαινον, ὑπομνήσω ὑμᾶς ἕτερον πρὸς θεσσαλονικεῖς, ἐν τῇ δευ-

Θεσ: β΄.

„ τέρᾳ τούτου ἐπιστολῇ πολλῷ μείζονα, ὅσον καὶ περὶ πλειόνων ἀρετῶν αὐτοὺς ἐγ-
„ κωμιάζει· εὐχαριστεῖν ὀφείλομεν, φησὶ τῷ θεῷ πάντοτε περὶ ὑμῶν καθὼς
„ ἐστιν ἄξιον, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκά-
„ στου πάντων ὑμῶν εἰς ἀλλήλους, ὥστε ἡμᾶς αὐτοὺς καυχᾶσθαι ἐν ταῖς ἐκκλησί-
„ αις τοῦ θεοῦ, ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως, ἐν πᾶσι τοῖς διωγμοῖς
„ ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε, ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ

Θεσ: α΄

„ θεοῦ, εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ, ὑπὲρ ἧς καὶ πά-
„ σχετε. οὐχ ἧττον δὲ καὶ ὁ ἐν τῇ πρώτῃ πρὸς αὐτοὺς ἔπαινος, εὐχαρι-
„ στοῦμεν φησὶ τῷ θεῷ πάντοτε περὶ ὑμῶν ἀδιαλείπτως μνημονεύοντες τοῦ ἔργου τῆς
„ πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
„ Χριστοῦ. ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν
δυνάμει, καὶ πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ. ὥστε γενέσθαι ὑμᾶς τύπους

ἐν πᾶσι

ἐν πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ μακεδονίᾳ, καὶ τῇ ἀχαΐᾳ. ἀφ' ὑμῶν γὰρ ἐξήχηται
ὁ λόγος τοῦ κυρίου, οὐ μόνον ἐν τῇ μακεδονίᾳ καὶ ἀχαΐᾳ, ἀλλὰ καὶ παντὶ
τόπῳ (θαύμασον ἔπαινον) ἡ πίστις ὑμῶν ἡ πρὸς θεὸν ἐξελήλυθεν, ὥστε μὴ
χρείαν ἔχειν ἡμᾶς λαλεῖν τι. εἰ τὸ ὑπέρογκον τοῦτο περὶ ῥωμαίων αὖ ἔγρα-
5 ψεν ὁ ἀπόστολος, ὅτι οὐκ ἔτι χρήζουσιν αἱ χῶραι κηρύγματος, ἐπείπερ ἐν
παντὶ τόπῳ ἀπὸ ῥώμης ὁ λόγος ἐξήχηται καὶ ἐξελήλυθε. τί αὖ οὐ καταμηχα-
νήσασθε κατὰ πάσης τῆς ἐκκλησίας ἐπαιρόμενοι. ἦ ἄρα τὰ ῥωμαίοις γραφό-
μενα προφητεία καὶ ἀλήθεια, τὰ δὲ θεσσαλονικεῦσι, φιλιππησίοις καὶ κορινθίοις
λῆρος; πρὸς μὲν γὰρ τοὺς ἐφεσίους γράφων λέγει, οὐκ ἔτι ἐστὲ πάροικοι, ἀλλὰ — ἐφεσ: β΄.
10 συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν
ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ τοῦ ἰησοῦ χριστοῦ, ἐν ᾧ
συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ θεοῦ ἐν πνεύματι. εἰ ταῦτα μόνοις
ἐφεσίοις ἔνεστιν, οὐδαμῶς ἄλλοις, οὔτε ῥωμαίοις. πρὸς δὲ φιλιππησίους ται-
άδε ἀποφαίνεται. ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, — φιλιπ: α΄.
15 ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. καὶ εἰ φιλιππησίοις μόνοις τοῦτο ἐχαρίσθη,
μόνοι τοῦτο καὶ ἐσχήκασιν, ἄρα οὔτε ῥωμαίοις οὔτ' ἄλλοις τισὶ τῶν πιστῶν. ἄ-
κουσον καὶ ἕτερον ἔπαινον πρὸς αὐτούς. εὐχαριστῶ τῷ θεῷ μου πάντοτε ἐν πάσῃ
δεήσει μου ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον ἀπὸ πρώτης ἡμέρας, ἄχρι
τοῦ νῦν, πεποιθὼς αὐτὸ τοῦτο (σκόπει προφητείαν) ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν
20 ἔργον ἀγαθὸν ἐπιτελέσει ἄχρις ἡμέρας ἰησοῦ χριστοῦ, καθώς ἐστι δίκαιον ἐμοὶ
τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς,
ἔν τε τοῖς δεσμοῖς μου, καὶ τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου, συγκοι-
νωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας, μάρτυς γάρ μου ὁ θεός, ὡς
ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις ἰησοῦ χριστοῦ. καὶ τοῦτο προσεύχομαι,
25 ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον περισσεύῃ, καὶ μᾶλλον ἐν ἐπιγνώσει καὶ πάσῃ
αἰσθήσει. καὶ ἕτερα. τί τούτου τοῦ ἐγκωμίου ἐρασιώτερον, ὅτι ποθεῖ αὐτοὺς ἐν
σπλάγχνοις. ἆρα τοῦ νῦν ἐν οὐρανῷ ἐπελάθετο; μὴ ῥωμαίους ἐπῄνεσε μόνους
καὶ προεφήτευσεν, ἡμῶν δὲ τῶν ἀνατολικῶν ὠλιγώρησεν; ἄπαγε, καὶ τυφλῷ
δῆλον καὶ ἀνοήτῳ. καὶ τὸ κορινθίοις δὲ καύχημα, ἆρά γε μάταιον; ὅτι λέγει
30 ἐν τῇ πρώτῃ πρὸς αὐτοὺς ἐπιστολῇ ἐν κεφαλαίῳ ἐννάτῳ. εἰ ἄλλοις οὐκ εἰμὶ — κορινθ: θ΄.
ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμί. ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστὲ
ἐν κυρίῳ. οὐ τοίνυν μᾶλλον ῥωμαίων ἀπόστολος ἦν, ἀλλὰ κορινθίων ὁ Παῦ-
λος. πρὸς δὲ τοὺς κολασσαεῖς ταῦτα διέξεισιν, εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, — κολασ: β΄.
ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμὶ χαίρων, καὶ βλέπων τὴν τάξιν καὶ τὸ στε-
35 ρέωμα τῆς ἐν χριστῷ πίστεως ὑμῶν. σὺ δὲ δῆλος εἶ μὴ βουλόμενος τοὺς λε-
γομένους ἑνὶ ἔθνει ἐπαίνους παρὰ τοῦ μακαρίου Παύλου, τοῖς ἄλλοις αὐτοῦ πιστοῖς
μαθηταῖς μὴ ἁρμόζειν. διὸ καὶ τὴν πίστιν ἐν τοῖς ῥωμαίοις μόνοις περιγράφεις,
ἐν δυσὶ τούτοις ἁμαρτάνων, τὸ μὲν ὅτι οὐ μόνοις ῥωμαίοις τὴν πίστιν προσμαρ-
τυρεῖ Παῦλος, ἀλλὰ καὶ τοῖς ἄλλοις αὐτοῦ μαθηταῖς. τὸ δὲ ὅτι ῥωμαίοις μόνοις
40 ἰουδαϊκῶς ἄγαν, τὴν πίστιν διορίζεις. ἔλθωμεν δὲ καὶ εἰς τὰς μαρτυρίας, καὶ
εἰς τὰς λύσεις τῶν ἀποριῶν.

Εἰς τὸ πρῶτον τοῦ ἱερομάρτυρος Κυπριανοῦ ζητήματος, ἀπεκρίνατο· εἰ καὶ ὀρθῶς, εἴπερ τὸ πνευματικῶς εἰρημένον, πνευματικῶς αὖ ἐξείληφας καὶ οὐ σαρκικῶς. ὡς ἂν εἴποις λέγει. οὐ χωρεῖ εἰς χριστιανὸν μισαδελφία. μὴ γὰρ οὐκ εἰσὶ καὶ χριστιανοὶ μισάδελφοι; ἀλλὰ σαρκικῶς ἐκλαμβάνεται τότε ὁ χριστιανὸς ὡς ἄνθρωπος, οὐ πνευματικῶς, ὡς ὀφειλέτης ὢν συσταυρωθῆναι Χριστῷ, καὶ νεκρῶσαι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. κατὰ τὸ Ἰωάννου ἐν πρώτῃ ἐπιστολῇ κεφ: γ΄: πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ. καὶ κατὰ τὸν Παῦλον εἰς τὴν πρὸς ῥωμαίους ἐν κεφαλαίῳ ὀγδόῳ λέγοντα. ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκὶ, τοῦ κατὰ σάρκα ζῆν. ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ· τοιγαροῦν καὶ ὁ θεόσοφος κυπριανὸς εἰς τοὺς ῥωμαίους (εἴγε καὶ λέγει) πνευματικῶς ἐκλαμβάνει, ὡς ὑπὸ Παύλου τοῦ τὴν ἐπαινουμένους ἐπὶ πίστει. οὕτω γὰρ καὶ τὰ γνωμικὰ ἀποφαίνονται, φιλόσοφος ὁ μὴ ψευδόμενος, ἑλληνικὸν τὸ ἐλεύθερον. βασιλικὸν τὸ εὐεργετεῖν. χριστιανὸς ὁ ὑπὲρ σάρκα ζῶν. καὶ τὰ τοιαῦτα. τοῦτ' αὐτὸ νοεῖ καὶ ὁ ἀπόστολος πρὸς ῥωμαίους γράφων ἐν κεφ: θ΄: οὐ πάντες οἱ ἐξ ἰσραὴλ οὗτοι ἰσραήλ. οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ πάντες τέκνα. ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, τουτέστιν οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. καὶ ἐν τῷ δευτέρῳ ταύτης κεφαλαίῳ οὐχ ὁ ἐν τῷ φανερῷ, ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή. ἀλλ' ὁ ἐν τῷ κρυπτῷ, ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι. καὶ γαλάταις ἐν κεφαλαίῳ τρίτῳ λέγει. γινώσκετε ἄρα, ὅτι οἱ ἐκ πίστεως, οὗτοι εἰσιν υἱοὶ ἀβραάμ, καὶ οἱ ἐκ πίστεως, εὐλογοῦνται σὺν τῷ ἀβραάμ, τοιγαροῦν ἵνα τοῦ ἱερομάρτυρος τὸν πρὸς ῥωμαίους ἔπαινον ὅλως ἀποδεξώμεθα, πνευματικῶς ἐκληπτέον τοὺς ῥωμαίους, κατὰ τοὺς τότε υἱοὺς τῶν ἀποστόλων, ἢ μᾶλλον εἰπεῖν Θεοῦ. καὶ οὕτω πνευματικῶς οἱ ῥωμαῖοι, καθὼς λεγόμεθα καὶ ἰσραηλῖται. καὶ τέκνα Ἀβραάμ. κατὰ τὸ πρὸς γαλάτας ἐν κεφαλαίῳ τρίτῳ. εἰ δὲ ὑμεῖς Χριστοῦ ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι, γίνεσθε οὖν πνευματικῶς ῥωμαῖοι, καὶ τὸ ἀναμάρτητον ἕξετε περὶ τὴν πίστιν. τοῦτο δὲ, οὐ καινοτομοῦντες περὶ τὰ δόγματα δείξατε, ἀλλὰ τὰς παραδόσεις τηροῦντες ἃς παρελάβετε.

Α΄: ἰωάν. κεφ: γ΄ ,,
Παῦλος ῥωμ: ,,
κεφ: η΄: ,,
ὁ αὐτὸς κεφ: θ΄. ,,

β΄ Τὸ δεύτερον τὸ ἐκ Θεοδωρήτου παραληφθέν σοι οὐδὲν συμπεραίνει εἰς τὸ τῆς πίστεως τῶν ῥωμαίων ἀναμάρτητον.

γ΄ Ἀλλὰ τὸ τρίτον τὸ ἐκ τοῦ ἱερωνύμου, ὁμοίως, ἢ καὶ πρὸς τὸ κυπριανοῦ πρῶτον ἀποκρινόμεθα. ἢ ὅτι καὶ πρὸς λατῖνον λατῖνος ἀντιστρεφόμενος, εὐλόγως τὸ τῶν λατίνων ῥωμαϊκὸν προήνεγκε χρησμολόγημα. πρὸς δὲ τὸ δεύτερον ἀντιστρέφομεν. ὅς τις ἂν ἧς καινῶν δογμάτων καταγγελεὺς, δέομαί σου, φεῖδου ῥωμαϊκῶν ὤτων, φεῖδου πίστεως ἀποστολικῇ φωνῇ ἐπαινεθείσης. μὴ τὰς περὶ πίστιν καινοφωνίας προστίθεσθε, ἀλλὰ καὶ τῆς τοῦ λέοντος Πάπα. τρίτον, πίναξιν ἀργυροῖς προστεθειμένοις ὑπείκετε, ἀνδρὸς τοσαύτης νίκης, καὶ ἀκαινοτόμητον, καὶ ἀπαράτρωτον, τὸ παραδεδομένον ἀναγινώσκοντες σύμβολον, καὶ ἵν' εἴπω κατὰ Παῦλον, κρατεῖτε τὰς παραδόσεις, εἴτε διὰ λόγου, εἴτε διὰ γραφῆς. τὸ φιλάδελφον ἐγκολπώσασθε.

τὸ φίλαρχον καὶ τυραννικὸν ἐάσατε, ὡς πρέπει ῥωμαίοις, καὶ ἀποστόλων παισί, τοῖς παρὰ πατρὸς φιλοστόργου ἀκούουσι τὰ δέοντα. φησὶ γὰρ ἐν Χριστῷ Ἰησοῦ ἐγὼ ὑμᾶς ἐγέννησα, παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

5 Πρὸς δὲ τὸ τέταρτον τοῦ θεολόγου, οὐδὲ ἀπ' αὐτοῦ συνάγεις τὸ ἀναμάρτητον, εἰ μὴ ὅτι μέχρι τότε τὴν ὀρθὴν εἶχε πίστιν, ὡς πρέπει, βασιλίδι τῶν πόλεων οὔσῃ. οὐ μὴν διδάσκει μηδαμῶς ἐκπεσεῖν δύνασθαι τῆς ὀρθότητος, ὃ προεβέβλητο εἰς ἀπόδειξιν, ὥσπερ εἴπῃς φαίη, πρέπει χριστιανῷ, μὴ ἀδικεῖν. οὐ μὴν ἐπιβεβαιοῦται, μὴ δύνασθαι ἀδικεῖν. Δ'

10 Πρὸς τὸ εἰρηναίου, οὐ θαυμαστὸν τὸν θρόνον ῥώμης ὑποκείμενον, τοὺς ὑπ' αὐτὸν εἰς τὴν τελείαν αὐτῆς ὑποταγὴν πειρώμενον ἀνακαλέσαι, ἀλλὰ δὴ καὶ τοὺς ἁπανταχοῦ εἰς τὴν αὐτῆς ἕνωσιν διὰ τὴν ἰσχυροτέραν ὥς φησιν ἀρχαιότητα, ὥστε συνάγομεν ἐκ τούτου, σύγκρισιν πρὸς αὐτὴν, καὶ Ἀλεξανδρείας καὶ ἀντιοχείας. τὸ δὲ ἰσχυρότερον τῆς ἀρχαιότητος τῇ ῥώμῃ προσαπονέμομεν. Ε'

15 καὶ διὰ τὸν χρόνον, ὅτι ἐκ πέτρου. καὶ διὰ τὴν ἁγιότητα τῶν προεδρευσάντων, καὶ διὰ τὸ πλῆθος τῶν μαρτύρων ἐκεῖ διαγωνισαμένων, καὶ διὰ τὸ ἀρχαῖον τῆς πόλεως, καὶ διὰ τὸ πλείστας ὑπ' αὐτὴν ἐπαρχίας τελεῖν, οἷα ἡ ἑσπέρα σχεδὸν ἅπασα, καὶ τέλος διὰ τὸ συγκρίσει πρὸς τὰς λοιπὰς ἁπάσας ὑπερέχειν. δεῖ τοιγαροῦν ἑνῶσαι ἤτοι συναθροῖσαι οἰκουμενικῇ ταύτην προστάσσεσθαι, τὰς λοι-

20 πὰς εἰς αὐτὴν συνέρχεσθαι, οὐχ ὑποταγῆς ἀνάγκῃ, ἀλλὰ τάξεως καὶ ἑνώσεως νόμῳ, ἔδει σε μᾶλλον προσέχειν τοῖς τῷ ἱεράρχῃ ῥηθεῖσιν, ὅτι μέχρι τότε ἐν ῥώμῃ διεφυλάχθη τῶν ἀποστόλων ἡ παράδοσις. καὶ θαυμάζειν πῶς κατὰ τὴν προφητικὴν τοῦ ἀποστόλου φωνὴν (ἐν τῇ πρὸς Τιμόθεον πρώτῃ καὶ κεφ: δ':) ἀπέστησαν ἐν ὑστέροις καιροῖς τῆς ἀκριβοῦς πίστεως (καὶ παραδόσεως) προσέχοντες

25 πνεύμασι πλάνοις καὶ διδασκαλίαις ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν συνείδησιν.

ΣΥ΄ΝΟΨΙΣ.

Καὶ συμπέρασμα τῆς πρὸς παλῆς αὐτῶν ἀποδείξεως.

Συνάγεις ἐκ τῶν εἰρημένων, ἐπειδήπερ ἕως τῆς συντελείας ἡ ἐκκλησία

30 διαμενεῖ, ἔστι ἀναγκαίως καὶ τὸ ἀνέκλειπτον τῆς πίστεως. ὑποτίθεσαι δὲ ψευδῶς ἐν πέτρῳ μόνῳ ἐπηγγελμένον τῇ ἐκκλησίᾳ τὸ ἀνέκλειπτον τοῦτο, ὥστε τοῦ πέτρου προσωπικῶς, ὡς θνητοῦ ἐκλείποντος, διαβαίνειν τὴν ἐπαγγελίαν εἰς τοὺς διαδόχους αὐτοῦ.

Α΄ΠΟ΄ΚΡΙΣΙΣ

35 Ἡμεῖς λέγομεν, ὅτι οὔτε μόνῳ τῷ πέτρῳ ἐπήγγελται, οὔτε ἅπαξ ἐπήγγελται, ἀλλ' ἐν προσώπῳ πέτρου πᾶσιν, ὡς προτέτακται διὰ τοῦ, ἐπὶ ταύτῃ τῇ πέτρᾳ, (ἤτοι τῆς ὁμολογίας) καὶ πάλιν ἐνταῦθα θεωρητικώτερον σχολῇ δείκνυται, παρὰ τῷ θείῳ λουκᾷ, ἐν κεφ: ἐννάτῳ, μετὰ τὴν ὁμολογίαν τοῦ πέτρου, εὐθὺς ἐπάγει ὁ εὐαγγελιστὴς, ὅτι ἐπιτιμήσας αὐτοῖς ὁ Κύριος

παρήγγειλε

παρήγγελλε μηδενὶ τοῦτο εἰπεῖν. εἰ τοίγαρ οὖν Πέτρου μόνου ἦν ἡ ὁμολογία καὶ
ἡ ἀποκάλυψις, τούτῳ μόνῳ τῷ ἐμπνευσθέντι καὶ ὁμολογήσαντι, ἔδει ῥητῶς
καὶ παραγγεῖλαι, ἀλλ' οὐ πᾶσι. πᾶσι γοῦν ἐπίσης παραγγείλας, κοινὴν ἐν-
απέφηνε καὶ τὴν ἀποκάλυψιν, καὶ ὡς κοινὴν ἀπεδέξατο πάντων, τὴν ἐκ
στόματος Πέτρου ὁμολογίαν. καὶ κοινὸν ἑπομένως ἀπένειμε τὸν μακαρισ- 5
μόν. ἔτι εἰ τῷ ἀκοῦσαι ῥητῶς μόνον τὸν Πέτρον τὸν Μακαρισμὸν ἀποκλεί-
ονται οἱ λοιποί, ὁμοίως τῷ ἀκοῦσαι ῥητῶς αὐτὸν μόνον, τὸ παρὰ τῷ Ματθαίῳ
ἐν κεφ: ιη: λεγόμενον. τὸ, ἀφήσεις αὐτῷ, οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕ-
ως ἑβδομηκοντάκις ἑπτά, ἐροῦμεν, ὅτι πρὸς αὐτὸν μόνον ἡ ἐντολὴ καὶ οὐ πρὸς
τοὺς λοιπούς, ὅπερ τίς οὐ συνορᾷ ψευδέστατον ἄντικρυς. συμπεραίνει γὰρ μετὰ 10
τὴν παραβολὴν τοῦ ὀφειλέτου τῶν μυρίων ταλάντων πρὸς πάντας λέγων, οὕ-
τω καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ
ἀδελφῷ αὐτοῦ τὰ παραπτώματα αὐτῶν. τί οὖν; πρὸς Πέτρον, καὶ οὐ πρὸς ἄ-
λλους ὁ λόγος; ἐνταῦθα μὲν, ὅτι Πέτρος ἠρώτησε, ποσάκις ἁμαρτήσῃ ὁ ἀ-
δελφός μου, καὶ ἀφήσω αὐτῷ; ἐκεῖ δὲ ὅτι ἐρωτωμένων πάντων, προθυμό- 15
τερος τῶν ἄλλων κατὰ τὸν Κύριλλον, ἢ καὶ ζηλωτικώτερος, προήρπασε κατὰ
τὸν χρυσόστομον τὴν ἀπόκρισιν. ὁ οὖν προαρπάσας καὶ προθυμότερος καὶ ἄλλους
ὁμοίους ἑαυτῷ ὑποτίθεται. μισθὸς οὖν τῆς διὰ στόματος ὁμολογίας ὁ δι' ἀ-
κοῆς αὐτοῦ Μακαρισμός. οὐ γὰρ μόνον πιστεύειν ἀπαιτούμεθα, ἀλλὰ καὶ πο-
λλῷ μᾶλλον ὁμολογεῖν. ὁ γὰρ ὁμολογήσας ὁμολογηθήσεται. καρδίᾳ μὲν πι- 20
στεύομεν εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογοῦμεν εἰς σωτηρίαν. μὴ γὰρ οὐχ ὡ-
μολόγουν καὶ οἱ λοιποί, οἱ ποσάκις προομολογήσαντες; ἀλλὰ καὶ ποσάκις δι-
δαχθέντες, ἀλλὰ καὶ διδάξαντες; καί ποτε μὲν γυνὴ μία Μακαρίσασα τοὺς
μαστοὺς οὓς ἐθήλασεν ὁ Χριστὸς, ἤκουσε καὶ αὐτὴ τὸν Μακαρισμὸν ἀμοιβαῖον.
ἀλλ' οὐ μόνη, ἀλλὰ μετὰ τῶν ἀκουόντων ἁπάντων. ἄρα γε οὖν, κἂν οὐκ ἤ- 25
κουσαν οἱ λοιποὶ ἀπόστολοι, κἂν εἰ μὴ προεπίστευον, ἄρα κἂν ἀκούσαντες οὐκ
ἐπίστευσαν ὕστερον. εἰ μὴ ἄρα λίθινοι καὶ οἱ νεὶ σύκινοι κατὰ τὴν παροιμίαν ἐ-
τύγχανον, ὥστε καὶ γυναικῶν, καὶ τυφλῶν, καὶ παντὸς γένους ἀνθρώπων εἰς
αὐτὸν πιστεύσαντος, οἱ αὐτῷ συνδιαιτώμενοι καὶ καθ' ἑκάστην ἀκούοντες, καὶ
βλέποντες καὶ πεμπόμενοι διδάσκειν ἄλλους καὶ θαυματουργεῖν ἐπιτρεπόμενοι, 30
καὶ οἱ τῶν μαθητῶν μάλιστα ἐκλεκτοὶ, καὶ πεφιλημένοι ἀπιστεῖν ὑπολαμβά-
νοιντο. καὶ πῶς γέγραπται ὅτι ταύτην τὴν ἀρχὴν τῶν σημείων ἐποίησεν ὁ
Ἰησοῦς ἐν κανᾷ τῆς γαλιλαίας, καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ. καὶ
ταῦτα μὲν καὶ ἕτερα. πρὸς τὸ ὅτι ῥητῶς μὲν ὁ Πέτρος μόνος διά τινας
περιστάσεις ἤκουσε τὸν Μακαρισμὸν, ὡς καὶ τὸ ποίμαινε, καὶ τὸ ἐπιστρέψας στήρι- 35
ξον τοὺς ἀδελφούς σου, ἀλλ' ὅτι ἐξ ἀνάγκης καὶ πρὸς τοὺς ἄλλους ἐπίσης ὁ λόγος
ἰθύνετο, ἤδη φθάσαντες ἀπεδείξαμεν. ὅτι δὲ καὶ πρὸς πάντας κοινῶς καὶ πο-
λλάκις ἰσοδυναμα τῶν προκειμένων ἐρρέθησαν ἔσωσαν ἀντὶ πολλῶν ταῦτα. ὡς
τὸ πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον, καὶ τὸ αὐτόθι, ἰδοὺ
ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ τὸ ὅπου 40
εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.

Ματθ: κή

Ματθ: ιή

καὶ τὸ

καὶ τὸ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ [Ἰωάν: ιδ΄]
μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ πνεῦμα τῆς ἀληθείας. ὑμεῖς δὲ γινώσκετε
αὐτό, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται. καὶ πάλιν ὁ παράκλητος τὸ
πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς
5 διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν. καὶ πάλιν, ὅταν
ἔλθῃ ἐκεῖνος τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν.
καὶ πάλιν προσευχόμενος ὁ Κύριος ἐναργέστατα λέγει. πάτερ ἁγίασον αὐ- [Ἰωάν: ιε΄. καὶ ιζ΄]
τοὺς ἐν τῇ ἀληθείᾳ σου. ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι. καθὼς ἐμὲ ἀπέστειλας εἰς
τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον. οὐ περὶ τούτων δὲ ἐρωτῶ
10 μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευσόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ. (ἴδε
διαδοχὴν ἐν τῇ ἐκκλησίᾳ, ἐκ τῶν ἀποστόλων εἰς τοὺς μετ' αὐτοὺς ἕως τῆς συν-
τελείας) ἵνα πάντες ἓν ὦσι. καὶ ἐν τῷ Λουκᾷ, ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, [Λουκ: ι΄]
καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ. καὶ τὸ κἀγὼ διατίθεμαι ὑμῖν βασιλείαν,
καθὼς διέθετό μοι ὁ πατήρ, ἵνα ἐσθίητε, καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου,
15 ἐν τῇ βασιλείᾳ μου. καὶ καθίσεσθε ἐπὶ θρόνων, κρίνοντες τὰς δώδεκα φυλὰς [Ματθ: ιθ΄]
τοῦ Ἰσραήλ. καὶ πλεῖστα ἕτερα παραπλήσια. μῶν οὐ συμπεραίνειν ἐκ τούτων
ἐστὶν ἐναργῶς, ὅτι ἰσοτίμους ἐποίησε τοὺς ἀποστόλους πάντας ὁ Κύριος, οὐδένα
δὲ πρωτιμότερον ἢ ἀξιώτερον, ἢ ἀρχικώτερον; καὶ ἑπομένως τίς οὐ συνίησιν
ἐκ τῶν εἰρημένων, ὅτι ἐν τῇ συνόδῳ μάλιστα τῇ οἰκουμενικῇ τὸ ἀψευδὲς ἐπήγ-
20 γελται ὁ Κύριος, ἐπειδὴ πρὸς πάντας τοὺς ἀποστόλους ὁ λόγος. καὶ εἰς το-
πικὴν δὲ τεκμήρασθαι πρόσεστι σύνοδον, ἀλλ' εἰς τὸ ὄνομα τοῦ Χριστοῦ συναγη-
γερμένην. ποῖον δ' ἐστὶ τοιοῦτο, οὐ τοῦ παρόντος ἐστὶ σκοποῦ, ἱκανὸν τοῦτο
μὴ διὰ πάθη ἀνθρώπινα, ἀλλὰ διὰ ζῆλον θεοῦ συνέρχεσθαι.

ἜΝΣΤΑΣΙΣ

25 Σὺ δὲ περιλαμβάνων πανούργως τὴν ἐρώτησιν, ὅτι μέλλομεν ἐνθεῖναι τὸ
ἀνέκλειπτον τοῦτο ἐν τῇ ἐκκλησίᾳ πάσῃ, σοφιστικῶς δίλημμα μάταιον
κατασκευάζεις. τὸ, πᾶσα ἡ ἐκκλησία ἢ κατὰ πᾶν μέρος αὐτῆς ἐκλαμ-
βάνεται, ὅπερ πέρα ψευδές, ἢ κατά τινα. ποία δ' αὕτη. οὐ μὲν ἡ ἀνα-
τολική, οὐ γὰρ ἔχει ῥητῶς ἐπαγγελίαν ἐκ τῆς γραφῆς. ἄρα ἡ ῥωμαϊκή, ἡ κε-
30 κτημένη ἐν πέτρῳ τὴν ἐπαγγελίαν.

ἈΠΌΚΡΙΣΙΣ

Παραλογίζῃ ὦ βέλτιστε, οὔτε γὰρ κατὰ πᾶν μέρος αὐτῆς ἀψευδῆ τὴν ἐκ-
κλησίαν, οὔτε κατά τι διῃρημένως. εἰ μὴ κατὰ τὴν καθόλου εἰς σύνοδον
συνηγμένην ἐν ὀνόματι Κυρίου. καὶ τὰς κατὰ μέρος ἐνίας, ἀλλ' εἰς
35 τὸ ὄνομα Κυρίου, ὡς ἡ κατὰ Παύλου τοῦ σαμοσατέως δὶς ἐν Ἀντιοχείᾳ τῶν ἑκα-
τὸν ὀγδοήκοντα ἐπισκόπων, πρὸ τῆς ἐν Νικαίᾳ, περὶ τὸ διακοσιοστὸν ἑξηκοστὸν ἕκ-
τον, καὶ διακοσιοστὸν ἑβδομηκοστὸν δεύτερον, ἐπὶ γαλιήνου καίσαρος τὸ πρῶτον,
καὶ οὐαλεριανοῦ τὸ δεύτερον. καὶ ἡ ἐν γάγγρᾳ τῆς παφλαγονίας κατὰ εὐσταθίου,
περὶ τὸ τριακοσιοστὸν εἰκοστὸν τέταρτον. μικρὸν πρὸ τῆς α΄ συνόδου καὶ ἡ κατὰ
εὐτυχοῦς

εὐτυχοῦς ἐν Κωνσταντινουπόλει τὸ πρῶτον ἐπὶ Φλαβιανοῦ περὶ τὸ ͵υμθʹ· καὶ ἑτέρας πλείστας. ὅτι δὲ ἡ Ῥώμη ἔχει κατὰ σὲ τὸ ἀνέκλειπτον τῆς πίστεως ἐν Πέτρῳ ἐξ ἐπαγγελίας, ὤφειλες ὥσπερ πάσας τὰς ἄλλας ἐκκλησίας ἀπέκλεισας, διὰ τὸ μὴ κεῖσθαι ῥητῶς αὐτῶν ἐπαγγελίαν ἐν ταῖς γραφαῖς, οὕτω καὶ ἡμεῖς τὴν σὴν μονωτάτην Ῥώμην ὁμοίως ἀποκλειόμεθα. οὐδὲ ἐν ταῖς γραφαῖς κεῖται, ὡς καὶ ἀληθῶς ἡ Ῥώμη, ἔχει τὸ ἀνέκλειπτον, λείπεται οὖν ἐν Πέτρῳ, ὡς ἐδείξαμεν, πάντας ὑπονοεῖσθαι τοὺς ἀποστόλους, καὶ τοὺς μετ' αὐτοὺς ποιμένας, καὶ τὰς ἁπανταχοῦ ἐκκλησίας εἰς τὸ τοῦ Κυρίου ὄνομα συνηγμένας.

Περὶ τὸ τέλος δοκῶν θριαμβεύειν, εἰς συμβιβάσεις μεθ' ἡμῶν καταλήγεις, ὅθεν ἐπιφέρεις, ὡς δῆθεν ἐπιείκειαν ἐπιδεικνύμενος, ὅτι ἂν μὲν κρείττονα λόγον ἡμεῖς ἀποδείξωμεν, ἵν' ὑμεῖς πρὸς ἡμᾶς αὐτομολεῖτε. ἂν ἀδυνατήσωμεν πρὸς τοὺς παρ' ὑμῶν προβεβλημένους λόγους, ἵνα γενώμεθα ἓν μεθ' ὑμῶν τῶν λατίνων, ἀνδ' ἰσοπαλὴς ὁ ἀγὼν, ἕκαστος τοῖς οἰκείοις προσμενέτω. καὶ ταῦτα μὲν αὐτός, ἡμεῖς δὲ τὴν συμφωνίαν μετὰ τῶν ἀδελφῶν ἡμῶν ἐν πᾶσιν ἀείποτε σπουδάζοντες, ἐν τοῖς περὶ πίστεως μάλιστα ταύτην ἀσπασίως ἀποδεχόμεθα, ἀλλ' ἰδοὺ σαφῶς τὰ προτεθειμένα παρὰ σοῦ διελύσαμεν. φιμὸς ἐπίκειται τοῖς ἀντιλέγειν ἐθέλουσι, καὶ ταύτας τὰς ἐπιβολὰς ἡμεῖς ἀποκρούοντες· ἐὰν δ' ἡμέτερον ἐγένετο ἂν τὸ προσβάλλειν, συνορῶ, ὅτι πρὸς τὰς ἐπιθέσεις ἀντιστῆναι μὴ δυνάμενοι, χεῖρας ἂν ὠρέξατε πρὸς τὴν τῆς εἰρήνης ὁμόνοιαν, πᾶσαν λογομαχίας ἔριν ἀποτινάξαντες. ὃ καὶ δωρήσαιτο Κύριος ἀμφοτέροις ἡμῖν, ἵν' ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ καταντήσαι εἰς τὴν ἑνότητα τῆς πίστεως, εἰς ὁλοσχερῆ τῆς μετὰ τῶν πρωτοτόκων πανηγύρεως ἐν ὑψίστοις συνάφειαν.

ΤΜΗ̃ΜΑ Δʹ

Δείκνυται ἡ θέσις ἐκ τῆς παναρμονικῆς τοῦ ἐκκλησιαστικοῦ πολιτεύματος ἁρμονίας.

Ὅσῳ μὲν ἀλλοτριώτερον τῆς ἀληθείας τὸ μοναρχικὸν ἐν τῇ καθόλου ἐκκλησίᾳ, τοσούτῳ διεξοδικώτερον ἐνεστήσω διὰ πειστῆς καὶ ἀηδοῦς μακρολογίας περὶ ἔλπισε τοὐπιχείρημα, εἰς τέσσαρα θεωρήματα διελὼν σου τὸ τμῆμα, δώδεκα πλήρεις μεγάλους χάρτας ἐμπλήσας μέλανος, οὐδὲ εἴποιμι λόγων, μήτιγε πιθανολογίας, λημμάτων δὲ πλείστων, εἰς δογματικὴν οὐδὲν ἀνηκόντων ὑπόθεσιν. πλὴν ἡμεῖς διὰ βραχέων οὕτως εἰς τὸ συνοπτικώτερον διεξάγομεν. ἔστω σοι τοίνυν τὸ θεμέλιον τοῦ λόγου τοῦτο· ἡ ἀληθὴς τοῦ θεοῦ ἐκκλησία ἐστί τις μοναρχία. ἡ λατινὶς καὶ μετὰ τὸν χωρισμὸν τῆς ἀνατολικῆς μένει μοναρχία, ἡ δὲ ἀνατολὶς ἀριστοκρατία. ἄρα ἡ λατινὶς καὶ οὐχ ἡ ἀνατολικὴ ἐστὶν ἀληθὴς τοῦ θεοῦ ἐκκλησία. καὶ τὴν μὲν ἐλάττω ἅτε νομίζων ὁμολογουμένην παρέδραμες. τὴν μείζονα διττῶς ἀποδεικνύεις. πρῶτον, τύποις καὶ ἀλληγορίαις εὐαγγελικαῖς, τῷ λέγεσθαι βασιλείαν, ποίμνην, οἶκον, σῶμα, καὶ ἕτερα τοιαῦτα, οἷς ἀναλογεῖ τὸ ἕν, καὶ μοναρχικὸν. οἷον βασιλεύς, ποιμὴν, οἰκοδεσπότης, κεφαλή. δεύτερον, διὰ λόγων καὶ ἐπιχειρημάτων, ὅτι ἄριστον ἐν πολιτεύμασι τὸ μοναρχικὸν. ἀλλὰ μὴν ἡ ἐκκλησία πολί-

σία πολίτευμα ἐστὶν ἄριστον, ἄρα μοναρχικόν, τὸ δὲ μοναρχικόν. ἐπειδὴ κιν-
δυνεύει περὶ τυραννίδος, συγκεραννύεσθαι τῇ ἀριστοκρατίᾳ οὕτω κατασφίζη,
ὥστε μένειν μὲν τὸ μοναρχικόν, συνέχεσθαι δὲ ὡς βουλῆς τύπῳ τὸ ἀριστοκρατι-
κόν. κἂν ταῦτα ὅτε μὲν οὐ κατὰ κληρονομίαν, ἀλλὰ κατ' ἐκλογὴν ἄμφω
5 συνίσταται, οὐρανοειδὲς καὶ ἄριστον τότε τὸ πολίτευμα, οἷον καὶ πάλαι νενο-
μοθέτηται τῷ ἰσραηλίτῃ λαῷ εἰς ἄρχοντας τοῦ λαοῦ, καὶ χιλιάρχους καὶ ἑκατον-
τάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκάρχους, διῃρημένη. Μετὰ ταῦτα εἰς
τέσσαρα θεωρήματα διαιρεῖ τὸ προκείμενον.

Ἐν τῷ α΄, δεικνύεις τὸ μοναρχικὸν κρεῖττον ἀριστοκρατίας καὶ δημοκρατίας.
10 Ἐν τῷ β΄, τὴν ἐκκλησίαν μὴ εἶναι δημοκρατίαν.
Ἐν τῷ γ΄, εἶναι τὴν ἐκκλησίαν μοναρχίαν διατεθειμένην.
Ἐν τῷ δ΄, εἶναι τὴν ἐκκλησίαν ὁρατήν, καὶ χρῄζειν ὁρατῆς κεφαλῆς ὑπὸ
τὸν Χριστόν. ταύτην δὲ εἶναι τὸν Πάπαν.

ἈΠΆΝΤΗΣΙΣ

15 Καὶ ταῦτα μὲν ἡμῖν σὺ ὁ νέος φιλοπλάθων πλάτων, περὶ πολιτείας
νομοθετεῖς. ἀρχόμενοι δὲ ἡμεῖς τῆς ἀπολογίας, λέγομεν τὴν καθόλου ἐκ-
κλησίαν μὴ εἶναι ὁποιουοῦν ἀνθρώπου μοναρχίαν, ἀριστοκρατίαν δὲ παν-
τὸς ἀνθρώπων, ὑπὸ μονάρχην Χριστόν. κἀκ τούτου ἀντιστρέφομεν τὸν συλλογι-
σμόν. ἡ ἀληθὴς καὶ καθόλου ἐκκλησία ἐστὶν ἀριστοκρατία ὑπὸ μονάρχην
20 Χριστόν. ἡ καθολικὴ σύμπασα τοιαύτη, καὶ οὐχ ἡ λατινίς. ἄρα. ὅτι δὲ ἀριστο-
κρατία, πρῶτον πείθει ἣν ὁ θεάνθρωπος νομοθέτης κατ' ἀρχὰς οὕτω διὰ δώ-
δεκα ἀποστόλων συνέστησε. Β΄, δι' ὧν εἰς τὸ καθεξῆς τοιαύτη διαμεμένηκε.
Γ΄, δι' ὧν αἱ οἰκουμενικαὶ σύνοδοι κανονικῶς διατέθεισαν εἰς πέντε κορυφὰς
ἐξόχους τὴν ἐκκλησίαν πᾶσαν ἀναδειξάμεναι. Δ΄, δι' ὧν οὕτως ἡ τυραννὶς
25 ἀπείργεται ἐν ἀδελφοῖς, ἣν περιφανῶς κατὰ τῆς δύσεως οἱ ῥώμης ἐπιτηδεύουσι.
Ε΄, δι' ὧν θαυμασιώτερον διαπρέπει ἐν τοῖς διεστηκόσι καὶ μὴ ἀλλήλοις ὑπο-
κειμένοις ἡ παρὰ Χριστοῦ διατεταγμένη εἰρήνη τε καὶ ὁμόνοια, κατά τε πίστιν καὶ
εὐταξίαν. θαυμαστὸν γὰρ οὐδέν, ὅπου εἷς ἐξουσιάζει, καὶ μίαν εἶναι πᾶσι τοῖς ὑπὸ
χεῖρα πολιτείαν. τοῦτο γὰρ κἂν τοῖς ἀπίστοις ἔθνεσιν ἐπιφαίνεται, καὶ πάλαι
30 καὶ νῦν διαπραττόμενον. ἀλλ' ὅπου πολυαρχία καὶ κατὰ πάντα πρὸς ἀλλήλους
συμφωνία, τοῦτο ὑπερφυὲς καὶ θεόθεν χορηγούμενον, ὡς παρ' ἡμῖν τέσσαρας
θρόνους ἀποστολικούς, προστεθέντος καὶ ἑτέρου μεγίστου Πατριαρχικοῦ τοῦ Μο-
σχοβίας. ἔτι καὶ παλαιοτάτων ἄλλων τοῦ κύπρου, καὶ Βουλγαρίας, τῶν τε καθο-
λικῶν Ἰβηρίας. καὶ ὅμως τοσούτων ὄντων, καὶ τοσοῦτον ἀλλήλων διεστηκότων.
35 ἔτι δὲ καὶ ἑτερογλώσσων, καὶ οὐχὶ καθ' ὑμᾶς ἀναγκαζομένων, καὶ φωνῇ
λατινίζειν τῶν ὑποκειμένων ἐθνῶν. τίς οὐ θαυμάσειεν ἀδιάρρηκτον μένειν
ὑπ' ἀλλήλων, ἐπὶ τοσούτοις αἰῶσι, τὴν ἀδελφικὴν ἐν Χριστῷ εἰρήνην τε, καὶ
τάξιν καὶ ὁμόνοιαν.

Πρὸς τοὺς εὐαγγελικοὺς τύπους, λέγομεν, ἀληθῶς σημαίνεσθαι τὸ μοναρχικόν,
ὃ καὶ ἡμεῖς ἐν ταῖς κατὰ μέρος ἐκκλησίαις ὁμολογοῦμεν. ἔσω γὰρ μικρο-

πρεπέστερον τὸ πολίτευμα, τοσούτῳ μοναρχικώτερον. δεῖται γὰρ μικρᾶς ἐπιστασίας. ἀλλ' ἔστι καὶ ἀτελεστέρα, ὅτι ὑπὸ τελειοτέραν τελεῖ. οἷαι ἐν ταῖς κώμαις διὰ πρεσβυτέρων, καὶ ἐν ταῖς πόλεσι διὰ ἐπισκόπων. ὅσῳ δὲ μεγαλοπρεπέστερον τὸ πολίτευμα, καὶ εἰς πλείονας ἐπιστάτας ἐκτεταμένον, τοσούτῳ λείπεται μοναρχίας, ἔχεται δὲ ἀριστοκρατίας. δεῖται γὰρ πολλῶν εἰς ὀρθὴν, οὐχ ἑνὸς ἀλλὰ πολλῶν λαῶν διακυβέρνησιν. οἷαι αἱ μητροπόλεις, οὐ καθὸ πόλεις, (τότε γὰρ σώζουσι τὸ μοναρχικὸν) ἀλλ' ὡς ὑφ' ἑαυτὰς ἔχουσαι πόλεις, ἐπισκόπους τε, καὶ λαοὺς πολλοὺς, οὓς οὐχ ὁ μητροπολίτης διοικεῖ, ἀλλ' ἕκαστος ἐπίσκοπος πλὴν εἰς συνόδους, καὶ ἐκκλήτους, καὶ ἀνακρίσεις, καὶ ὅσα τοιαῦτα. τότε ὁ μητροπολίτης (καὶ ἀναλόγως ὁ Πατριάρχης) οὐ μόνος τὰ προσκύπτοντα μεγάλα, οἱονεὶ δόγματα, χειροτονίας, καθαιρέσεις, οὐ μόνος φημὶ δύναται, ἀλλὰ μετὰ τῶν ἀδελφῶν διατάξασθαι. καὶ ταῦτα διαγορεύουσιν ἄνωθεν ἀποστολικοὶ καὶ συνοδικοὶ κανόνες, οὓς παρειάγειν, διὰ τὸ προφανὲς, περιττόν. ἀντὶ πολλῶν ἀρκείτω ὁ τριακοστὸς τέταρτος τῶν
„ ἀποστόλων, οὕτω λέγων, συνόπτως μὲν, αὐτολεξεὶ δὲ, τοὺς ἐπισκόπους
„ ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον. τούτους μὲν πράττειν μό-
„ νον τὰ πρὸς τὰς ὑπ' αὐτὸν χώρας ἀνήκοντα (ἴδε τὸ μοναρχικὸν) ἐκεῖνον
„ δὲ μηδὲν ποιεῖν ἄνευ τῆς πάντων γνώμης (ἴδε τὸ ἀριστοκρατικὸν) προσθή-
„ σω καὶ τὸν :λζʹ. ἔτι τῆς :ιδʹ: καὶ :ϛʹ τῆς πρώτης συνόδου. δὶς τοῦ ἔτους γινέ-
„ σθωσαν αἱ σύνοδοι καθ' ἑκάστην ἐπαρχίαν. ἔνθα κοινῇ ἐξεταζέσθω περὶ τῶν
„ ἀποβληθέντων, καὶ ἄλλων ζητημάτων. ἐὰν δὲ τῇ κοινῇ πάντων ψήφῳ εὐλό-
„ γῳ οὔσῃ, καὶ κατὰ κανόνα δύο ἢ τρεῖς δι' οἰκείαν φιλονεικίαν ἀντιλέγωσι, κρα-
„ τείτω ἡ τῶν πλειόνων ψῆφος. (ἴδε τὸ ἀριστοκρατικὸν) πρὸς δὲ τὸ :ϐʹ: λόγον, ὅτι ἄριστον τὸ μοναρχικὸν εἴπομεν τὰ νῦν ἱκανῶς. καὶ ἴωμεν ἤδη καὶ εἰς τὰ θεωρήματα.

Καν: λδʹ.

Καν: λζʹ.

ΘΕΩΡΗΜΑ Αʹ

Ὅτι κρείττων ἡ μοναρχία, ἀριστοκρατίας, καὶ δημοκρατίας.

Ἐνταῦθα μὲν μάρτυρας ἐκ παντοίου γένους προφέρεις, οὐδαμῶς τῇ ὑποθέσει συμβάλλοντας. τὸ δέ σου κυριώτερον ἐκφιλοσοφεῖν τὰ θεῖα προηγ... οὐδέν. πολλὰ μὲν εἶχες εἰς πολυμαθείας ἔνδειξιν ἐπισωρεῦσαι ἀπὸ τοῦ :ηʹ: τῶν ἠθικῶν ἀριστοτέλους, καὶ ἀπὸ τῶν τούτου πολιτικῶν :γʹ: δʹ: :εʹ: καὶ ἕκτου, καὶ :αʹ: τῶν ῥητορικῶν. μιᾷ δὲ σὺ χρησάμενος ῥήσει παρ' ἑκάστου, ἐκ τῶν παλαιῶν σοφῶν τινας προσεκόμισας, οἱονεὶ κατὰ ῥήτορας πείθων, καὶ τὸ ἐλλόγιμον τῆς πολυμαθείας ἐπιδεικνύμενος. Φίλωνα δῆθεν καὶ Ἀθανάσιον, κυπριανόν τε, καὶ πλάτωνα, ἰσοκράτην τε καὶ ἡρόδοτον, καὶ τέλος τὸ τοῦ ὁμήρου θρυλλούμενον. οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω. ἡμεῖς συντόμως ἀποκρινόμεθα. Πρῶτον μὲν, τὸ μοναρχικὸν πολὺ μὲν ἄριστον, ὅταν ἄριστος ὁ τὴν ἀρχὴν διέπει καθ' ἡρόδοτον βιβ: γʹ: ἄριστον δὲ τυγχάνει ἀεὶ, δυσχερέστατον, ἢ καὶ πάντως ἀδύνατον. εἴγε ἀμοιβαίαις ὑπόκειται ἡ φύσις μεταβολαῖς. καὶ ἐξ ἐπαγωγῆς μόνης τῆς τῶν ῥωμαίων βασιλείας, θεώρησον ἐντυγχάνοντα

κοντα τοῖς βασιλεῦσι μέχρι Κωνσταντίνου, καὶ ἐν ἑκατὸν περίπου ἀπὸ Κωνσταν-
τίνου, πόσοι οἱ ἀγαθοί; μόγις εἴκοσι, κἂν τῇ τῶν ἰουδαίων βασιλείᾳ ἐν εἴκοσι καὶ τέ-
σσαρσι, μόγις ἑπτά, καὶ οὗτοι διὰ θεοσέβειαν εὐτυχεῖς, κἂν τοῖς βασιλεῦσι τοῦ
Ἰσραὴλ ἐννεακαίδεκα ἀριθμημένοις, οὐδείς. πλὴν ἀλλ' ὅπουγε τὸ στρατιωτικὸν
5 ἐν ἀκμῇ πολέμου ἐπίκειται, ἀναγκαῖον τὸ μόναρχον. οὐ γὰρ ἐνδέχεται συμβουλὴν
καὶ ἀναβολήν. ὁμοίως καὶ τὸ ἐν κινδύνοις ναυτικὸν διὰ τὴν ἀνάγκην. καὶ τὸ οἰκο-
δεσποτικὸν διὰ τὴν ὀλιγανδρίαν, ἢ καὶ τὸ φύσει κύριον. ἐν τοῖς λοιποῖς δὲ καὶ
λυσιτελέστατον καὶ μονιμώτερον ἡ ἀριστοκρατία. οὐ μὴν, ἣν διαβάλλεις εἰς
πολυαρχίαν, οὐ γὰρ ἕκαστος ἄρχει τῶν ἀρίστων, ἀλλὰ πάντες ὁμοῦ βουλῇ
10 καὶ γνώμῃ μιᾷ. καὶ τούτων αἱ ἐκλογαὶ, καὶ αἱ ψῆφοι, καὶ αἱρέσεις ὀρθότεραι,
καὶ τοῦ δικαίου τὸ διανεμητικὸν ἐπ' ἀρετῇ καὶ κακίᾳ κατὰ τὸ προσῆκον πέφυκε. δυ-
σχερῶς γὰρ ἀπατῶνται, ἢ διαστρέφονται οἱ ἀριστοκρατοῦντες, ἢ φθείρονται δώροις
καὶ προσπαθείαις, ἔτι ἀσφαλέστερον τὸ κοινὸν καὶ κοινωνικώτερον. ἐνταῦθα τὸ
ἀγαθὸν, οὐχ ὥσπερ ἡ στάσις ἔχει ῥᾳδίαν, ἢ καὶ ἡ τυραννὶς, καὶ αἱ ἐπιβουλαὶ,
15 πολλοὶ γὰρ οἱ γρηγοροῦντες καὶ ἐπισκοποῦντες, καὶ ἄλλα δὲ πολλὰ τῇ ἀριστοκρα-
τίᾳ πρόσεστιν ἀγαθὰ, ἃ τῆς κατ' ἀκρίβειαν μοναρχίας λείπεται, μὴ κατ'
ἀνάγκην βουλῇ χρωμένοις, ἀλλὰ διὰ συμβουλὴν ὡς τὰ πλεῖστα, καὶ κατὰ προαί-
ρεσιν τοῦ κρατοῦντος. τί δέ σου τὰ παραδείγματα βούλονται, ὅτι ἐξ ἑνὸς πᾶν
γένος ἀνθρώπων ἐποίησεν ὁ θεὸς κατὰ τὸν ἀπόστολον, εἰ μὴ εἰς οἰκοδεσποτείαν. ἢ κατ'
20 ἀλληγορίαν, ἐξ ἑνὸς ἀνθρώπου ἐπουρανίου ἐποίησεν ὁ θεὸς πᾶν γένος ἀνθρώ-
πων σωζομένων, τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῖς Πατριάρχαις Ἀβραάμ, Ἰσαάκ, καὶ
Ἰακὼβ λέγομεν. φύσει γὰρ μονάρχης ὁ Πατὴρ, καὶ ὁ οἰκοδεσπότης. τί δέ σου
ὑπεραγωνίζεται τῆς γνώμης τὰ τῶν θεοκρίτων κριτῶν ὡς μοναρχησάντων,
ὅπου τούτων ἄριστοι καὶ ἐκ θεοῦ ἐκλελεγμένοι, καὶ θεῷ χρησμοδοτούμενοι, καὶ
25 τὰ πλεῖστα στρατιωτικαῖς ἀνάγκαις; ἅπερ καὶ ὁμολογουμένως ὑπερευχόμεθα,
τοιούτους μονάρχας πρὸς θεοῦ τοῖς ἀνθρώποις προχειρίζεσθαι. ἐν γὰρ ἡγεμόσι
τρισὶν ἀπὸ Μωσέως, καὶ κριταῖς ἑκκαίδεκα ἀπὸ Γοθονιὴλ (πλὴν τοῦ αὐταρχή-
σαντος, ἢ μᾶλλον τυραννήσαντος Ἀβιμέλεχ, υἱοῦ νόθου τοῦ Γεδεὼν,) πάν-
τες ἄριστοι καὶ εὐδαιμονέστατοι, προβαλλομένου δῆθεν τοῦ θεοῦ τούτους. τίς γὰρ θεο-
30 σοφώτερον Μωϋσέως; τίς στρατηγικώτερον Ἰησοῦ; τίς ἰσχυρότερον Σαμψῶνος;
ἵνα κατὰ τὴν συμβαίνουσαν ἀπαρίθμησιν, τίς Σαμουὴλ ἁγιώτερον; καὶ ἐκ τῶν βασιλέων
τίς γενναιότερον Δαβίδ; τίς εὐδαιμονέστερον Σολομῶντος, κἂν τοῖς μετὰ τὴν ἐπάνο-
δον; τίς τοῦ Ζοροβάβελ κυριώτερον, τίς τῶν Μακκαβαίων θεοσυνεργέστερον;
πάντα καὶ ἀποδεχόμεθα καὶ εἰς αἰώνιον μοναρχίαν (εἴθε γένοιτο) ἐπιποθοῦμεν.
35 μὴ γὰρ καὶ τοὺς Ῥώμης ἄρξαντας ἢ προεδρεύσαντας τοιούτους παραστῆσαι δύνασθε,
ὥσπερ καὶ τοὺς ἀποστόλους; εἰ καὶ οὐδέον διὰ τὸ τὴν ἐκκλησίαν ἄλλως διατεθῆναι
ὑπὸ τοῦ νομοθέτου θεοῦ, ὅμως οὐκ ἀποστέργομεν. δότε Πέτρον αἰωνίως ποι-
μαίνοντα, καὶ μοναρχείτω τῆς ἐκκλησίας ἁπάσης, εἰ διαδέξεται Κλήμης, ἄ-
ριστος μὲν, ὑποδεέστερος δέ. καὶ τούτου πάλιν Ἀνάκλητος, καὶ πολὺ τούτου
40 Ἀλέξανδρος, ἐφ' οὗ ἀρχὴ καινοτομίας, ἤδη ἀζύμων νομοθετουμένη θυσία,
καὶ πλέον τούτου Εὐέκτωρ ἀποσχίζων διὰ τὸ πάσχα τὰς ἀσιάτιδας ἐκκλησίας.

Ἴσος τούτου καὶ Κορνήλιος, διαμαχόμενος πρὸς Κυπριανὸν περὶ τοῦ τῶν αἱρετικῶν βαπτίσματος. πάντων δὲ ἐλεεινότερος ὁ θύσας εἰδώλοις, Μαρκελλῖνος, εἰ καὶ ἀνδρείως ἐπανεπάλαισε δεύτερον. ἀγαθὸς μὲν ἐν τοῖς καιροῖς τῶν χριστιανῶν βασιλέων Λιβέριος, ἀλλ' ὤκλασεν ἐν τῇ ἐξορίᾳ. Φῆλιξ δ' ὁ διαδεξάμενος τοῦτον, οὐχὶ συμμύστης ἀρειανῶν; Δάμασος οὐχὶ τῆς τούτου συμμοιρίας, καὶ τὸν θρόνον ὅπλοις ἐκτήσατο; Ἰννοκέντιος οὐχὶ τῷ περὶ τὸ ὑπὲρ τοῦ χρυσοστόμου ζήλῳ μικροῦ δεῖν τὴν αἴγυπτον ἔσχισεν; οὐχὶ ὁ Λέων τρισμάκαρ, καὶ ὅμως τοὺς κανόνας τῆς δ' συνόδου ἀπέστεργε, ῥητῶς δὲ τὸν ὑπὲρ Κωνσταντινουπόλεως, καὶ τὸν τοῦ Κωνσταντινουπόλεως τῆς ἀλεξανδρείας, καὶ ἀντιοχείας ἠρέθιζεν; οὐχὶ Σιμπλίκιος, Φῆλιξ, Γελάσιος, Ἀναστάσιος, σύμμαχος, πάντες οὗτοι ἀδιαλλάκτως τοῖς τῆς βασιλίδος ἀκακίῳ, εὐφημίῳ καὶ μακεδονίῳ διηνέχθησαν ἁμιλλώμενοι; οὐχὶ Βιγίλιος τὸν ἁγιώτατον Σιλβέριον τὸν πρὸ αὐτοῦ καθεῖλε, καὶ τὸν θρόνον ἀφήρπασε, καὶ τῇ ε' συνόδῳ τὸ πρῶτον ἀντετάττετο; οὐχὶ Πελάγιος καὶ ὁ μετ' αὐτὸν Γρηγόριος ὁ διάλογος Ἰωάννῃ τῷ νηστευτῇ προσώριζον διὰ τὴν τοῦ οἰκουμενικοῦ εὐφημίαν; οὐχὶ καὶ ὁ μετὰ τούτους ὀνώριος τοῖς μονοθελήταις συναπήχθη; καὶ ὁ μετὰ τρεῖς ἑτέρους Μαρτῖνος τὴν καινοτομίαν τῆς ἐκ τοῦ υἱοῦ ἐκπορεύσεως ἐξεφώνησε; καὶ Ἰωάννης ἐκ Λύκας ἀντιοχεύς, καὶ ὁ μετ' αὐτὸν τοὺς κανόνας τῆς ϛ' τὸ δεύτερον ἀπεβάλλοντο. οὐχὶ καὶ Λέων ὁ τρίτος τὴν βασιλείαν ἀπέσχισεν, ὅθεν ἀποστασίαι, φόνοι, φιλομαχίαι γεγόνασι; καὶ ταῦτα μὲν οἱ ῥηθέντες, ὧν ἦσάν τινες καὶ ἁγιώτατοι τἄλλα· πλὴν οὐχ ὡς ὁ Πέτρος πάντῃ ἀμέμπτως καὶ θεοπνεύστως. δότε οὖν Πέτρον καὶ πεισθησόμεθα. εἰ δ' οὐκ ἔχετε, καὶ ἡμεῖς τοὺς ἄνω εἰ καὶ ἁγιωτάτους, οὐ στέργομεν μοναρχεῖν, ἐφ' ὕβρει Χριστοῦ, καὶ ἐπὶ ζάλῃ τῆς ἐκκλησίας, ὡς εἴδομεν. πλὴν ἀλλ' εἴπερ καὶ ἐρευνήσομεν, ἴδωμεν τοὺς ἐν τοῖς μέσοις ἕως τῶν ἐσχάτων χρόνων, εἴπερ ἄνδρες ἦσαν οἱ Πάπαι ἀποστολικοί, ὡς καὶ διάδοχοι. φείδομαι δὲ μᾶλλον τῆς ὑμῶν δόξης, εὐφημότερον γράψαι προθέμενος, εἰ μή με κατεπείγετε. καὶ κατοκνῶ ἐπὶ δυσφημίας χωρεῖν ὀρρωδούμενος. εἰ δ' ἀντιτείνας καὶ τοὺς ἐν ἡμῖν ἀπατήσαντας Πατριάρχας, πάνυ μὲν οὖν ὁμολογήσομεν. ἀλλ' οὔτε μοναρχίαν ἡμεῖς αὐτοῖς, οὔτ' αὐτοὶ ἑαυτοῖς περιεβάλλοντο. εἰ γὰρ κατά τι κατεγνωσμένος ὑπὸ Παύλου ὁ Πέτρος λέγεται, πολλῷ μᾶλλον ἐκεῖνοι. οἴχονται δέ

A′ σου ἐκ τῶν εἰρημένων οἱ συλλογισμοί, ὧν τὰς ἀρχὰς ἰδοὺ τίθημι. Πρῶτον λέγεις τὸ μοναρχικὸν διαθετεῖ τὸ πολίτευμα κρεῖττον εἰς εἰρήνην καὶ ὁμόνοιαν. οὐκ ἀληθεύεις, μᾶλλον δὲ τὸ ἀριστοκρατικόν. ἐκεῖνο γὰρ ἐν τῇ ἑνὸς βουλῇ, τοῦτο τῇ πάντων τῶν ἀρίστων, ὥστε τὸ ὑπὸ πολλῶν ἅμα συμψηφιζόμενον, καὶ εὐαπόδεκτον μᾶλλον, τὸ ὑφ' ἑνὸς πλειστάκις δυσάρεστον. ἔχεις τὸν ἀποστολικὸν κανόνα τριακοστὸν τέταρτον, ἄνω ἀποφαινόμενον. ἔχεις ἐν παραδείγματι, τὴν ἀρίστην καὶ μονιμωτάτην συνομουμένην τῶν Ἐνετῶν ἀρχὴν καὶ παλαιοτάτην ἐγγύς που τῶν χιλίων τριακοσίων ἐτῶν, καὶ οὐδέποτε λελυμένην ὡς καὶ

B′ τὰς λοιπὰς πάσας μοναρχίας. Δεύτερον ἐκ τοῦ θεοῦ φύσει ἀρίστου μοναρχοῦντος, τῷ ἀσυγκρίτῳ παρεικάζεις καὶ τὸ ἀνθρώπινον. μέμηνας ἄνθρωπε. Τοιαῦτα οἶμαι συλλο-

μαι συλλογιζόμενος. ἀλλὰ καὶ σφαλλόμενον αὖθις ἐλέγξοιστε, τὸ ἰσοϋπόστατον ὑπομιμνήσκων σε τὸ μοναρχικὸν τῆς θεότητος. καὶ πάλιν διαρχίαν ἐκ προβαλόντων καθ᾽ ὑμᾶς προσώπων ἀντιτείνειεν αὐτὸς ὑμῖν τοῖς τὸ μοναρχικὸν τῆς τοῦ Πατρὸς προβλητικῆς δυνάμεως διαιροῦσιν. ἔτι δὲ τὸ μόνιμον, φὴς, ὑπὸ τοῦ ἑνὸς ἀρχῆς κατορθοῦται, ὡς αἱ τέσσαρες μοναρχίαι. οὐχ ὑπ᾽ ἐμοῦ ἀλλὰ τοῖς ἱστορικοῖς κρινέσθω, πότερον διῳκεῖτο κρεῖττον ἡ ῥωμαίων ἀρχὴ ἀριστοκρατουμένη ἅμα καὶ δημαρχουμένη, ἢ μοναρχουμένη. πλὴν ἀλλὰ τῶν τοιούτων ἤδη ὀλιγωρητέον, ἐκ τῶν δογματικῶν ὑπὸ τῆς ἄγαν ἀδολεσχίας εἰς πολιτικὰ καὶ ἄκοντες ἐμπεσόντες.

ΘΕΩ΄ΡΗΜΑ Β΄

Τὸ ἐκκλησιαστικὸν πολίτευμα, οὐκ ἔστι δημοκρατικόν.

Τίς περὶ τούτου ἐν ἡμῖν καὶ ὑμῖν ἠμφισβήτησεν; τί τοῦτο πρὸς ἡμᾶς; ἆρ᾽ οὐ περιττολογίαν ἀγαπᾷς ἀποτέλεσαι, καὶ ματαιολογεῖν ἡμᾶς ἀναγκάζεις; εὖγέ σου τῆς ματαιοπονίας. οὐκ ἀκούειν ἀνέχομαι. χαιρέτω οὖν τὸ θεώρημα. χρῆσαι πρὸς ἀντιλέγοντας. ἀλλ᾽ ὑπέμνησας αὖθις τοῦ προτεθειμένου σκοποῦ σου ἔτι περὶ τὴν πρὸς τοὺς παρ᾽ ὑμῖν καινοτόμους χρῆσθαι μεθόδῳ διαλέξεως, προσέβαλες καὶ πρὸς ἡμᾶς. ὅθεν οὐ περιττὸν τὸ θεώρημα. εὖγε νοῦ τῆς λεπτολογίας, κατὰ τὸ ᾀδόμενον τοίνυν, ἔφηπος ἰτίοισι χρῶ, πλοκοῦ λυγίαις. ἀπαύγασμα τῆς εὐτεχνίας ὦ ἑρμοῦ παῖ, ἀπόλλωνος μουσηγέτε, καὶ μουσῶν τρόφιμε.

ΘΕΩ΄ΡΗΜΑ Γ΄

Τὸ τῆς ἐκκλησίας πολίτευμα μοναρχικόν ἐστιν, ἄριστα συγκεκραμένον.

Ὑποτίθεσαι ἀποδεδειγμένον ἐνταῦθα, ὅτι ἄριστον τὸ μοναρχικόν. ὅπερ ὅπως δεκτόν, καὶ ὅπως ἀπόβλητον, βέλτιον ἡμεῖς ὑπεσχήκαμεν. ἔνθεν ἐπάγεις, ὅτι ἄριστα διαταξάμενος τὴν ἀγαπητὴν ἐκκλησίαν ὁ Κύριος, τὸ ἄριστον αὐτῇ φιλοδωρήσασθαι ὤφειλε καὶ πολίτευμα, τὸ μοναρχικόν. ἄριστον δ᾽ ἡμεῖς διὰ τῆς περιουσίας τῆς τρεπτῆς ἀνθρωπότητος, ἀπεφηνάμεθα τὸ διὰ τῶν ἀρίστων. οὐδὲν ἄρα συνεπέρανας. ἐκ τοῦ ἐοικότος. ἔπειτα συλλογιζόμενος πέντε λόγους ἀντιτάττεις ἡμῖν.

Πρῶτον ἐκ τῆς ἀναλογίας τῆς τῶν πρωτοτόκων πρὸς τὴν τῶν γυμναζομένων ἐκκλησίαν. ὅπου καὶ πλὴν τοῦ Θεοῦ, καθ᾽ ἕκαστον τάγμα ἐξάρχει τις τῶν πνευμάτων. καὶ πάντων κατὰ Γρηγόριον τὸν Πάπαν, καὶ ἰσίδωρον τὸν ὑμέτερον, καὶ τερτυλλιανὸν ἐξῆρχε ὁ ἑωσφόρος, αὐθ᾽ οὐ τανῦν ὁ Μιχαήλ.

Α΄ΠΟ΄ΚΡΙΣΙΣ

Ἔστι μὲν τῆς ἄνω καὶ τῆς κάτω Ἱερουσαλὴμ ἀναλογίας εὑρεῖν, τὸ ἱεραρχικόν, τὸ μεθεκτὸν τῆς θείας οὐσίας, τὸ μοναρχικὸν ἐν ἀμφοῖν τοῦ θεοῦ, τὸ μεταδοτικὸν ἐκ τῆς ὑπερκειμένης εἰς τὴν ὑποκειμένην τάξιν, καὶ ἄλλα. τὸ γὰρ ἀκλινὲς καὶ ἄτρεπτον τῆς οὐρανίου ταξιαρχίας πρὸς τὸ εὐόλισθον καὶ εὐμε-

τάβολον τῆς

τὸ βόλον τῆς ἐπιγείου, πῶς ἕξει ἀναλογίαν; εἰ γοῦν μοναρχικὸν παρὰ τὸν θεὸν, καὶ ἐν τοῖς πνεύμασι δοίημεν, ὅπερ καὶ οὐ συγχωροῦμεν, εἰ μὴ ἀρχικόν πως ἁπλῶς, (ὅσα ἀναμαρτήτῳ φύσει καὶ πρὸς τὸ κακὸν ἀῤῥεπεῖ οὐκ ἀπέοικεν) ἐπισφαλεῖ καὶ εὐαπατήτῳ, πῶς ἂν ἐφαρμόσειεν. εἰ δὲ περὶ ἑωσφόρου λέγεις, οὐρανοβατεῖν ἐθέλων, ῥαδίως ἐκπέπτωκας. εἰ καὶ διδασκάλων ἔχεις του πως θαῤῥεῖς. εἰ γὰρ ὁ κατακρημνίσας αὐτὸν Μιχαὴλ, ἄρχων κατὰ Δανιὴλ ἀπὸ τῆς τρίτης ἱεραρχίας, δῆλον ὅτι Μιχαὴλ ὁ πλησίον, τὸν ἔγγιστα ἀπεδίωξεν, αὐτὸν δήπουθεν τὴν ἔξαρχον τῶν ἀρχῶν ἑωσφόρον ἐκ τῆς τρίτης ἱεραρχίας. πλείω περὶ τούτων θεολογεῖν οὐ τοῦ προκειμένου σκοποῦ.

β' Ἀπὸ δὲ τῆς παλαιᾶς διαθήκης τύπου, ὅσα ὁ κατὰ καιρὸν ἀρχιερεὺς τὴν συναγωγὴν ἕως Χριστοῦ μοναρχικῶς διῴκει, ἄρα κἂν τῇ καινῇ.

ἈΠΌΚΡΙΣΙΣ

Λίαν ὑπὲρ τὸ περιττὸν ἐπιχειρῶν, τοῦ δέοντος ἀποσφάλλῃς, οὕτω γὰρ καὶ συμπερανεῖς, ἕνα καὶ τοῖς χριστιανοῖς προσήκειν ἀρχιερέα θνητὸν (ἐπεὶ εἷς ὁ ἀθάνατος, οὗ καὶ τύπος ὁ τῆς νομικῆς λατρείας) καὶ ναὸν ἕνα, καὶ θυσιαστήριον ἓν, καὶ τοῦτον κατὰ διαδοχὴν τὴν ἐξ αἵματος. Πέτρον ἄρα ὤφειλεν ἀνθ' αὑτοῦ καταλιπεῖν ἱεραρχοῦντα μόνον, καὶ μετ' ἐκεῖνον ἴσως πιστεύσαιμεν ἂν τοὺς τῶν ῥωμαίων ἀρχιερεῖς, καὶ μὴ ἅμα δώδεκα μαθητὰς ἱστάμης, καὶ πρὸς αὐτοῖς τὸν ἀδελφὸν Ἰάκωβον, καὶ ἀναδεῖξαι αὖθις ἐθνῶν ἀποστόλους ἑτέρους δύο, Βαρνάβαν καὶ Παῦλον. οὐ συνορᾷς ὦ βέλτιστε μόνον δεδομένον τῷ μωσαϊκῷ νόμῳ ἀρχιερέα, καὶ διὰ τὸ ἐστενοχωρημένον τοῦ ἔθνους καὶ τῆς χώρας, καὶ λόγῳ τοῦ ἑνὸς ἱεροῦ; καὶ ὅτι σαρκικῶν ἐκείνων ὄντων, ἤρκει μόνος ἀρχιερεὺς εἷς μεσίτης; καὶ ὅτι μέλλων καταλήγειν, ἤρκει μόνος εἰς τύπον; καὶ ὅτι ὀλίγα ἦν τοῖς ἐν νόμῳ, τὰ τοῦ θεοῦ ἐν τῇ χάριτι πολυπλασιασθέντα χαρίσματα; καὶ ὅτι εἰ καὶ μόνος ἦν, ἀλλὰ καὶ χρησμῶν ἠξιοῦτο θείων, καὶ διὰ τοῦ λογίου προεφήτευε, καὶ μέχρι Χριστοῦ καϊάφας αὐτὸς ὁ χριστομάχος θεόθεν ἐνεπνεύσθη. πῶς οὖν ἀναλογεῖ τὸ μοναρχικὸν τῆς συναγωγῆς, πρὸς τὴν ἀληθῆ τοῦ θεοῦ ἐκκλησίαν.

γ' Ἀπὸ τῆς ἀναλογίας τῶν μεταφορῶν, οἷον στρατοῦ, βασιλείας, ποίμνης, οἰκίας, νηὸς, καὶ τῶν ἑξῆς. πρὸς ἃ καὶ ἀπεκρίθημεν φθάσαντες. ἀλλὰ πῶς οὐκ ἐμνήσθης καὶ σαγήνης, καὶ ἀμπελῶνος, καὶ ἀγροῦ; ἀλλ' ἐν μὲν τοῖς ἄνω στρατηγὸν εὕρομεν τοῦ καθόλου στρατοῦ τὸν Χριστὸν, καὶ βασιλέα τῆς καθόλου βασιλείας, καὶ κύριον τῆς καθόλου ποίμνης, καὶ νηός. τοὺς δὲ καθ' ἡμᾶς ἐπισκόπους ἀναλόγως, ὥς φησι Παῦλος, οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων θεοῦ. καὶ πάλιν, θεοῦ συνεργοί ἐσμεν, θεοῦ γεώργιον. ἀλλὰ μὴν εἰ καὶ σαγήνη ἡ ἐκκλησία, τίνες οἱ ἁλιεῖς; εἷς ἢ πολλοί; καὶ ἐργάται τοῦ ἀμπελῶνος, εἷς ἢ πολλοί; καὶ τοῦ ἀγροῦ ὁμοίως; εἰ δὲ προβάλλεις τὸ ἀμβροσίου ἐν τῷ τρίτῳ τῆς πρώτης πρὸς Τιμόθεον, ὅτι οἶκος θεοῦ ἐστὶν ἡ ἐκκλησία, ἧς ἐστι σήμερον διοικητὴς ὁ δάμασος, ἢ νοεῖ ἕνα ἐκ τῶν πολλῶν τῶν ἀρίστων, ἢ μόνον κατὰ δύσιν, ὅπου καὶ ἀμβρόσιος

καὶ ἀμφίβροτος ἔξαρχον τοῦτον φησί. πλὴν ἀλλὰ καὶ ἐκ τῶν προκειμένων ὑπὸ σοῦ τύπων ῥᾴδιον ἐξελέγχειν τὴν ἐν ἐκκλησίᾳ ἐπ᾽ ἀνθρώπῳ θνητῷ μοναρχίαν. ἂν γὰρ ἀποτολμήσειας οἶμαι βασιλέα τῆς ἐκκλησίας ὀνομάσαι τὸν Πάπαν, ὡς τὸν Χριστὸν ἁπάσης ταύτης, ἢ οἰκοδεσπότην, ἢ τῆς νηὸς κυβερνήτην, αὐτίκα ἀντιφθέγξεταί σοι τὸ ἱερὸν λόγιον βασιλέα τὸν Χριστὸν ἀνακηρύττειν μόνον, ὡς ἐν τῇ ἀποκαλύψει κεφ: ιθ΄: καὶ Ματθ: κβ΄. καὶ Λουκᾶ: ιθ΄: ὁμοίως καὶ οἰκοδεσπότην ἐν πλείοσι τοῦ Λουκᾶ: καὶ Ματθ: τοὺς δὲ καθισταμένους ὑπ᾽ αὐτοῦ, ὁτὲ μὲν δούλους, ὁτὲ δὲ οἰκονόμους, ὁτὲ δὲ γεωργούς, ὁτὲ ἐργάτας, καὶ τὰ παραπλήσια. ὅθεν φησὶν ὁ ἀπόστολος περὶ ἑαυτοῦ καὶ τῶν καθ᾽ αὐτόν. » οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας Χριστοῦ, καὶ ὡς οἰκονόμους μυστηρίων θεοῦ. » (Α΄: κορ: δ΄.) οὐκ ἄρα μοναρχία, ὅπου ὁ ὄντως μονάρχης ἀποδημῶν, οἰκονόμους εἰς τὰς χρείας ἐγκαταλείπει, καὶ οὐ μονάρχας. οὔτε γὰρ δίκαιον ζῶντος τοῦ Κυρίου, ἕτερον καθίστασθαι Κύριον. καὶ ἐπὶ τῆς μεταφορᾶς δὲ τοῦ ἀμπελῶνος, ἐργάτας, καὶ δούλους ἀκούομεν. καὶ τῶν συνόδων ἡ τετάρτη ὑπερβαλλόντως ὑπερεπαινοῦσα Λέοντα, φύλακα μὲν τῆς ἀμπέλου καλεῖ, δεσπότην δὲ οὐδαμῶς ὀνομάσασα. πάντως γὰρ οὐκ ἐξῆν. καὶ ἐπὶ τῆς νηὸς ἐπὶ Κλήμης ὁ ἰσαπόστολος, καὶ μετὰ Πέτρον διάδοχος, Ἰακώβῳ ἐπιστέλλων πρωρέα τὸν ἐπίσκοπον λέγει, καὶ τὸν Χριστὸν κυβερνήτην, (οὐκ ἄνθρωπον θνητὸν ἢ Πάπαν) καὶ λιμένα τὸν θεόν. καὶ ναύτας τοὺς πρεσβυτέρους, καὶ διανεμητὰς τοὺς διακόνους, καὶ ναυτολόγους τοὺς κατηχίζοντας, καὶ ἐπιβάτας τὸ πλῆθος τῶν ἀδελφῶν. οὐκ ἔστιν ἄρα μοναρχία ἡ καθόλου ἐκκλησία. εἰ γὰρ καὶ ὁ αὐτὸς θεσπέσιος Κλήμης ἐν δευτέρῳ τῶν διαταγῶν, κεφαλαίῳ πεντηκοστῷ ἑβδόμῳ, νηῒ παρεικάζων τὴν ἐκκλησίαν, κυβερνήτην καθίστησι τὸν ἐπίσκοπον (Κλήμ: διατ: β΄: κεφ: νζ΄.). ἀλλ᾽ ὅμως γε οὐ τὴν καθόλου ἐκκλησίαν εἰκονίζει τότε, ἀλλὰ τὰς κατὰ μέρος, μάλιστα καὶ αὐτοὺς τοὺς ναούς, λέγει γὰρ ἔστω ὁ οἶκος ἐπιμήκης, κατ᾽ ἀνατολὰς τετραμμένος, καὶ τὰ ἑξῆς. ὥστε καὶ μονάρχην καθιστᾷ ἂν τηνικαῦτα τὸν ἐπίσκοπον, καὶ ἡμεῖς ἄνω διεσκεψάμεθα.

Δ΄

Συλλογίζῃ ἐξ ἐπαγωγῆς ὡς νομίζεις ἐναργῶς, ὥσπερ εἷς ἐν μιᾷ παροικίᾳ καθίσταται πρεσβύτερος, καὶ ἐπίσκοπος εἷς ἐν μιᾷ πόλει, καὶ Μητροπολίτης εἷς ἐν ἐπαρχίᾳ μιᾷ, καὶ Πατριάρχης εἷς, ἐν πολλοῖς ἔθνεσιν, οὕτω καὶ Πάπας ἐξάρχων εἷς ἐν πᾶσι τοῖς Πατριάρχαις. ὥσπερ γὰρ εἷς μιᾷ ἐν τοῖς λοιποῖς, οὕτω καὶ μονάρχης εἷς ἐν μιᾷ ἐκκλησίᾳ. ὥσπερ δὲ ἀνάγκη ἐπὶ πολλῶν πρεσβυτέρων ἕνα καθίστασθαι ἐπίσκοπον, διὰ τὰς ἐν ἐκείνοις διαφορὰς καὶ κρίσεις, καὶ ἕνα Μητροπολίτην ἐν ἐπισκόποις, καὶ ἕνα Πατριάρχην ἐν Μητροπολίταις. οὕτω καὶ Πάπαν ἕνα ἀκρότατον κριτὴν ἐπὶ πάντας τοὺς Πατριάρχας;

ΑΠΟΚΡΙΣΙΣ

Τὰ εἰρημένα μέχρι Πατριαρχῶν ἵστανται. ἔστι γὰρ μέχρις ἐκείνων συνάγειν τὸ τῆς ἐκκλησίας σῶμα. καὶ μέχρι μὲν τούτου οὔπω καθολικόν. συνάγειν δὲ τοὺς Πατριάρχας εἰς ἓν οὐ διὰ κρίσιν γίνεται, εἰ μὴ τῆς περὶ πίστεως. καὶ τότε καθολικὸν τὸ σῶμα τῆς ἐκκλησίας, ἧς βασιλεὺς καὶ κεφαλὴ

ὁ Χριστὸς

ὁ Χριστὸς καὶ οὐκ ἄνθρωπος. καὶ εἴποτε ὑπὸ τῶν πάλαι Παπῶν ἀνεψηλαφήθη
κρίσις τινὸς Πατριάρχου, οὐ κατ' ἀνάγκην ἦν, ἀλλὰ κατ' οἰκονομίαν συνομί-
ας, ὅπως καὶ ὁ δικάσας, ἀδέκαστος φανείη, καὶ ὁ καταδικασθεὶς πληροφο-
ρίαν λάβοι· ἐγίνετο δὲ ταῦτα ἄνευ τινὸς προσκρίματος τῆς τινὸς ἀξίας,
ὡς καὶ νῦν παρὰ τῷ Κωνσταντινουπόλεως τὰ τῶν λοιπῶν θρόνων ἀνακρίνονται 5
ἄνευ τινὸς ἐκείνων ὕβρεως. οὕτω καὶ πάλαι παρὰ τῷ Πάπα ἢ μείζονι συνό-
δῳ. Πατριάρχης δὲ ἐγκαλούμενος οὐδεὶς ποτε εἰσεκλήθη. ὡς ἔστι δεῖξαι
περὶ Φλαυϊανοῦ καὶ Ἰγνατίου τοῦ Κωνσταντινουπόλεως (καὶ ἑτέρων) ἐγκαλουμένων
ὑπὸ δυστυχοῦς καὶ τῆς περὶ τὸν συμβεβηκύσης γεγονότων. ἀναμεταξὺ δὲ αὐτῶν ἀ-
λλήλων διαπλοκῶν καὶ ἀποκρισιαρίων κατορθοῦται τὰ τῆς εἰρήνης τε καὶ συστά- 10
σεως. καὶ μέχρι μὲν τὰ τῆς εἰρήνης ἐκράτει ἐν τῇ καθόλου ἐκκλησίᾳ πρὸς
ἀλλήλους τοὺς Πατριάρχας, εἶχεν ὁρμὰς δι' οἰκονομίαν μᾶλλον, ἢ ἀπὸ τοῦ
πρὸς καιρὸν καὶ ἰδικοῦ κανόνος τῆς ἐν Σαρδικῇ συνόδου τρίτου, τὸ ἔκκλητον.
ἐξ ὅτου δὲ αὐτὸς ἐπανέστη τῇ βασιλείᾳ, καὶ τὰ σκῆπτρα διεῖλεν, ἔκτοτε καὶ τὰ
τῆς οἰκονομίας ταύτης κατὰ μικρὸν ἐπαύσατο. καὶ διὰ βασιλικοῦ νόμου ὑπὸ 15
» Λέοντος καὶ Κωνσταντίνου ἐν τίτλῳ δεκάτῳ οὕτω τεθέσπισται· τὸ τοῦ Πατριάρ-
» χου κριτήριον ἐκκλήτῳ οὐχ ὑπόκειται. οὐ δὲ ἀναψηλαφᾶται ὑφ' ἑτέρου, ὡς
» ἀρχὴ καὶ αὐτὸ τῶν ἐκκλησιαστικῶν κριτηρίων. ἐξ αὐτοῦ γὰρ τὰ ἐκκλησια-
» στικὰ πάντα κριτήρια, καὶ εἰς αὐτὸ ἀναλύει καὶ ἀναστρέφεται. αὐτὸ
» δὲ οὔτε ἔκ τινος, οὔτε πρὸς ἕτερον. τοῦτον γὰρ ἡ ἀρχή. ἐπανακρίνεται καὶ 20
» αὐτὸ συνοδικῶς ὑφ' ἑαυτοῦ, καθὰ καὶ τὸ βασιλικόν. ὅπερ Θεόπτης Μωϋ-
» σῆς τὸ ἀνακρίνειν τὰς κρίσεις εἰς νόμον ἔθετο. οἱ αὐτοὶ βασιλεῖς ὡς ἐν γ'
τίτλῳ φέρεται, τὰς τῶν ἄλλων θρόνων ἀμφισβητήσεις ὑπὸ τοῦ Κωνσταντινουπό-
λεως διορθοῦσθαι, καὶ εἰς πέρας ἄγεσθαι διατάττονται. Περὶ δὲ τῆς παρὰ τοῦ Λέ-
οντος Πάπα μαρτυρίας, οὐ φροντίζομεν οὐδ' ὀβολόν, λέγοντος (αἰνιττό- 25
μενος τοὺς Πατριάρχας, ὅπου πρὸς τὸν Θεσσαλονίκης Ἀναστάσιον ἐπιστέλλει)
εἰς μίαν τὴν Πέτρου καθέδραν, ἥτις καθόλου ἐκκλησίας μέριμνα καταγί-
νεται, καὶ μηδέποτε ἀπὸ τῆς οἰκείας διαφωνῇ κεφαλῆς. αὐτοῦ γὰρ περὶ τῆς
ἰδίας ἐξουσίας καὶ δόξης ἀγωνιζομένου, μηδαμῇ μηδαμῶς ἀκούειν ὀφείλο-
μεν. μᾶλλον δὲ καὶ τοὺς τῶν συνόδων κανόνας αὐτοῦ διασύροντος, πῶς 30
οὖν ἡμεῖς ἀνεξόμεθα τῆς βίας, καθ' ἣν πεποίθαμεν ὅτι Θεῷ οὐδαμῶς εὐ-
ηρέστησε, καὶ τὴν ἐπαίρουσαν αὐτὸν τετάρτην σύνοδον προφάσει ἐπιπλά-
στου ἀκριβείας τῆς ἐκ τῶν ἀρχαίων κανόνων, μικροῦ δεῖν ἀθετεῖ, καὶ διερεθίζων
κατὰ τοῦ Κωνσταντινουπόλεως τὸν Ἀλεξανδρείας πρότερον, καὶ τὸν Ἀντιοχείας
Μάξιμον. ἔτ' ἄλλα μὲν ἁγιώτατος καὶ σοφώτατος. πόθεν εὗρεν εἰς 35
τὴν μίαν τοῦ Πέτρου καθέδραν, (ἤτοι τὴν οἰκείαν) τὴν τῶν λοιπῶν θρό-
νων καταγίνεσθαι μέριμναν. ἐξ ἰδίας αὐτὸς λαλεῖ προλήψεως. καὶ ἡ-
μεῖς ἀπὸ κοινῆς αὐτὸν καὶ ἀρχαίας παραιτούμεθα παραδόσεως. καὶ μὴ
τιμῶντος ἐκείνου τὰ πρώτων Πατέρων θεσπίσματα, οὐθ' ἡμεῖς τὰ ἐκεί-
νου ἀποδεχόμεθα, ὡς μόνου πρὸς πολλοὺς ἀντιτασσομένου, καὶ μάλιστα ὑπὲρ 40
ἐκείνων προτερημάτων διαμαχομένου. αἱ δ' ἑξῆς μετὰ τὴν τετάρτην σύνο-
δον, ἐμοί-

δον, ὁμοίως τῇ τετάρτῃ ἀπεφήναντο. πρόδηλον οὖν ὅτι μάτην τὰ τῆς φιλαρχίας οἱ Πάπαι θηρεύουσιν. ἀρκεῖ δὲ ἡμῖν, ὅτι οὔτε ἀπὸ παραδόσεων ἀρχαίων, οὔτε ἀπὸ κανόνων, οὔτε ἀπὸ ἐγκρίτων διδασκάλων, οὔτε ἀπὸ γραφῆς τὸ παράλογον τοῦτο τοῦ Πάπα ἀξίωμα συστῆσαι δύνασθε, ὡς ἡμεῖς καὶ πᾶσαν ἀνομίαν, ἐκ τῶν προτεθέντων πάντων τοὐναντίον ἐπικυροῦμεν.

Ἐκ τῆς ὁμοιότητος προτείνεις ἀπὸ τοῦ ἀποστόλου. ἐν τῇ πρὸς ἐφεσίους λέγοντος. εἷς θεὸς καὶ μία πίστις. ἐκ τούτου γὰρ οὕτω συλλογίζῃ. ὥσπερ εἷς θεὸς καὶ μία πίστις, οὕτω ἔστι δὲ καὶ εἷς κορυφαῖος καὶ ἄκρος ἑρμηνεὺς καὶ τῆς πίστεως ἐν ταῖς ἀμφισβητήσεσι, καὶ κεφαλή, οὗ πάντες ὑπακούωσιν, οὐδεὶς γὰρ ἴσως ὑπείκει διαφερόμενος.

ΑΠΟΚΡΙΣΙΣ

Σὺ δὲ παραλαμβάνων τὴν ἀπόκρισιν ἡμῶν, λέγεις, ὅτι διὰ συνόδων εἴτε οἰκουμενικῶν, εἴτε κατὰ τόπους περιαιρεῖται πᾶσα διαφορὰ πάλιν. Ἐνίστασαι λέγων ὅτι χρῄζουσι καὶ κρίσεως ὑπερκειμένου πάντων, καὶ αἱ οἰκουμενικαὶ αὗται σύνοδοι. πῶς γὰρ ἡ ἐν σιρμίῳ κατὰ τοῦ ὁμοουσίου ἑξακοσίων (τετρακοσίων κατὰ Ἀθανάσιον) φὴς Πατέρων, καὶ ἡ ἐν μεδιολάνῳ τριακοσίων. καὶ ἡ τοῦ κοπρωνύμου (τριακοσίων τριάκοντα) κατὰ τῶν εἰκόνων, καὶ πρὸ αὐτῆς ἡ τοῦ ἰσαύρου Λέοντος. καὶ ἡ κατὰ Ἀθανασίου ἐν ἀντιοχείᾳ πολυπληθεῖς πᾶσαι. καὶ ἡ ἐν Βασιλείᾳ (ὡς φὴς) ἀποστᾶσα τοῦ Πάπα Εὐγενίου, προσθήσω δὲ κἀγὼ τὴν ἐν ἐφέσῳ δευτέραν ἐπὶ διοσκόρου, οἰκουμενικὴν συγκροτηθεῖσαν ὑπὸ Θεοδοσίου τοῦ νέου. ὅμως εἰσὶν ἀποτρόπαιοι, καὶ ἀπόβλητοι αὗται πᾶσαι. ἡ δὲ δευτέρα τῶν ἑκατὸν πεντήκοντα Πατέρων καὶ οἰκουμενικὴ καὶ ἁγία καὶ νόμιμος, εἰ μὴ ὅτι αὕτη παρὰ τῆς κορυφαίας καθέδρας ἐκυρώθη. ἐκεῖναι δὲ ἀπεδοκιμάσθησαν; ὥστε κἂν ταῖς συνόδοις αὐταῖς χρῄζομεν ὑπερεχούσης ἁπάντων ἐξουσίας καὶ κρίσεως τῆς τοῦ ῥωμαίων ἀρχιερέως.

ΑΠΟΚΡΙΣΙΣ

Καὶ σὺ μὲν οὕτως, ἡμεῖς δὲ λέγομεν ὅτι πᾶσα σύνοδος εἰς τὸ ὄνομα τοῦ Κυρίου ἐν ἁγίῳ πνεύματι συγκροτουμένη, παρόντα καὶ τὸν Χριστὸν ἐν μέσῳ αὐτῆς κεκλήρωται, κατὰ τὸν ἀψευδῶς ἐπαγγειλάμενον, ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. τί δὲ ἐστὶν εἰς τὸ ὄνομα Κυρίου, καὶ ἐν ἁγίῳ πνεύματι, εὐχερὲς τοῖς περὶ τὰς γραφὰς διατρίβουσιν ἐξηγήσασθαι. πρῶτον μὲν, ὅτι ζήλῳ ἀληθείας. τὸ πνεῦμα γὰρ ἀληθείας καλεῖται. δεύτερον ἵνα εἰρηνικῶς. εἰρήνη γὰρ ὁ Χριστός. τρίτον κατά τε κανόνας καὶ τάξιν, προσαγομένη διὰ προσευχῶν, καὶ μελέτης τῶν γραφῶν καὶ διδασκάλων. κατὰ τὸ γεγραμμένον (παρὰ Ἰωάν: κεφαλαίῳ ε ιέ.) ἐρευνᾶτε τὰς γραφάς. τέταρτον. τὰ αὐτοῖς ἀνήκοντα μόνα ἀντεξετάζουσα, καὶ μὴ τὰ μὴ ἀνήκοντα, ὡς αἱ παρ' ὑμῖν δύο ἐν τολέτῳ, καὶ αἱ μετ' αὐτὰς ἄλλαι ἀδιαγνώστως, τὸ μὴ πότε ζητούμενον περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, τὸ, καὶ ἐκ τοῦ υἱοῦ, οὐδαμοῦ κείμενον, ἐτόλμησαν καινοτομῆσαι. Φη-

μὴ τοιγαροῦν πᾶσαν σύνοδον νομίμως συγκροτουμένην, κανονικῶς καὶ εἰρη-
νικῶς τελουμένην, καὶ εἰς Θεοῦ τιμὴν κεφαλαιουμένην. τὰ ἀνήκοντα πρὸς αὐ-
τὴν ζητοῦσαν καὶ ἐξετάζουσαν, εἴτε τοπικὴν εἴτε μάλιστα οἰκουμενικήν, ἐκ
Θεοῦ τὴν ἐπίπνοιαν ἔχειν, καὶ τὴν παρουσίαν τοῦ ἐπηγγελμένου, καὶ τὴν ὁ-
δηγίαν τοῦ ἁγίου πνεύματος. τὰς δ' ἄλλως ἀπερισκέπτως καὶ ἀνεξετάστως, ἢ μετὰ
βίας βασιλικῆς, καὶ δόλου, καὶ πανουργίας ἀνθρώπων, καὶ προσπαθείαις ἰδίαις
τὸ πᾶν διεξαγούσας, ὡς αἱ ἄνω ἠριθμημέναι, καὶ αἱ ἄλλαι δήπου, αἱ καθ' ἡμῶν
παρ' ὑμῖν, ταύτας οὐ μόνον ἀποσκορακίζειν, καὶ ἀποδοκιμάζειν, ἀλλὰ καὶ
ὡς ἱεροσύλους, τὸ θεῖον καὶ ἄσυλον τῆς ἐπαγγελίας ἐκβιαζομένας, καὶ προφά-
σει ἱεροῦ συνοδικοῦ συστήματος ἐξαπατώσας τοὺς ἁπλουστέρους καὶ μάλιστά γε
ὡς ἑτεροδοξούσας, δήπου παντελῶς οὐ μόνον μὴ παραδέχεσθαι, ἀλλ' οὔτε
συνόδους ὀνομάζειν, κατὰ φαῦλα δὲ μᾶλλον συνέδρια. οὐ διὰ τὸ παρεῖ-
ναι, ἢ μὴ παρεῖναι τὸν Πάπαν, ἐκείνας τοιαύτας, ὡς μάτην διδάσκετε.
ἀλλὰ διὰ τὸ τὸν δεσπότην Χριστὸν ἀοράτως συνόντα ὡς ἀληθέστερον. καὶ πῶς
ταῦτα ληρεῖς ὦ κενόσοφε, οὐ ὅπου τῇ ἀρειανικῇ συνόδῳ τῇ ἐν σιρμίῳ δεί-
ξω σοι παρ' ἱερωνύμῳ περὶ τῶν ἐκκλησιαστικῶν συγγραμμάτων καὶ Ἀθανασίῳ
ἐν τῷ χρονικῷ πρὸς τοὺς μονάζοντας. ὑπογράψαντα τὸν λιβέριον, μετα-
κληθέντα ἀπὸ τῆς ἐξορίας, τοὐναντίον δὲ ἐν τῇ δευτέρᾳ οἰκουμενικῇ, οὔτε
παρῆν δάμασος, οὔτ' αὖτ' αὐτοῦ κατὰ τὸ ἔθος λεγάτοι, οὔτε ὑπέγραψαν.
εἰ καὶ ὁμόψηφος μέντοι γε καὶ ὁμόφρων, καθὰ καὶ ἄλλοι ἀπόντες ἐδείκνυτο· ἀλλὰ
καὶ ἡ :ε: πῶς ἐννόμιμος καὶ ταῖς ἄλλαις ὁμοταγής, ἣ καὶ προσκαλούμενος
καὶ παρακαλούμενος παρεῖναι βιγίλιος, παρῃτεῖτο· ἀλλὰ καὶ ὑπογράψαι
μὴ στέργων, ἐξόριστος ὑπὸ ἰουστινιανοῦ τοῦ μεγάλου ἐγένετο· μέχρις οὗ δι'
οἰκείας ὑπογραφῆς ἀπεδέξατο· ἀλλὰ καὶ ἡ ἐν τρούλλῳ ἧς πολλὰ καταφλυ-
αρεῖτε τινὲς ἀμαθῶς τε καὶ δυσσεβῶς, ὡς ψευδοσυνόδου καὶ πεπλανημένης,
πῶς ὑπὸ τῆς :ζ': ἐκυρώθη πάσης· ἀνάγνωθι τὴν αὐτῆς τετάρτην πρᾶξιν,
καὶ τοὺς ἐν αὐτῇ κανόνας πρῶτον καὶ :ς'. ἧς τις ἀπελείφθη μόνος ὁ Ῥώ-
μης δι' ἐχθροπάθειαν· καὶ φθόνον ἰσοτιμίας τῆς Κωνσταντινουπόλεως, πῶς
δὲ καὶ ἀδριανὸς αὐτὸς ὁ Πάπας, πρὸς ταράσιον καὶ κάρολον ῥῆγα Φραγγί-
ας, καὶ ἰννοκέντιος τρίτος, καὶ Πέτρος ὁ λομπάρδος (παρὰ γρατιανῷ)
ἐν τῷ περὶ βαθμῶν τῶν γάμων, καὶ λαυρέντιος ὁσσύερος, ἕτεροί τε εὐσε-
βῶς τοῖς ἐκείνοις κανόσιν ἐχρήσαντο, καὶ τί λέγω Πάπας καὶ διδασκάλους ἐκ
τῶν λατίνων, ὅπου γε ὑπὸ τῆς οἰκουμενικῆς ἑβδόμης, ὡς ἕκτη νόμιμος ὀνο-
μάζεται, καὶ οἱ συνελθόντες ὅσιοι Πατέρες ἀνευφημοῦνται. καὶ οἱ ἀμ-
φιβάλλοντες ἀμαθείας ἔλεγχον δὲ κοινῇ ἀποφάσει τῆς ἁγίας ταύτης συνό-
δου, ὡς εἴπομεν ἐν τῇ ἀνωτέρῳ πράξει καὶ κανόσι τῆς αὐτῆς. οὐκ ἔστιν ἄρα, οὔτε
βασιλέως, οὔτε Πάπα, οὔτε ἀνθρώπου ἄλλου τὸ κυροῦσαι τὰς συνόδους, ἀλλὰ τῆς
θεοπνεύστου ἐνεργείας τοῦ ἁγίου πνεύματος, καὶ τοῦ νομίμου τῆς συναθροίσεως. ἃ
δὴ πάντα τοῖς θεοσεβεῖν ἐλομένοις ῥᾳδίως γνωρίζεται.

Περὶ δὲ τῆς ἐν βασιλείᾳ παρ' ὑμῖν συνόδου, ἧς καὶ προφάσει ἐξηπατή-
θησαν τηνικαῦτα καὶ οἱ ἡμέτεροι, συνελθεῖν εἰς Φερραρίαν καὶ

φλωρεν-

φλωρεντίαν. ἡ ἀπίση μὲν αὐτὴ ἱστορία, ἢ αὐτῆς ἱστορικός, οὗ τῆς προ-
κειμένης ἐστὶν ὑποθέσεως. δῆλα δὲ παρ' ὑμῖν τὰ πρακτικά, καὶ μάθετε παρ'
αὐτῶν. πιστὸς ἦν ὁ ἱστορικός, ὡς σώζεται καὶ παρ' ὑμῖν τὰ καθ' αὐτὸν καὶ
τὴν σύνοδον αὐτοῦ, ἃ συγγέγραφε Σίλβεστρος ὁ Συρόπουλος διάκονος καὶ
μέγας ἐκκλησιάρχης Κωνσταντινουπόλεως, εἷς καὶ αὐτὸς ὢν τῶν ἐκεῖσε (ὡς μὴ
ὤφελον) κακῶν προσδραμόντων τότε. οὐδὲν γὰρ ἄλλο διεπράξαντο, εἰ μὴ τὸν
Πάπαν ὑπερύψωσαν, ὑπὸ τοὺς πόδας αὐτοῦ ἀφιγμένοι, οἷς καὶ ὁ Πάπας
ἀξίως ὡς δουλοπρεπέσιν ἐχρήσατο, αὐτὸς τότε ὑπεραρθεὶς καθ' ἡμῶν.
καὶ γὰρ τοῦτο ἦν αὐτῷ τὸ σπουδαζόμενον καὶ ἐπὶ τοῦτο τῆς πρὸς Βασιλείαν συνόδου
δόλοις καὶ μηχανουργίαις, καὶ ψευδέσιν ὑποσχέσεσιν, ἀπέσπασε τούτους, καὶ πρὸς
ἑαυτὸν εἷλκεν ὡς αἰχμαλώτους, αὐτὸν βασιλέα καὶ πατριάρχην καὶ σύνοδον.
εἰ μὴ γὰρ πρὸς αὐτοὺς τότε οἱ ἡμέτεροι προσέδραμον, ἡ ἐν Βασιλείᾳ σύνοδος
καὶ μέχρι τοῦδε τὸ κῦρος εἶχε, καὶ ὁ Πάπας ὑπὸ ταύτην τελῶν, ὡς καὶ πρότε-
ρον, μετριώτερον ἂν ἐχρῆτο τῇ ἐξουσίᾳ.

ἘΝΣΤΑΣΙΣ Β΄ ΚΑῚ Γ΄

Ἕβδομον ἐνιστάμενος, καὶ διπλοῦν λόγον ἐκ τοῦ ἀδυνάτου συλλογίζῃ, ὅτι
μὴ ἐλλειπομένων ποτὲ ἀμφισβητήσεων, ἀναγκαῖον συνίστασθαι [illegible] ἀεὶ ἀ-
διάλυτον οἰκουμενικὸν δικαστήριον. ἔτι πῶς συγκροτηθήσεται, καὶ ὑπὸ τί-
νος, καὶ ποῦ, μὴ ὄντος ὑπερκειμένου πάντων τινός, ταῦτα προνοουμένου.
τίς ἄλλην τυχὸν ψῆφον ἀκυρώσει. εἰ μὴ ὁ ῥωμαίων προέστηται ἀδύνατα
πάντα, καὶ δυσχερῶς ἀνύσιμα. ὅπου γε τοιοῦτος ἄκρος κατασταθεὶς κριτής,
μηδενὸς εἰς σύνοδον ἐνοχλουμένου, ῥᾳδίως καὶ συντόμως αὐτὸς τὰ πάν-
τα διαθετήσει.

Ζ΄

ἈΠΌΚΡΙΣΙΣ

Εἰς τὸ ἀδύνατον συμβαῖνον ἄτοπον ἀπαντῶμεν τῷ δυνατῷ, καὶ τῷ πρέποντι.
ὅτι αἱ οἰκουμενικαὶ κυρίως σύνοδοι ἀπὸ τῶν χριστιανῶν βασιλέων ἤρξαν-
το, καὶ αὐτῶν χάριν συνήρχοντο ἐκ τῶν περάτων οἱ πατέρες εἰς πληρο-
φορίαν αὐτῶν τε καὶ τοῦ χριστωνύμου λαοῦ. οὐ γὰρ μικρὸν καὶ ἡ βασιλεία καὶ πᾶσα
πολιτεία διεταράττετο, τινῶν προσκειμένων, ἄλλων δὲ ἀντικειμένων τοῖς δόγ-
μασι. διὸ προνοίᾳ ἀεὶ βασιλικῇ ὁ τοιοῦτος θόρυβος διὰ συνόδων οἰκου-
μενικῶν κατεπαύετο. ἀλλὰ καὶ οἰκονομίᾳ θεοῦ τοῦτο γέγονε πολλάκις, ἵνα
πληροφορίαν σχῇ μᾶλλον τὰ ἔθνη μετὰ τὸ εὐαγγέλιον ἀπὸ τῆς καθόλου συμφω-
νίας. ὅθεν καὶ μυστικωτάτῳ ἀριθμῷ τῷ ἑβδόμῳ διὰ ἑπτὰ ἁγίων συνόδων οἰ-
κουμενικῶν, πᾶσα μὲν αἵρεσις κατηργήθη, ὁλόκληρος δ' ἡ ὀρθοδοξία ἀνέλαμψε.
καὶ οὔτε προστεθῆναι χρεὼν ἔκποτε, οὔτε ἀφελεῖν δυνατόν. ἔτι δὲ καὶ ἵνα οἱονεὶ καὶ
σωματικῶς πως τὸ ἀόρατον καὶ νοητὸν σῶμα τῆς ἐκκλησίας, διὰ τῆς τῶν παν-
ταχόθεν παρουσίας ἱερῶν ποιμένων ἐξεικονίζηται. πλὴν εἰς τὸ ἀναγκαῖον ὃ
προὔβαλες τῶν ἀνακυπτούσαις ἀμφισβητήσεσιν, ἱκανὸν τοὺς πρώτους θρόνους,
διὰ συνόδων οἰκείων πληρεστάτων σκεψαμένους, τὸ δόξαν ἀναμεταξὺ πρὸς

ἀλλήλους ἀνακοινωθῶσι, συμφωνήσουσι δὲ πάντως εἰς τὸ τοῦ Κυρίου ὄνομα ἐν ἁ-
γίῳ πνεύματι συνελθόντες. οὕτω καὶ ἐπὶ Κωνσταντίνου ἐπολιτεύετο, ὁπη-
νίκα μάλιστα ἀνεγείρουσαι καὶ σχεδὸν αἱρέσεις πᾶσαι ἐκ τῶν τοῦ ᾅδου πυλῶν κατὰ τῆς
εὐσεβείας ῥαγδαίως ἐξώρμησαν. καὶ ἐν Ἀντιοχείᾳ δὲ κατὰ Παύλου τοῦ Σαμοσα-
τέως μὴ οὐχὶ συνηθροίσθησαν σπ΄. θεοφόροι Πατέρες; καὶ ἐν τῷ καιρῷ
τῶν διωγμῶν, ἐπὶ Γαλλιηνοῦ βασιλέως. καὶ τοῦτο δὲ θεωρίας ἄξιον, ὡς εἰ καὶ
πληροφορίαν παρέχουσι πλείω αἱ οἰκουμενικαὶ σύνοδοι, ἀλλὰ μεῖζον ἐμφαί-
νουσι τὸ ἐκ Θεοῦ θαυμάσιον αἱ κατὰ χώρας περὶ τοῦ αὐτοῦ δόγματος συνερ-
χόμεναι, καὶ ταυτὸ συμφώνως ἀποφαινόμεναι· τὸ δὲ παρὰ σοῦ καὶ τῶν λατίνων
προβαλλόμενον, ὡς ῥᾷον καὶ συντομώτερον ὑφ' ἑνὸς ταῦτα τοῦ Πάπα διαιτᾶ-
σθαι, λίαν ἐστὶν ἀσυνήθες καὶ ἀπαράδεκτον. Πάπας γὰρ ἦν καὶ ὁ Ἀδριανὸς, ἀλλ'
ὅμως ἐν τῷ περὶ χρίσματος αὐτοῦ βιβλίῳ, ἐν ἕκτῳ ζητήματι, (ὡς φέ-
ρεται παρὰ Γεωργίῳ τῷ Κορεσσίῳ τῷ τῆς μεγάλης ἀνατολικῆς ἐκκλησίας Θε-
ολόγῳ) τοιάδε φησί. τὴν ἀσφάλειαν τῆς περὶ κρίσεως τῶν δογμάτων μὴ εἶναι
ἐν τῷ Πάπᾳ, ἀλλ' ἐν τῇ ἐκκλησίᾳ καὶ τῇ οἰκουμενικῇ συνόδῳ. καὶ εἴπερ
ἱκανὸς ὁ Πάπας μόνος εἰς τὰς ἀμφισβητήσεις, παυσάθωσαν ἄρα καὶ οἱ ἀ-
ποστολικοὶ κανόνες, καὶ οἱ συνοδικοὶ, τὰς συνόδους δὶς τοῦ ἔτους ἢ ἅπαξ δια-
κελεύοντες. οὗ τί ἂν ῥηθῇ τολμηρότερον; ἀλλὰ καὶ πῶς οὐ περιφανῶς ἐπικίν-
δυνον, ὥστε ἁμαρτάνειν περὶ τὰ πάντα τοιοῦτον ἕνα, καθιστάμενον ἐπὶ πάν-
των τῶν τῆς πίστεως, ἐπειδὴ κατ' ἀνθρώπους ὑποκείμενος τῷ τρεπτῷ τῆς δια-
νοίας γινώσκεται καὶ τοῖς πάθεσιν, ὡς τὰ τολμηθέντα τοῖς Πάπαις κατὰ τῆς ἀνα-
τολικῆς ἐκκλησίας μάλιστα παριστῶσι, ἵνα καὶ τὰ πάλαι πως ἐσφαλμένα
σιωπήσω, τὰ κατὰ Μάρκελλον Ἀγκύρας, καὶ Ἀπιάριον τὸν ἄφρονα, μάτην δι-
καιωθέντας, καὶ Παυλῖνον κακῶς προβληθέντα εἰς Ἀντιόχειαν, ὡς ἄνω
παρεστήσαμεν, καὶ Οὐϊτάλιον ἀλόγως κατακριθέντα, τά τε κατ' Ὀνώριον,
Λιβέριόν τε καὶ Φήλικα, καὶ Μαρκελλῖνον, ἵνα ὅλως καὶ τοὺς ἀτάκτως ἐπιστη-
δήσαντες, Δάμασον καὶ Βιγίλιον, καὶ μυρίους μετ' αὐτοὺς ἄλλους, ὧν μὴ διὰ
τῆς θύρας εἰσελθόντων, πῶς πιθανὸν τὴν τῆς ἀοράτου πίστεως θύραν ἀσφα-
λῶς αὐτοὺς τοῖς ἄλλοις ἀνοίγειν, ἣν ἑαυτοῖς πολλοὶ τοιοῦτοι ἐγνώσθησαν ἀπο-
κλείσαντες; εἰ δὲ καὶ τοσοῦτον ἐπάθετε φιλαυτίας, ὥστε μοναρχίαν ὑμῖν αὐ-
τοῖς ὀνειροπολεῖν, δότε ἣν λάβετε ἀρχιερέα, μὴ ἄνθρωπον, ἀλλ' ἄγγελον.
εἰ δὲ καὶ ἄνθρωπον, κἂν ἀπαθῆ, καὶ ἀφίλαυτον, ἢ μᾶλλον φιλάδελφον,
μὴ παραβαίνοντα τὰ πάτρια καὶ τοὺς κανόνας, ἵνα μὴ ἀκούῃ ὀνειδιζόμενος,
ὅτι σαρκικοί ἐστε. ὅταν γὰρ λέγῃ τις, ἐγὼ εἰμὶ Παύλου, ἐγὼ δὲ Ἀπολλῶ,
ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περι-
πατεῖτε; ὅπου γὰρ ἐν ὑμῖν ζῆλος, καὶ ἔρις, καὶ διχοστασίαι, ἐκεῖ ἀκαταστα-
σία, καὶ πᾶν φαῦλον πρᾶγμα. ἡ δὲ ἄνω σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔ-
πειτα εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀ-
διάκριτος, καὶ ἀνυπόκριτος, ταῦτα Παῦλος καὶ Ἰάκωβος. ταῦτα
γυμνάζεσθε καὶ μοναρχίας οὐ χρήζετε, καὶ μοναρχίαν οὐκ ἔχοντες ἕ-
ξετε, καὶ οὐ φιλαυτεῖτε.

Ἀλλὰ

Ἀλλὰ φήσεις τρίτον ἐνιστάμενος. οὐδέποτε ἡ ἐν Χαλκηδόνι σύνοδος
γεγράφηκε πρὸς τὸν Μακάριον Λέοντα, λέγουσα αὐτὸν τὴν τῆς ἀμπέλου φυ-
λακὴν ἐπιτετραμμένον, εἰ μὴ ἄρχοντα τῆς ἐκκλησίας ἐγίνωσκε; καὶ μὴν οὐδὲ
μόνον ὡλῶστε ὀνομάζει τοῦτον ἀμπελοφύλακα, εἰ μυστικὸς ἀμπελὼν ἡ ἐκ-
5 κλησία, ὡς εἴπομεν. πλὴν ἀλλ' οὐδ' ἁπλῶς φύλακα τῆς ἀμπέλου λέγει. ἀλλ'
ἀντεπιφέρουσα τὸν λόγον πρὸς τὸν αὐτῷ ἐπιμανέντα Διόσκορον, ὃν καὶ μονιὸν
ἄγριον προσαγορεύει, ἐλυμαντῆρα τῆς ἀμπέλου. ἄκουσον δὴ καὶ τῆς ῥήσεως.
καὶ ὡς μονιὸς ἅπαξ ἄγριος ἐπιπεσὼν τῇ ἀμπέλῳ, τὴν μὲν ἀρίστην ὑπὲρ φυ-
τείαν ἀνέτρεψεν. τὴν δὲ ὡς ἄκαρπον ἐρριμμένην εἰσήγαγεν. ἔτι καὶ κατ' αὐτοῦ
10 τοῦ τὴν τῆς ἀμπέλου φυλακὴν παρὰ τοῦ σωτῆρος ἐπιτετραμμένου τὴν μανίαν
ἐξέτεινε, λέγομεν τῆς σῆς ὁσιότητος, καὶ ἀκοινωνησίαν κατὰ τοῦ τὸ σῶμα τῆς
ἐκκλησίας ἑνῶσαι σπουδάσαντος ἐμελέτησεν. ὁ ἄρα τοίνυν, πῶς καὶ διὰ τί
φύλαξ ἀμπέλου ὀλέων. ἐῶ σὺ τὰ λοιπὰ ὡς περιττολογήματα, καὶ τὰς ὑπὸ
τῶν παρ' ὑμῖν καινοτομησάντων ἐνστάσεις. οὐδὲν γὰρ ἡμῶν καθάπτονται. ἢ
15 ὅτι καλῶς ἐκείνων λεγόντων, μίαν κεφαλὴν τὸν Χριστὸν. καὶ ὅτι ἑτέραν
ὡς ἐκεῖνον ἐπὶ γῆς μηχανᾶσθε, βλάσφημον. ὑμεῖς ἀνάπαλιν ὁρατὴν κα-
τασοφίζεσθε τὴν καθόλου ἐκκλησίαν. καὶ ὁρατῆς δεῖσθαι ὑπὸ Χριστὸν κα-
θολικῆς κεφαλῆς.

ΘΕΩΡΗΜΑ Δ΄

20 Ἐπειδήπερ ἡ ἀληθὴς τοῦ Θεοῦ ἐκκλησία ἐστὶν ὁρατή, δέον αὐτὴν ἔχειν καὶ ὁ-
ρατὴν ὑπὸ Χριστὸν τὸν κύριον κεφαλὴν, ἥτις ἐστὶν ὁ Πάπας.

Ἀεὶ μὲν τὸ περιττὸν ἐν τοῖς λόγοις, καὶ ἀηδὲς. τὸ δ' ἄκαιρον, καὶ ταῦτα
ἐκτεταμένον, καὶ ἐπαχθέστατον. πρόκειτο μὲν ἡμῖν ὦ βέλτιστε ἄνω-
θεν περὶ τῆς καθόλου ἐκκλησίας, σὺ δὲ τανῦν προθέμενος δεῖξαι,
25 ὅτι καὶ ὁρατὴ, περὶ τῆς καθόλου μὲν οὐδὲ γρῦ, πάντα δ' ἃ προτείνεις, περὶ τῆς
κατὰ μέρος ἐκλαμβάνονται. ὃ καὶ ἡμῖν οὐδαμῶς ἀντιλέγεται. ἤρκει μὲν τὸ
βραχύ πως τῆς ἀποκρίσεως, εἰς τὴν ὑπέρμετρον σου σκιαμαχίαν. ἀλλ' ἵνα
μὴ ἐάσω σου ἀλύτους τοὺς ὁπωσδήποτε λόγους καὶ μαρτυρίας, τὴν ἑτέραν
τραπέσθαι διέγνωκα. διαιρῶν ποσαχῶς ἡ ἐκκλησία νοεῖται. κἂν ταῖς διαιρέσε-
30 σι τὰς ὑπὸ σοῦ προηγμένας ῥήσεις ἐφαρμόζων, οὕτως ἐξελέγξαιμι μηδὲν
καίριον περὶ τῆς ὑποθέσεως συμπεραίνοντα.

Διχῇ τοίνυν τὸ τῆς ἐκκλησίας ὄνομα ἐκλαμβάνεται. Πρῶτον προσωπικῶς Α΄
οἷα πᾶσα σύναξις ἀνθρώπων, κοινωνοῦσα τοῦ αὐτοῦ λόγου καὶ πράξεως.
Δεύτερον, τοπικῶς οἷα ὅπου συναθροιζόμεθα. φέρ' εἰπεῖν, ναοὶ, ἀγοραὶ, θέ- Β΄
35 ατρα, βουλευτήρια. καὶ αὐτὴ δὲ ναοῦ λαμβάνεται ὡς τὸ πρὸς Κορινθίους πρώτη
ἑνδεκάτῳ κεφ: μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν, ἢ τῆς ἐκκλη-
σίας τοῦ θεοῦ καταφρονεῖτε; καὶ ἐν δεκάτῳ τετάρτῳ τῆς αὐτῆς. αἱ γυναῖκες
ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν. αἰσχρὸν γάρ ἐστι γυναῖκας ἐν ἐκκλησίᾳ
λαλεῖν. ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. ἄμφω δὲ τό τε προσω-
πικῶς τό τε τοπικῶς εἰς δύο εἴδη ὑποδιαιρεῖται. εἰς πολιτικὸν καὶ πνευματι-
κόν. καὶ τὸ μὲν

κὸν· καὶ τὸ μὲν πολιτικόν, οἷα πᾶσα λαοῦ ἁπλῶς συνδρομὴ καὶ θόρυβος,
ὡς ἐπὶ τῶν ὁρμησάντων ἐν ἐφέσῳ κατὰ τῶν συνεκδήμων Παύλου, γαΐου, καὶ ἀρι-
στάρχου, ὁ γραμματεὺς Ἀλέξανδρος ὑπεραπολογούμενος λέγεται ὅτι ἀ-
πέλυσε τὴν ἐκκλησίαν. Ἢ καὶ αὐτὸς ὁ τόπος ἡ ἀγορὰ καὶ τὸ δικαστήριον, ὡς
αὐτόθι, εἰ δὲ περὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται.
Γ' Τὸ δὲ πνευματικῶς ἐκλαμβανόμενον (ὃ καὶ τρίτον) σημαίνει τὴν σύναξιν
ἢ ἔννομον ἢ παράνομον. ἄνομον μὲν ὡς αἱ παρὰ κανόσι λεγόμεναι παρα-
συνάξεις καὶ σχίσματα, οἷον καὶ τὸ τοῦ ψαλμοῦ ἐμίσησα ἐκκλησίαν πονηρευο-
Δ' μένων. Ἔννομον δὲ (ὃ καὶ τέταρτον) οἷα τὰ κάτωθεν. ἣν καὶ πενταχῶς βαθ-
Ῥωμ: ις'. μηδὸν θεωροῦμεν. Ἢ ὀλίγων τινῶν ἐν οἴκῳ, ὡς τὸ ἀσπάσασθε τὴν κατ' οἶκον
Ε' αὐτῶν ἐκκλησίαν. Πέμπτον, ἢ πολλῶν οἴκων εἰς μίαν ἐνορίαν, ὡς τὸ ἐν ἐκ-
κλησίαις εὐλογεῖτε τὸν θεόν. καὶ τὸ πρὸς Κορινθίους πρώτης: ιδ'. ὁ λαλῶν
ς' γλώσσῃ ἑαυτὸν οἰκοδομεῖ. ὁ δὲ προφητεύων ἐκκλησίαν οἰκοδομεῖ. Ἕκτον,
Α': κορινθ: α': πολλῶν ἐνοριῶν εἰς μίαν ἐπισκοπήν. τῇ ἐκκλησίᾳ θεοῦ τῇ οὔσῃ ἐν κορίν-
Ἀποκ: α'. Ζ' θῳ. καὶ ἐν τῇ ἀποκαλύψει, ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν ἀσίᾳ. Ἕβδο-
Πράξ: κ'. μον, ὁ λαὸς ὅλος αὐτοῦ τοῦ ἐπισκόπου, τὸ καὶ ὑπὸ σοῦ προσενεχθέν. προσέχετε
τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς ἔθετο τὸ πνεῦμα τὸ ἅγιον ἐπισκόπους ποιμαίνειν τὴν
ἐκκλησίαν τοῦ θεοῦ· καὶ Παῦλος ἐν τῇ: β': πρὸς κορινθίους, κεφαλαίῳ ἐν-
Η' δεκάτῳ, ἄλλας ἐκκλησίας ἐσύλησα λαβὼν ὀψώνιον. Ὄγδοον, ὁ ἐπίσκο-
πος, καὶ οἱ πρεσβύτεροι ὡς ἐν βουλῇ καὶ δικαστηρίῳ. ὃ καὶ σὺ προσήνεγ-
Ματθ: ιζ'. κας. ὡς τὸ παρὰ τῷ Ματθαίῳ· εἰπὲ τῇ ἐκκλησίᾳ. ἐὰν δὲ καὶ τῆς ἐκκλησίας
Θ' παρακούσῃ, ἔστωσοι ὡς ὁ ἐθνικός· Ἔννατον, οἱ ἐντιμότεροι τῆς πόλεως ἅμα
ἱερέων καὶ λαϊκῶν ὡς τὸ ὑπὸ σοῦ προσφερόμενον, οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ
Πράξ: ιη'. τῆς ἐκκλησίας διήρχοντο τὴν φοινίκην. καὶ ἐν ταῖς πράξεσι, κατελθὼν εἰς
Ι' καισάρειαν ὁ Παῦλος, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν. Δέκατον,
ἡ πολλῶν πόλεων εἰς μίαν Μητρόπολιν. ὅθεν ὁ τέταρτος κανὼν τῆς: α'.
συνόδου, τὸ κῦρος φησὶ τῶν γινομένων περὶ ψήφου ἐπισκόπου δίδοσθαι τῷ Μη-
ΙΑ' τροπολίτῃ τῆς ἐπαρχίας, λέγεται γὰρ καὶ ἡ ἐπαρχία ὅλη μία ἐκκλησία. Ἑν-
δέκατον, ἡ πολλῶν Μητροπόλεων εἰς ἕνα ἔξαρχον τοῦ ἔθνους. ὡς ὁ κανὼν τῶν
ἁγίων ἀποστόλων: λδ'. τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐ-
τοῖς πρῶτον. ἐκεῖνον δὲ μηδὲν ποιεῖν ἄνευ τῆς πάντων γνώμης. καὶ τῆς τε-
τάρτης συνόδου, κανὼν ἔννατος καὶ δέκατος ἕβδομος. εἴ τις ἀδικεῖται
ὑπὸ τοῦ ἰδίου Μητροπολίτου, ἢ ἀμφισβητοίη πρὸς ἐκεῖνον, καταλαβέτω τὸν ἔ-
ξαρχον τῆς διοικήσεως, ἢ τὸν Κωνσταντινουπόλεως θρόνον. ἔξαρχοι δὲ οἷον ἀ-
σίας μὲν ὁ ἐφέσου, ἀνατολῆς δὲ ὁ καισαρείας, θράκης ὁ ἡρακλείας, Μα-
ΙΒ' κεδονίας ὁ θεσσαλονίκης, πελοποννήσου ὁ κορίνθου. Δωδέκατον, πολλῶν ἐθνῶν
εἰς ἕνα Πατριάρχην. εἰς πέντε δὲ ἀπὸ τῶν χρόνων τῆς πρώτης συνόδου ἐκεφα-
λαιώθησαν (τριῶν πρότερον ὄντων ἢ τεσσάρων πρὸ τῆς ἁλώσεως καὶ καταστροφῆς
Ἱερουσαλήμ) καὶ ὑπὸ τῶν ἑξῆς ἁγίων συνόδων πέντε ἐσφραγίσθησαν. φησὶ δ' ὁ
Συνόδ: α': ἕκτος κανὼν τῆς πρώτης. τὰ ἀρχαῖα ἔθη κρατείτω τὰ ἐν αἰγύπτῳ καὶ λιβύῃ καὶ
καν: ς' πενταπόλει. ὥστε τὸν ἐν ἀλεξανδρείᾳ ἐπίσκοπον πάντων τούτων ἔχειν
τὴν ἐξουσίαν

τὴν ἐξουσίαν, ἐπεὶ καὶ τῷ ἐν Ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν. ὁμοίως δὲ
καὶ κατὰ τὴν Ἀντιόχειαν, καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις σώζεσθαι τὰ πρεσβεῖα.
καὶ τὸν ἐν Αἰλίᾳ ἐπίσκοπον τιμᾶσθαι κατὰ τὴν ἀρχαίαν παράδοσιν. ἐν ἑβδόμῳ
ταύτης κανόνι διορίζεται. Δέκατον τρίτον, ἐκκλησία λέγεται ἡ τῶν πέντε τού- ιγ´
5 των Πατριαρχῶν εἰς ἓν συνέλευσις. ἐν ᾗ πᾶσα ἄλλη ἱεραρχία εἰς μίαν
ἕνωσίν τε καὶ πρὸς ἀλλήλους ἀδιάσπαστον κοινωνίαν, τάτε κατὰ πίστιν, τάτε καθ'
ὁμολογίαν, τάτε κατὰ μυστήρια, τάτε κατὰ πνευματικὰς χορηγίας, καὶ τὸ δυνα-
τὸν κατ' ἤθη καὶ πολιτείαν συμπεριέχεται. περὶ ταύτης εἴρηται, ἐπὶ ταύτῃ τῇ
πέτρᾳ οἰκοδομήσωμεν τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐκ ἀπισχύσουσιν αὐτῆς.
10 καὶ ἐν τῇ πρὸς Ἐφεσίους κεφ: πέμπτῳ ὁ Μακάριος Παῦλος. ὁ ἀνήρ φησι κε-
φαλή ἐστι τῆς γυναικὸς, καθὼς ὁ Χριστὸς τῆς ἐκκλησίας. οἱ ἄνδρες ἀγαπᾶτε
τὰς γυναῖκας ὑμῶν, καθὼς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν. καὶ ἐν τῷ δωδεκάτῳ τῆς
α: πρὸς Κορινθίους. καὶ οὓς μὲν ἔθετο ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους,
δεύτερον προφήτας, τρίτον διδασκάλους. καὶ αὕτη κυρίως λέγεται ἡ καθόλου,
15 καὶ ἁπλῶς ἐκκλησία θεοῦ, ἡ μήτηρ πάντων ἡμῶν, καὶ νύμφη τελεία Χριστοῦ,
ἧς κεφαλὴ ὁ Χριστὸς, κατὰ τὸν αὐτὸν ἀπόστολον ἐν τῇ πρὸς Ἐφεσίους κεφ: πρώ-
τῳ καὶ δ´, καὶ ε´, καὶ τῇ πρὸς Κολασσαεῖς, πρώτῃ. καὶ ε´ πρὸς Φιλιππησίους.
εἷς δὲ κεφαλὴ καὶ μόνος ὁ Χριστὸς. κατὰ τὸν μέγαν Βασίλειον ἐν τῷ περὶ κρίμα- Βασίλειος.
τος θεοῦ μετὰ τὴν πρώτην σελίδα, ὃς ἐξηγούμενος τὴν ἀποστολικὴν ῥῆσιν, οὕτω φησί.
20 περὶ τῆς ἐκκλησίας τοῦ θεοῦ εἴρηται, ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ, καὶ μέλη ἐκ Α´ Κορινθ: ιβ´.
μέρους, κρατούσης δηλονότι καὶ συναπτούσης ἕκαστον τῷ ἄλλῳ, πρὸς ὁμόνοιαν τῆς
μιᾶς καὶ μόνης ἀληθῶς κεφαλῆς, ἥτις ἐστὶν ὁ Χριστὸς. Δέκατον τέταρτον λέ- ιδ´
γεται καὶ ἐκκλησία συνεκδοχικῶς τὸ ἐν μέρει εἰς ὅλην τὴν ἐκκλησίαν ἀναφε-
ρόμενον. ἵνα τὰ πλεῖστα ὑπὸ σοῦ παραφερόμεθα, καθὼς ἐξομολογεῖ γράφων
25 Κορινθίοις ὁ ἀπόστολος. ὅτι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ θεοῦ. ἐν Ἱεροσολύμοις Α´: Κορινθ: ιε´.
γὰρ καὶ Δαμασκῷ μόνον κατεπανίστατο ἔργῳ, τῶν δύο τούτων μόνων ἐκκλη-
σιῶν. ἀλλὰ σκοπῷ πάσης τῆς καθόλου. καὶ ὅτι καὶ συνεχομένων μεταξὺ τῶν
μελῶν πάντων πᾶν τὸ σῶμα εἰκότως λέγεται μετέχειν, ὧν τὰ καθέκαστα
μέλη πάσχουσι. κατὰ τὸ, εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη,
30 εἴτε χαίρει ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. τοιοῦτο καὶ τῇ πρὸς
Τιμόθεον πρώτῃ, κεφαλαίῳ τρίτῳ δείκνυται. γράφω σοι φησὶν ὦ Τιμόθεε,
ἵνα εἰδῇς, πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία θεοῦ ζῶντος,
στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας. ἀνεστρέφετο δὲ τότε ὁ Τιμόθεος
ἐν τῇ ἐκκλησίᾳ Ἐφέσου. ἀλλ' ἡ αὐτοῦ ὁσία ἀναστροφὴ πᾶσαν ᾠκοδόμει τὴν
35 ἐκκλησίαν.

Τοσούτων τοιγαροῦν ὄντων τῶν τῆς ἐκκλησίας σημαντῶν, ὑμεῖς ὦ 'γαθοὶ εἰς
τὸ ὁρατὴν εἶναι, διὰ μιᾶς ἢ ἑτέρας κατασκευάζετε, τὰ τῶν ἐνορίων δη-
λονότι καὶ πόλεων παραλαμβάνοντες. εἰ καὶ αἰσθητὰ ταύτῃ πάντως. ὑμῖν
δὲ αἰσθητὴ ἡ καθόλου ἐκκλησία. εἰ γὰρ ὁ Κόσμος ὑλικὸς φύσει, ἅμα καὶ ἐν
40 ταυτῷ αἰσθητὸς ὅλος, καὶ ὁρατὸς γενέσθαι ἀδύνατον, πῶς ὅλον τὸ σῶμα τῆς ἐκ-
κλησίας, νοητὸν ὂν καὶ μυστικὸν, ἐν πάσῃ τῇ οἰκουμένῃ περιεξαπλούμενον, ὁρατὸν

ἀποφαίνετε,

ἀποφαίνεις, καὶ αἰσθητόν; εἰ δὲ ἀόρατος, μάτην ἄρα παρὰ τὸν Χριστὸν ἑτέραν ἀγωνίζῃ κεφαλὴν εἰσάγειν, ἐφ' ὕβρει τῆς μόνης ἀληθῶς κεφαλῆς κατὰ τὸν μέγαν Βασίλειον. Ἔτι τοῦ γένους οὐκ ἔστιν ἓν ἄτομον ὡρισμένον ἀρχή, ἀλλ' ἢ πάντα, ἢ οὐδέν. γένους δ' οὔσης τῆς καθόλου ἐκκλησίας, οὐ δύναται ὡρισμένως, ὁ Πάπας εἶναι ἀρχὴ καὶ κεφαλή, ἀλλ' ἢ πάντες οἱ Πατριάρχαι, ἢ οὐδείς, πλὴν ὁ ὄντως τοῦ γένους δημιουργός, καὶ σωτήρ, καὶ νυμφίος, καὶ Βασιλεύς, καὶ Πατήρ, καὶ ἀψευδὴς διδάσκαλος, ἀοράτου ἀόρατος, ὁρατοῦ ὁρατός. ὁρατοῦ φημὶ τὸ κατ' ἀρχὰς γενομένης, καὶ μικρᾶς ἔτι κατὰ τὸ ἀσωματικόν. ἡ ἀδελφὴ ἡμῶν μικρὰ καὶ μαστοὺς οὐκ ἔχει. ὅσον γὰρ ἦν νηπιακή, περιόντος ἔτι σωματικῶς ἐν τῇ γῇ τοῦ Χριστοῦ. ἀπέλαβε δὲ τὸ γόνιμον μετὰ τὴν ἀνάληψιν τούτου, ἐπιφοιτήσει τοῦ ζωοποιοῦ καὶ τελεταρχικοῦ πνεύματος. ἀόρατος δὲ πάντως τοῖς κάτω ἡμῖν, ὁ τοῖς ἄνω γε ὁρατὸς κατὰ τὸ ὑπὸ τοῦ Παύλου, ἐν τῇ :β': πρὸς Κορινθίους, „εἰ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκ ἔτι γινώσκομεν. Πρὸς δὲ τὰς ῥήσεις τῶν Πατέρων ῥᾷον ἀπὸ τῶν ἄνω διαιρέσεων ἀποκρινόμεθα.

Καὶ πρὸς μὲν τὸ αὐγουστίνου πρῶτον, ἑρμηνεύοντος τὸ ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, τουτέστι καταφανῆ τὴν ἐκκλησίαν, συνεκδοχικῶς ἀπὸ τῆς δεκάτης τετάρτης διαιρέσεως λαμβάνοντες λύομεν. τὸ αὐτὸ καὶ πρὸς τὴν μεταφορὰν ὄρους ὑψηλοῦ, καὶ πόλεως ἐπάνω ὄρους κειμένης. τὸ αὐτὸ καὶ πρὸς τὴν μεταφορὰν τῆς λυχνίας.

Πρὸς δὲ τὸ τοῦ χρυσοστόμου, ὁμιλίᾳ τετάρτῃ, εἰς τὸ ἕκτον ἠσαΐου λέγοντος. ῥᾷον σβεσθήσεται ὁ ἥλιος, ἢ σκοτισθήσεται ἡ ἐκκλησία, περὶ τῆς καθόλου νοεῖται. ἢ συνεκδοχικῶς περὶ τῆς πίστεως. ἀντὶ τοῦ αἰτίου τὸ αἰτιατόν.

Α' Πρὸς δὲ τὸν πρῶτον συλλογισμόν, ὅτι ἡ ἐκκλησία διὰ τῆς κοινωνίας τῶν ἐν αὐτῇ νοεῖται, ἡ δὲ κοινωνία αἰσθητή, ἄρα καὶ ἡ ἐκκλησία. λύεται ἀπὸ τῆς ιδ': ε': καὶ ς': διαιρέσεως. μέχρι γὰρ πόλεως ἀπὸ οἴκου καὶ ἐνορίας ἡ ἐκκλησία αἰσθητή τε ἐστὶ καὶ ὁρατή.

Β' Πρὸς δὲ τὸν δεύτερον συλλογισμόν, ἐκ τῆς πρὸς τὴν παλαιὰν διαθήκην ἀναλογίας, ἡ αὐτὴ διαίρεσις ἐπιλύει τὴν ἀπορίαν. ἑνὸς γὰρ ὄντος τότε ναοῦ καὶ ἀρχιερέως, ἀναλογίαν εἶχεν ὡς πρὸς μίαν πόλιν. σύμφησι καὶ τοῦτο Γρηγόριος ὁ θεολόγος ἐν τῷ ἐγκωμίῳ τῷ εἰς τὸν μέγαν Βασίλειον, φάσκων οὑτωσὶ περὶ τοῦ Βασιλείου, „οὐ δὲ ἑνὶ τῆς ἰουδαίας ἔθνει καὶ μικρῷ τούτῳ ἐνομοθέτει περὶ βρωμάτων, καὶ πομάτων, καὶ λοιπῶν, ἀλλὰ καὶ παντὶ γένει καὶ μέρει τῆς οἰκουμένης.

Γ' Πρὸς δὲ τὸν τρίτον, ὅτι ἀπ' ἀρχῆς ἦν ὁρατὴ ἡ ἐκκλησία λύεις αὐτὸς λέγων, ὅτι ὁρατὸς τότε καὶ ὁ Χριστός, ἀναλόγως γὰρ τότε ἦν ἐνορίᾳ μιᾷ, ἢ καὶ οἴκῳ ἑνί.

Δ' Πρὸς δὲ τὸ τέταρτον, ὅτι πέτρῳ ἐπιτρέπεται ποιμαίνειν τὰ πρόβατα. οὐ ποιμαίνονται δέ, εἰ μὴ τὰ ὁρατά. λέγομεν ἡμεῖς ὅτι ἔργῳ ἐποίμαινεν ὁρατὰ ὡρισμένως. λόγῳ δὲ καὶ πνεύματι καὶ δυνάμει πάντα, ἀλλ' οὐχ ἅμα, οὐδ' ἀμέσως, οὐδ' ἐν τῷ αὐτῷ χρόνῳ. οὐ δὲ ἀπὸ ἰδίου στόματος καὶ χειρός, οὐ δὲ μόνος.

μόνος, ἀλλὰ καθὼς καὶ οἱ λοιποί, οὕτω καὶ πέτρος ἐποίμαινε. Τοιγαροῦν ἡ πᾶ-
σα ποίμνη ἀόρατος ἔργῳ. ἡ δ' ὁρατὴ οὐ τῆς καθόλου ἐστί.

Πρὸς τὸ πέμπτον ἐκ τοῦ ὁμοίου συλλογίζῃ οὕτω. σώματι φυσικῷ ὁρατῷ,
κεφαλὴ ὁρατὴ ἐπιγίνεται, ἄρα σώματι μυστικῷ ὁρατῷ, μυστική, ὁρατή.
5 ἀληθεύει τὸ πᾶν, ἀλλὰ πᾶσα ἡ καθόλου ἐκκλησία ἐστὶ μὲν μυστική, ὁρατὴ δ'
οὔ. ὃ δὲ προστίθημι ὡς ἀναγκαῖον εἶναι πάσῃ τῇ ἐκκλησίᾳ κεφαλὴν ἔχειν ὁρα-
τήν, ἡμεῖς ἐπίσης οὐκ ἀναγκαῖον λέγομεν, ἀλλὰ καὶ ἐπιζήμιον καὶ ὀλέθριον.
παρὰ τὴν γραφήν, παρὰ τοὺς κανόνας, παρὰ τὴν παράδοσιν, παρὰ τὸ εἰκὸς ἐκ
τοῦ ἀτόπου, καὶ ἐκ πάσης ἄλλης αἰτίας.

10 Ὅτι οὐκ ἀναγκαῖον κεφαλὴν ὁρατὴν ἔχειν τὴν ἐκκλησίαν.

Πρῶτον, οὐκ ἀναγκαῖον μέν, ὅτι ἱκανῶς, καὶ ἄριστα, καὶ ἀβιάστως κυ- α'
βερνᾶται οὕτως ἡ ἐκκλησία. μᾶλλον δὲ καὶ θαυμάσιον, ὃ καὶ παρ' ἡ-
μῖν τηλαυγέστατον, δείκνυται ἔργῳ ἐκ τοῦ ἐν τοσούτοις ἔθνεσι καὶ τοσαύ-
τῃ πολυαρχίᾳ, καὶ ταῦτα ὑπὸ ζυγὸν δουλείας, καὶ διωγμόν, διαπρέπειν
15 τὴν ἐν Χριστῷ μοναρχίαν, καὶ ἐν τοῖς πρὸς περὶ πάντα ὁμόνοιαν. Ἐπιζή- β'
μιον δὲ καὶ ὀλέθριον, ὅτι εἰς καταδυναστείαν, καὶ τυραννίδα καταλήγει ἡ μο-
ναρχία, ὡς ἐν ὑμῖν ἐστὶν αὐταπόδεικτον. Παρὰ τὴν γραφήν. ἀναιρεῖ γὰρ γ'
τοῦτο ὁ Χριστὸς πολλάκις, τῶν μαθητῶν ἀναμεταξὺ ζηλούντων τὰ πρωτεῖα
καὶ μεγαλεῖα. πόσῳ γὰρ μᾶλλον τὸ μοναρχικόν. Ἔτι ἀποστόλους δώδεκα ἰσο-
20 τίμους ἐκλεξάμενος, καὶ ἀποστείλας, ταύτην ἀριδήλως φαίνεται τὴν ἀκολου-
θίαν εἰς τὸ διηνεκὲς ἐντειλάμενος, τὴν ἀριστοκρατικὴν δηλαδή. Ἀλλὰ καὶ δ'
παρὰ κανόνας, ὅτι ἑκάστῳ τῶν Πατριαρχῶν περιορίζεται τὴν οἰκείαν ἐξουσίαν
ὁ ἕκτος τῆς ἐν Νικαίᾳ τὸ πρῶτον καὶ ἕτεροι κανόνες πλεῖστοι. Καὶ παρὰ τὴν ε'
παράδοσιν. ὅτι ἕως τῶν ἑπτὰ οἰκουμενικῶν συνόδων, καὶ πολὺ μετὰ ταῦτα, οὕ-
25 τως ἐπολιτεύοντο αἱ ἐκκλησίαι, μέχρις οὗ κοσμικῆς ἀρχῆς (θεοῦ παραχω-
ρήσει) δραξάμενος ὁ ῥώμης, καὶ τὴν ἐκκλησίαν ὅσον τὰ κατ' αὐτὸν ὑπο-
τάξαι πᾶσαν ἐπιχείρησεν, ἵνα μὴ λέγω ἐτάραξε καὶ διέσχισε. Καὶ παρὰ τὸ ς'
εἰκός, ὅτι μέρος ὢν καὶ αὐτός, ἐκκλησίας τε τῆς κατὰ μέρος ἐπίσκοπος, πλὴν
τῇ ἐπιτάξει τῶν ἀδελφῶν προεδρείας, τὸ κοινὸν τῆς οἰκουμενικῆς συνόδου ἀ-
30 ξίωμα οὐ δίκαιον ἑαυτῷ οἰκειοῦται ληστρικῶς, ἐν ᾗ πάρεστι καὶ Χριστός, οὐ δὲ γὰρ
παρόντος τοῦ βασιλέως τὰ βασιλέως φιλοτιμεῖται τις, εἴποτε καὶ αὐτοῦ ἐπί-
τροπος εἴη. Ἔτι εἰ ἐπίτροπος ὁ Πάπας λέγεται τοῦ Χριστοῦ, ὀφείλει ῥητῶς
ἐκ τῶν γραφῶν παραστῆσαι, καθὼς ῥητῶς διὰ βασιλικοῦ γράμματος ἐπι-
φέρονται ἐπίτροποι. εἰ δὲ μή, καταγελῶνται καὶ ἀποβάλλονται, ὡς διδάσκει
35 καὶ ὁ θεῖος Ἱερώνυμος εἰς τὸ εἰκοστὸν τρίτον Ματθαίου λέγων. εἴ τι ἐκ τῶν "
γραφῶν τὸ κῦρος οὐκ ἔχει, ὅσον εὐχερῶς λέγεται, τοσοῦτον καὶ καταφρο- "
νεῖται. εἰ δὲ πάλιν πέτρου αὐχεῖ τὴν διαδοχήν, ἡμεῖς οὐ δὲ πέτρῳ μόνῳ τὴν
ἐπιτροπὴν τοῦ Χριστοῦ χαριζόμεθα. Οὐ δὲ γὰρ ἔχει ταύτην μόνος. Ἐκ τοῦ ζ'
ἀτόπου, ὅτι ταῦτα πραγματευσάμενος μετὰ τῶν ὑπ' αὐτὸν ὁ ῥώμης, εἰς
40 πλεῖστα περιέπεσε καινοτομιῶν ἀτοπήματα. ὥστε τοῦτ' ἀληθῶς ἀπὸ τῆς διαδοχῆς
ἔχειν ὤφειλε τοῦ πέτρου τὸ κατ' οἰκονομίαν ἐν ταῖς γραφαῖς προφητικῶς γε-

χαρισμένον, τὸ ἐλέγχεσθαι δηλαδὴ ὑπὸ τοῦ ἀδελφοῦ Παύλου, ὅτι κατεγνωσμένος ἦν, ἐν τῇ ὑποκρίσει τῶν κατὰ νόμον διατηρήσεων. ἀλλ' ὁ μὲν ἅπαξ καὶ ταπεινοφρόνως φέρων τὸν ἔλεγχον, διωρθοῦτο. οἱ δὲ διάδοχοι πλειστάκις ἀδεῶς παραβαίνοντες, τὸν ἀδελφικῶς ἐπιπλήσσοντα οὐ προσίενται. καὶ ὀφρύϊ κατεπηρμένῃ ἐμπαροινοῦντες, ἐπαπειλοῦσι καὶ ἐπιτίθενται.

η′ Πρὸς δὲ τὸ ἔκθαμβόν σου καὶ τελευταῖον τοῦ λόγου, ὅπου φής, ποῦ τετηρήσονται τὰ τόσα ἔθνη ἀναπυλήσης αἱρέσεως; καὶ τὰ τοιαῦτα, διὰ βραχέων λέγομεν, ὅτι εἰς τὴν κοινὴν διὰ τῶν ἰδίων ἐπισκόπων κρίσιν, πρὸς τοὺς ἀκροτάτους ποιμένας ἢ πατριάρχας. ὃ καὶ ἰσοδύναμόν πως ἐστὶν οἰκουμενικῇ συνόδῳ, ὡς ἀνωτέρω εἴπομεν. τοῦτο καὶ παλαίτατον ἔθος, καὶ διὰ τῶν προκρίτων ἔτι ἀρχιεπισκόπων, καὶ μάλιστα διδασκάλων ἐπιτελεῖται, ὡς ἔστι καταμαθεῖν. ἐξ ὧν

θ′ πολλάκις ἐπιστέλλει Βασίλειος ὁ μέγας καὶ οἱ κατ' αὐτόν. Συνάγεις τέλος συλλαβὼν, τὴν λατινίδα μοναρχίαν οὖσαν, εἶναι καὶ ἀληθῆ ἐκκλησίαν, καὶ ταύτην ἐκείνης κεχωρισμένην εἶναι τοὐλάχιστον σχίσματι κάτοχον.

Πρὸς ταῦτα οὖν καὶ ἡμεῖς λέγομεν, ὅτι ψευδῆ συνείρεις, οὐδὲν ἀληθὲς θερίζεις. καὶ ὀνειροπολήσας μεγάλα καθ' ὕπνον φιλαυτίας, ἀνανήψας εὑρίσκεις οὐδὲν ταῖς χερσί. τοὐναντίον οἶμαι τῶν λεγομένων σοι πεισθήσονται οἱ νοῦν ἔχοντες, ὅτι ἀριστοκρατορική πως ὑπάρχουσα ἡ ἀνατολικὴ ἐκκλησία, καὶ ἀληθής ἐστι καὶ ἀποστολική. τῇ δὲ λατινίδι προσνείμας σὺ τὸ μοναρχικὸν, ἔλαθες μᾶλλον τὸ τυραννικὸν αὐτῆς θεατρίσας, ὅθεν πρόκειται καὶ ψευδὴς διὰ σοῦ, καὶ ἀποστατικὴ ἐξελεγχομένη. οὐ γὰρ μοναρχίαν συνέστησεν ἐν πολλοῖς ἀποστόλοις ὁ Κύριος, ἀλλὰ κοινότητά τινα ὁμόψυχον, ὅ ἐστιν ἀναντιρρήτως ἀριστοκρατία.

ΤΜΗΜΑ Ε′

Ὅπου δείκνυται ἡ θέσις ἐκ τοῦ πρωτείου τοῦ Πέτρου καὶ τῶν διαδόχων, οἷς ἡ λατινικὴ ἐκκλησία διαπαντὸς συνέζευκται.

Θαυμασίαν ἐνταῦθα κατασκευάζειν ἐπεχείρησας ἀπόδειξιν, εἰς τὴν τοῦ Πέτρου ἅμιλλαν διεγείρας τοὺς ἀποστόλους ἅπαντας, καὶ τὰ νικητήρια τῷ κορυφαίῳ ἀποφηνάμενος, ἑπομένως τε καὶ τοῖς διαδόχοις αὐτοῦ, οἵτινές ποτε πρὸς ἐκείνους ἀνταγωνίζονται. ἔστι δ' ὁ συλλογισμὸς οὗτος. ἡ λατινὶς ἐκκλησία καὶ πρὸ τοῦ χωρισμοῦ καὶ μετ' αὐτὸν, διαπαντὸς τῇ τοῦ Πέτρου καθέδρᾳ προσῳκείωται. ἀλλὰ μὴν ὁ Πέτρος καὶ Κορυφαῖος, καὶ ἔξαρχος, καὶ κεφαλὴ τῆς καθόλου ἐκκλησίας ἐστὶ, καὶ τῶν ἀποστόλων αὐτῶν. ἄρα τοιουτόθεν ἡ λατινὶς μᾶλλον ἀληθὴς ἐκκλησία νομισθήσεται τῆς ἀνατολικῆς, ἐκεῖθεν κεχωρισμένης. τὴν ἀκολουθίαν οὕτω συστῆσαι διισχυρίζῃ. εἰ κατὰ τὸ δυνατὸν ἢ ἀδύνατον, διεφέρετο Πέτρος καὶ ἕτερος ἀπόστολος, καὶ λύσις ἀνθρωπίνῃ κρίσει μὴ δύναιτο δι' ἀπορίαν γενέσθαι, νουνεχέστερος ἂν εἴη ὁ προσκείμενος τῷ ἐξάρχῳ καὶ ἡγεμόνι, τιμαῖς καὶ προνομίοις, καὶ χαρίσμασιν ὑπὲρ πάντας παρὰ Χριστοῦ ὑπερηρμένῳ. ἄρα διαφερομένων ἀναμεταξὺ ἀλλήλων καὶ τῆς λατινίδος καὶ τῆς ἀνατολικῆς, εἰ καὶ ἐξ ἴσου συνηγόροις χρῶνται,

χρῶνται, καὶ γραφαῖς καὶ πατράσι. συνεχέστερος ὁ τῇ πέτρου καθέδρα προσ-
κολλώμενος. ἢ ἑτέρα.

Ὅτι δὲ πέτρος καὶ τὰ ἐλάττονα ἐκεῖνα τυγχάνει πάντα, διὰ τῶν ἁγίων δι-
δασκάλων ὡς δοκεῖς παριστάνεις, πρὸς ἅπερ καθεξῆς, νῦν πρὸς τὸ προ-
5 τεθὲν ἀπολογούμεθα.

ἈΠΆΝΤΗΣΙΣ

Πρὸς μὲν τὴν μείζονα λέγοντες, μηδὲν ὠφελεῖν τῇ καθέδρα πέτρου,
προσοικειοῦσθαι ὑλικῶς καὶ μὴ πνευματικῶς. λέγω δὴ τὸ τὴν διαδοχὴν
τὴν τῆς ἐπισκοπῆς ἔχειν, καὶ μὴ τὴν τῆς ὁμολογίας, καὶ τελείας ὀρθο-
10 δοξίας. τοῦτο δ' ἀεὶ ὑποτίθεσθε, οὐδέποτε δ' ἀποδεικνύετε προσηλωμένην
εἶναι τὴν τοῦ πέτρου πίστιν τῇ καθέδρα. καὶ γὰρ εἰ καὶ ἄνωθεν ἰσχυρῶς ἀνετρέψα-
μεν, ἀλλ' οὖν κἀνταῦθα μικρὸν προσθησόμεθα. ἡ μὲν γὰρ θεολογία τοῦ πέτρου,
τῷ πέτρῳ εἶναι πνευματικὸν χάρισμα, καὶ τοῖς ἀποστόλοις πᾶσιν, ἐν τῇ διανοίᾳ
ἐγκεχαραγμένον. ὁ δὲ θρόνος ἔξωθέν πως ἐπιγίνεται. τοῦτο λατίνοις ἴσως
15 ἐγκατέλιπε, τὰ δὲ τῆς διανοίας οὐδυνατὸν, εἰμὴ διὰ διδασκαλίας. ἄλλως
γὰρ μετέδωκεν αὐτοῖς καὶ τὴν ἁγιότητα, καὶ τὰς θεοσημείας, καὶ τὰ τοιαῦτα. ἃ παρὰ
θεοῦ καταξιωθῆναι διὰ χάριτος ἑτέρας νέας, δυνατὸν, λαβεῖν δὲ ἀπο-
κληρονομίας ἀδύνατον. ὅθεν ἔλεγε καὶ ὁ μελίρρυτος θεῖος ἀμβρόσιος
προσφυέστατα (ἐν τῷ πρώτῳ βιβλίῳ περὶ μετανοίας κεφαλαίῳ ἕκτῳ) οὐκ » Ἀμβρ:
20 ἔχουσι τὴν πέτρου κληρονομίαν, οἱ τὴν πέτρου πίστιν μὴ ἔχοντες. πρὸς δὲ τὴν »
ἀνθολυθίαν, θαυμάζω σου τὴν ἐπὶ περιεργία ἀγχίνοιαν, μάχην πρὸς ἀλ-
λήλους τοῖς ἀποστόλοις ἐνστησαμένου, τοῖς τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην
διὰ τοῦ πνεύματος κληρωσαμένοις. ἐγὼ μὲν ἐλέγξαντι πέτρον τῷ παύλῳ
προσκείμαι, καὶ ὑπεραπολογουμένῳ ἑαυτοῦ πρὸς τοὺς ἐκ περιτομῆς αὐτῷ δια-
25 κρινομένους τῷ πέτρῳ συντίθεμαι. ἀλλὰ καὶ τοῦ τῶν ἀποῤῥήτων μυστολέκτου,
τοῦ ἠγαπημένου θεολόγου οὐδ' αὖποτε ἀποσταίην τῆς φωνῆς, οὐκ εἰ πέτρος, ἀλλ'
εἰ καὶ ἄγγελος ἐξ οὐρανοῦ ἄλλως εὐαγγελίζοιτο. ναὶ δὴ καὶ τῷ εἰς τρίτον
οὐρανὸν ἁρπαγέντι, καὶ ἄῤῥητα ῥήματα ἀκούσαντι ἀδιαστάκτως πιστεύσαιμι.
καὶ τέλος οὐ ματθαίῳ μόνῳ αὐτόπτῃ, ἀλλὰ καὶ μάρκῳ καὶ λουκᾷ τοῖς τῶν
30 αὐτοπτῶν ἀκροαταῖς· οὕτωσὶ τοῖς γραφεῖσιν ὑπείκω, καὶ τὸν νοῦν αἰχμα-
λωτίζω ταῖς συλλαβαῖς, οὐδὲν ἧττον εἰ ἐκ τοῦ κυριακοῦ ἐνηχούμενος ἤμην στό-
ματος. ὡς θεόθεν ὑπὸ τῆς ἀψευδοῦς σοφίας ἐμπιστευθέντων, καὶ ταῖς ἀ-
δύτοις περιλαμφθέντων φωτοχυσίαις τῆς θεαρχικωτάτης ἀληθείας. ἀλλ'
οἶδα τίνος χάριν κατέπλασας τὸν ἀγῶνα. ἔστησα θέλων τῷ πέτρῳ τὰ τρό-
35 παια, ἐκ τοῦ ἔξαρχον λέγεσθαι μόνον παρ' ὑμῖν, κορυφαῖον, κεφαλὴν τε καὶ
τῶν ἀποστόλων καὶ τῆς ἐκκλησίας, τίδήποτε, καὶ πατέρα, καὶ διδάσκαλον οὐ-
προσέθηκας, καὶ κριτὴν, καὶ δεσπότην, τὰ κυριώτατα τῶν ἐπισκόπων ὀνόμα-
τα· ναίφημι μάλιστα πρὸς τὸν λαὸν καὶ τὸν κλῆρον ἔχει καὶ λέγεται ταῦτα.
οὐ δὴ καὶ πρὸς τοὺς ἀδελφοὺς καὶ ὁμοταγεῖς. ἀπηγόρευσε γὰρ ὁ μονάρχης τῆς πί-
40 στεως χριστὸς λέγων, ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββὶ, εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητὴς
ὁ χριστός.

Ματθ: κγ΄. ὁ Χριστός. πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. καὶ πατέρα μὴ καλέσητε ὑμῶν
ἐπὶ τῆς γῆς. εἷς γάρ ἐστιν ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. μὴ δὲ κληθῆτε κα-
θηγηταί. εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητὴς ὁ Χριστός. διατί δὶς τοῦτο κατὰ τὸ αὐ-
τὸ λέγει, εἰ μὴ προβλέπων τὴν ἐπὶ διδασκαλίᾳ μοναρχίαν μηχανωμένους
τοὺς Πέτρου διαδόχους; πῶς εἶπεν, ὑμεῖς πάντες ἀδελφοί ἐστε καὶ προσέ-
θηκε (τὸ κεφάλαιον τῆς ῥωμαϊκῆς πίστεως) ὅτι Πέτρος ἐπίτροπος; μὴ ἔξαρ-
χος ὑμῶν, Πατὴρ, καὶ διδάσκαλος; μᾶλλον δὲ ἀναιρῶν τὸ πολλάκις ἀνα-
μεταξὺ αὐτῶν ἀμφισβητούμενον τίς μείζων, εὐθὺς ἐπάγει, ὁ δὲ μείζων ὑ-
μῶν ἔσται ὑμῶν διάκονος. εἴ τι γὰρ οὖν μείζων ὁ Πέτρος, ὑπηρετεῖ τοῖς
ἀδελφοῖς, καὶ αὐτοὶ ἀλλήλοις. καὶ οἱ διάδοχοι μᾶλλον. καὶ μὴ καταδυνα-
στεύοιεν τῶν ἀδελφῶν καὶ τῶν συνόδων, καὶ τὸ χεῖρον τῆς πίστεως. ὅπερ οὐδὲ Παῦ-
λος ἐτόλμα πρὸς οὓς εὐηγγελίσατο, διδάσκαλος ὢν καὶ Ἀπόστολος, λέ-
Β΄ Κορ: α΄. γων, οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς
ὑμῶν, τῇ γὰρ πίστει ἑστήκατε. καὶ ἡμεῖς μὲν οἱ ἀνατολικοὶ τῇ παραδοθείσῃ
ἀμώμῳ πίστει ἑστήκαμεν. τί ὅτι οὐκ ὤφθη συνεργὸς ὁ Πάπας τῆς χαρᾶς ὑ-
μῶν, ἀλλὰ κυριεύειν ἐπαγγέλλεται τῆς τῶν Πατέρων πίστεως.

Οὐκ ἀποστήσομαι τῆς ὑποθέσεως, εἰ μὴ ἐξαίρετον τῆς τοῦ Χριστοῦ διανοίας
ἑρμηνείαν παρὰ τοὺς λοιποὺς εἰσκαλέσας πρότερον ἐν Μάρκῳ τοῦ ὑφηγη-
τὴν αὐτοῦ πέτρον. κεφαλαίῳ ἐννάτῳ. ὅσον ἐμφαντικῶς ἐπέπληξε τοῖς μα-
θηταῖς ὁ σωτὴρ, διαλεχθεῖσιν ἀλλήλοις, τίς μείζων. ὅτι καὶ τὸ πρωτεῖον ἀ-
πέφηνε, τὸ ἔσχατον εἶναι καὶ διάκονον πάντων. καὶ παιδίον ἄκακον ἐναγκαλι-
σάμενος, ἔστησε τοῦ πράγματος ἀπεικόνισμα, καὶ τὸν ὀνικὸν μύλον ἐπηπεί-
λησε περιδεθέντα τῷ τραχήλῳ, καὶ καταποντισμὸν εἶναι ἄμεινον, ἢ τῶν μι-
κρῶν τινα σκανδαλίζειν, καὶ τὴν ἐκκοπὴν τῆς ἐπὶ πρόσκομμα χειρὸς, καὶ πο-
δὸς, καὶ ὀφθαλμοῦ διετάξατο. καὶ τὸ ἄσβεστον πῦρ, καὶ τὸν ἀτελεύτητον εἰς δι-
νεκὲς σκώληκα. καὶ συμπεράνας αἰνιγματωδῶς, ἔφη, ἔχετε ἅλας ἐν ἑαυτοῖς,
καὶ εἰρηνεύετε ἐν ἀλλήλοις. τί ἄλλο τοῦτο, ὥστε μὴ χρήζειν ἡμᾶς πρὸς τὴν
λύσιν τοῦ τῆς σφιγγὸς οἰδίποδος, εἰ μὴ τὴν ἄφθαρτον τοῦ εὐαγγελίου διδασκα-
λίαν καὶ γνῶσιν ἄνευ φιλοτιμίας· καὶ ὅσον ἀπεικὸς τοῖς ἀποστόλοις καὶ ἱε-
ράρχαις τὸ τοιοῦτο φιλαρχίας πάθος, ἠνίξατο λέγων. καλὸν τὸ ἅλας.
ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε. εἰ γὰρ οἱ τὴν γνῶσιν τῆς
εὐαγγελικῆς νομοθεσίας ἐγχειρισθέντες αὐτοὶ ἀποβάλλονται, τίς αὐτοὺς νου-
θετήσει, τίς ἐπιστρέψει; ἔχετε γοῦν τὴν γνῶσιν, καὶ τὴν πρὸς ἀλλήλους εἰρή-
Α΄: Κορίν: η΄: νην. ἡ γνῶσις γὰρ μόνη κατὰ Παῦλον φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. ταῦτά-
πως ἐνουθέτησεν, ἡνίκα τῶν τοῦ Ζεβεδαίου υἱῶν τὰ τῆς προκαθεδρίας αἰτη-
σαμένων ἠγανάκτουν οἱ λοιποί· καὶ ἄλλοτε ὁμοίως, ὅτε κατὰ τὸν μυστικὸν δεῖπνον
ἐγένετο φιλονεικία φησὶν ὁ Λουκᾶς. τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων, ἀπεφή-
Μάρ: ι΄. νατο ὁ Κύριος. οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν. ὑμεῖς δὲ οὐχ οὕτως.
Ματθ: κ΄. ἀλλ᾽ ὁ μείζων ἐν ὑμῖν, γενέσθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακο-
Λουκ: κβ΄. νῶν. ἐγὼ δὲ εἰμὶ ἐν μέσῳ ὡς ὁ διακονῶν. βαβαὶ τῆς τῶν ἀνθρώπων ἐκ φι-
λαρχίας ἀπονοίας, ὥστε πρὸς τὸ τηλαυγὲς τοῦ νοητοῦ ἡλίου φέγγος ἀπο-
τυφλώττειν.

τυφλώττειν, καὶ περὶ τὴν τῶν κοσμικῶν φιλοτιμιῶν ἀχλὺν ἐθέλοντι μυωπά-
ζειν. εἰ μοναρχίαν ἐνομοθέτει Χριστὸς, καὶ πρωτεῖον κυριότητος, ὅπερ ἀν-
τιποιοῦνται Λατῖνοι, μὴ οὐκ ἔπρεπεν ἄρα τοσαυτάκις ἁμιλληθέντων τῶν
μαθητῶν, ὁ διδάσκαλος ἀποφαίνεσθαι, ἢ πάλιν, ἄρα τὰ μέλλοντα θορυβήσειν
5 τὴν ξύμπασαν ἐκκλησίαν ἀπὸ τῆς μοναρχίας τῶν ῥώμης προέδρων τὸν πάν-
σοφον ἔλαθε νοῦν. μὲν οὖν γε καὶ πάντα πρὸ τῆς γενέσεως οἶδεν ἡ θεοῦ σοφία,
καὶ τὰ τῆς τυραννίδος ἀριδηλότατα διεκώλυσε, διακονίαν καὶ ταπείνωσιν,
τὴν εὐαγγελικὴν ἀρχὴν ἢ καὶ ἀρχιερωσύνην ἀποφηνάμενος. καὶ οὐκ ἔνι
πρὸς οὕτω σαφεῖς λόγους παραλογίζεσθαι. οὐ δὲ πρὸς ἀλήθειαν οὕτως εἰλικρινῆ
10 κατασοφίζεσθαι. οὐκ ἔστιν ἄρα πρωτεῖον ἐν ἀποστόλοις ἐκ τῆς διατάξεως τοῦ
Χριστοῦ. ἀλλ' οὐδ' ἐξ ἔθους ἢ παραδόσεως ἐκ τῶν αὐτῶν, ἢ τῶν Πατέρων, πλὴν
τοῦ τῆς τάξεως. οὐ μὴν ἐκ τῶν ἀποστόλων. αὐτὸς γὰρ, ὁ Κορυφαῖος ἐνδίκως
κληθεὶς, οὐ μὴν καλέσας ἑαυτὸν κορυφαῖον, καὶ ἠλέγχετο, καὶ ἀπεστέλλετο δια-
κονήσων μετὰ Ἰωάννου εἰς Σαμάρειαν, καὶ οἱ ἐκ περιτομῆς διεκρίνοντο πρὸς αὐ-
15 τὸν καὶ ἀνεξικάκως ἔφερε, μηδὲν φιλοπρωτεύων, ἢ φιλαρχῶν. ἀλλ' οὔτε
ἐκ τῶν Πατέρων εὕρομεν τοιοῦτόν τι. πρὸς γὰρ τὸν ῥώμης οἱ παλαίτατοι γρά-
φοντες, ἀδελφὸν, καὶ συλλειτουργὸν μόνον ἐπέγραφον, μέχρι καὶ μετὰ πρώ-
την σύνοδον. μετέπειτα ἐχρήσαντο ὡς καὶ πρὸς ἀλλήλους τὸ θεοφιλέστατος,
εὐλαβέστατος, καὶ θεοσεβέστατος. μικρῷ δ' ὕστερον τὸ Μακαριώτατος ἁ-
20 γιώτατος, ἃ δύο τελευταῖα τῷ ἔθει καὶ καταστάσει συνεστάλησαν εἰς μόνους τοὺς
Πατριάρχας. ἔτι καὶ εἰς αὐτοκεφάλους λεγομένους ἀρχιεπισκόπους. οὐδὲν ἄρα
πρωτεῖον μοναρχίας ἐν ἐκκλησίᾳ. τίνα οὖν τὰ προνόμια, καὶ τιμαὶ καὶ χαρί-
σματα πέτρου ὑπὲρ πάντας, ἃ προθέμενος εἰπεῖν παρέδραμες. εἰ μὲν ὑποτί-
θεσαι τὰ ἐν τοῖς ἄνω θεωρήμασιν, ἀποδείξαμεν εἶναι κοινά. ἀλλὰ καὶ μείζονα
25 τὰ Ἰωάννου. παρθένου ὄντος, ἀνεψιοῦ, ἀγαπητοῦ, κρυφιογνώστου, ἐπιστηθίου,
θεολόγου, πιστοῦ φίλου μέχρι καὶ ἐπὶ σταυροῦ, φύλακος καὶ υἱοῦ τῆς Θεοτόκου,
ταὐτὸ δ' εἰπεῖν ἀδελφοποιηθέντος. εὐαγγελιστοῦ, προφήτου, στύλου ὑπὸ Παύ-
λου λεγομένου, ἐκλεκτοῦ ἐν τοῖς τρισί. τὰ δ' Ἀνδρέου, καὶ Ἰακώβου οὐκ ἐλάτ-
τω, ὡς παρακατιόντες ἐπιστώσαμεν. οὐκ ἄρα τὸ κορυφαῖος ἐν τῷ πέτρῳ τὸ
30 μοναρχικὸν ἐμφαίνει, ἢ μόνον πρωτεῖον τάξεως. ἥνπερ ὅμως κορυφαιότητα
φαμὲν, κἀπὶ Ἰωάννου καὶ Ἰακώβου καὶ Ἀνδρέου εὑρίσκομεν παρὰ διδασκάλοις
ἁγίοις, μάλιστα τῷ χρυσοστόμῳ, ὡς ἐν ὁμιλίᾳ τριακοστῇ δευτέρᾳ τοῦ Ματθαίου
δείκνυται. πῶς δὲ καὶ τὸ κεφάλαιον τῶν ὑμετέρων ἀπὸ γραφῆς οὐκ ἔχετε δεῖ-
ξαι, ἀπὸ τοσούτων συνόδων, ἀπὸ προκρίτων Πατέρων, ἀπὸ βασιλέων, εἰ μὴ
35 ἀπὸ τῶν ἐν ῥώμῃ προεδρευσάντων, δῆλον, ὅτι τὰ μὲν φιλαρχούντων, τὰ δὲ
πρὸς ὑπηκόους ἢ ἀντιπάλους καυχωμένων, ὧν τὰς ῥήσεις εἰς οὐδὲν λογιζόμενοι,
μᾶλλον δὲ κατασίζοντες, τὰ τῶν Πατέρων ἀντεξετάσωμεν. εἰς γὰρ παράστασιν
ἀληθείας ἑκατὸν Παπῶν θεσπίσματα, μὴ διδασκάλων ὄντων τῆς ἐκκλησί-
ας, μιᾶς βασιλείου ἢ ἀμβροσίου καὶ τῶν ὁμοίων τούτοις γνώμῃ, οὐ τίθεμεν ἰσο-
40 τάλαντα. ἐκείνους γὰρ ἀπὸ φιλαυτίας φυσιωθέντας, τούτους θεόθεν ἐμπνευ-
σθέντας κηρύττομεν καὶ γινώσκομεν. ὅσος δὲ ἦν τοῖς πάλαι τῆς ἀρχῆς τε καὶ ἐξου-

σίαν ὁ τῶν

σίαν ὁ τῶν ῥωμαίων ἀρχιερεὺς, ὁ Πέτρου διάδοχος φημιζόμενος, καὶ μο-
νάρχης ὑπὸ τῶν ἰδίων λατίνων τῆς ἐκκλησίας κροτούμενος, ὁ πρὸς λίβελλον
τὸν ὁμολογητὴν Κωνσταντίνου καίσαρος, παρὰ θεοδωρήτῳ ῥητῶς παραληφ-
θεὶς, ἐκ τῶν ἀκουσάντων διάλογος διετράνωσε. φησὶ δ᾽ ὁ βασιλεὺς πρὸς τὸν
Πάπαν, προσημαίνειν σὺ τυγχάνεις τῆς οἰκουμένης ἁπάσης. ὅτι σὺ μόνος δίκ- 5
δικεῖς ἄνθρωπον μιαρώτατον (τὸν Ἀθανάσιον) καὶ τὴν εἰρήνην τῆς οἰκουμένης
ἅμα καὶ τῆς ἐκκλησίας διαλύεις. ἄκουσον ἀπόκρισιν οὐ Παπικὴν, κατὰ τοὺς
νεωτέρους ὑμᾶς, ἀλλὰ γραφικήν. οὐχ ὅτι φησὶν, ἐγὼ μόνος εἰμὶ, τῆς πί-
στεως ἡ ὑπόθεσις ἐλαττοῦται. ὅτι καὶ πάλαι τρεῖς εὑρέθησαν μόνοι τὸ τοῦ βα-
σιλέως ἀθετήσαντες πρόσταγμα. φησὶ γὰρ τοὺς τρεῖς παῖδας. καὶ μὴν 10
εἰ ὅλον τὸ κεφάλαιον τῆς ἐκκλησίας ὁ Πάπας ἦν, ὤφειλε γενναίως ὁμολο-
γῆσαι τοῦτο, ἀλλ᾽ οὔτ᾽ ἔστιν, οὔτε λέγειν ἐκεῖνος εἶχεν. ἐπὶ τὰς μαρτυρί-
ας οὖν τῶν πατέρων ἤδη ἀποδιδόντες, οὐχ ἕτερον θεωροῦμεν ἢ ἐπαίνους πρὸς τὴν
ῥωμαϊκὴν καθέδραν τε καὶ ποιμένας. τὰς πλείστας δ᾽ ἐν τούτοις νενοθευμένας.
ἄγε δὴ τὸ γράμμα εἰς ἔννοιαν ἀληθῆ διατεμόντες, τὰ ἀντιτιθέμενα δια- 15
λύσωμεν. κἄπειτα δείξωμέν τινας ἄλλους ἐπαίνους εἰς ἐλάττους θρόνους καὶ ἱε-
ρεῖς, οὐκ ἐλάττους γὰρ, ὧν ἐγκαυχῶνται οἱ Πέτρου διάδοχοι.

Α᾽ Χρυσόστομον εἰσάγεις ὀγδοηκοστῇ ἕκτῃ ὁμιλίᾳ εἰς τὸν Ἰωάννην (οὐκ ἔστι γὰρ
ἀλλὰ πεντηκοστῇ τετάρτῃ εἰς τὸ :ις᾽, Ματθαίου) οὕτω φησὶ στόμα ἦν ἀποστό-
λων ὁ Πέτρος καὶ ἔξαρχος. οὐ λέγει πρίγκιψ τὸ παρ᾽ ὑμῖν ὡς μέγα τι 20
θρυλλούμενον, ἀλλὰ Κορυφαῖον. ὃ καὶ πρῶτον δηλοῖ τῇ τάξει ἐν ὁμοταγέσι.
τί δὴ τοῦτο; καὶ αὐτῷ τῷ πέτρῳ καὶ Παύλῳ κοινόν. Ἰωάννῃ μὲν οὖν καὶ Ἰακώβῳ
τῷ ἀδελφῷ κατὰ χρυσόστομον, :θ᾽: κεφαλαίῳ Ματθαίου, μὴ τίνων ἐπαίρεται
ὁ ἐλάχιστον ἑαυτὸν καλῶν τῶν ἀποστόλων καὶ ἔκτρωμα; οὐ μόνου ἀλλὰ καὶ δι᾽
αὐτὸ τοῦτο μέγιστος, καὶ οὐ μόνον αὐτὸν, ὁ χρυσολόγος κορυφαῖον, ἀλλ᾽ 25
ἐκ τῶν δώδεκα ὡς εἰκὸς, καὶ ἄλλους ὑποτίθησιν, ὡς Ἀνδρέαν Ἰάκωβον, καὶ
Ἰωάννην. λέγει γὰρ ἐν :κ᾽: λόγῳ τῶν πράξεων κατὰ τὴν ἀρχήν. οὐδήποτε οὐ-
δένα τῶν κορυφαίων ἀποστόλων ἀπέστειλε πρὸς τὴν τοῦ Παύλου κατήχησιν, ἀλλ᾽
Ἀνανίαν. καὶ πάλιν ὁμιλίᾳ :λϛ᾽: Ματθαίου φησὶ, μετὰ τοὺς δύο Κορυφαίους
(Ἰάκωβον καὶ Ἰωάννην) ὁ Μάρκος τὸν ἀνδρέαν ἀριθμεῖ. καὶ ὁμιλίᾳ πεν- 30
τηκοστῇ ἕκτῃ, εἰς τὸ :ιζ᾽: Ματθαίου περὶ τῆς θείας μεταμορφώσεως, κορυφαίους τῶν
μαθητῶν ἐπίσης λέγει τοὺς τρεῖς, οὓς παρέλαβεν ὁ Χριστὸς ἐν τῷ ὄρει. ὅπως
γὰρ Κορυφαῖος ὁ Πέτρος, ἐξηγεῖται Κύριλλος εἰς τὸ :κά: Ἰωάννου. εἰς τὸ Σί-
Κύριλλ. " μων φιλεῖς με, οἱονεὶ προτεταγμένον λέγων. ἐπειδὴ σοφὸς τῇ φύσει ὁ
" ἄνθρωπος ἦν, κεκεντρωμένος οὐ μετρίως εἰς τὴν ἐπὶ τὸ δρᾶσαί τε καὶ εἰπεῖν 35
" προθυμίαν. διὸ δὴ καὶ πρῶτος τὴν πίστιν, ὅτε δὴ πεῦσιν αὐτοῖς προσκεκόμικεν
" ὁ σωτὴρ, τίνα με λέγουσιν, ὑμεῖς γὰρ τίνα με λέγετε, προεξάλλεται πάλιν τῶν ἄλ-
" λων ὁ κορυφαῖος, καὶ τῶν ἄλλων προτεταγμένος, καὶ ὁ χρυσοῦς Ἰωάννης. λό-
γῳ :κά: τῶν πράξεων, ὅπου στρατηγῷ παρεικάζει τὸν πέτρον (ὃ καὶ σὺ προτεί-
νεις) ἐπαινεῖ, ὡς πρῶτον φερόμενον, ἐν ταῖς ἀπολογίαις, ἐν τῇ ἐπιστα- 40
σίᾳ, καὶ ἐν τοῖς κινδύνοις.

Καὶ ὁ θεῖος

Β´ Καὶ ὁ θεῖος Ἐπιφάνιος, ὃ καὶ σὺ δεύτερον ἀντιτείνεις, ἐν αἱρέσει: λά. ἥτις καὶ :νά: μετὰ τὸ μέσον μικρὸν, ἐρωτῶν τί δήποτε Ἀνδρέας μείζων ὢν τοῦ πέτρου ὑπεστάχθη; φησὶν ὅτι ἡ τελεία αὐτοῖς ἀπόταξις ἀπὸ τοῦ πέτρου γεγένηται, ἐπειδὴ καὶ αὐτὸς ἀφηγεῖτο τοῦ ἰδίου ἀδελφοῦ. καὶ ἔτι καὶ τοῦτο, ὅτι Θεός ἐστιν, ὁ εἰδὼς τὰς κλήσεις τῶν καρδιῶν, καὶ γινώσκων τίς ἐν πρώτοις ἄξιος τάττεσθαι. καὶ ἐξελέξατο τὸν πέτρον, ἀρχηγὸν εἶναι τῶν αὐτοῦ μαθητῶν. οὐχ ἁπλῶς οὖν ἀρχηγὸς, ἀλλ᾽ ὡς ἐν πρώτοις ἄξιος τάττεσθαι. καὶ τοῦτο μὲν κατ᾽ Ἐπιφάνιον. ἀλλὰ καὶ κατὰ τὸν θεῖον καὶ ὄντως χρυσορρήμονα Ἰωάννην. οὐκ Ἀνδρέας, ἀλλὰ πέτρος πρωτότοκος, ἐν: νή: ὁμιλίᾳ εἰς τὸ: ιζ: τοῦ Ματθαίου. ὅπου λύει καὶ τὴν ἀπορίαν, διατί πέτρῳ ἐπέτρεψε, τὰ τοῦ στατῆρος εὑρεῖν ἐν τῷ ἰχθύος στόματι, καὶ εἶπεν αὐτῷ, δὸς ἀντὶ ἐμοῦ καὶ σοῦ. ὅτι δῆθεν πρωτοτόκων ἦν τὸ τέλος ἐκεῖνο ὀφειλόμενον. ἄμφω δὲ καὶ Χριστὸς καὶ Πέτρος πρωτότοκοι.

Γ´ Ἐκ τοῦ αὐτοῦ εἰς τὸ τῶν πράξεων: ιβ΄. τὸν Πατέρα πάντες ἐπεζήτουν ἐν φυλακῇ ὄντα, δηλαδὴ ὁ λαὸς καὶ ἡ ἐκκλησία, καὶ τὸ μέγα τὸ καὶ ἐπισκόπου κοινόν.

Δ´ Ἐκ τοῦ αὐτοῦ διδασκάλου τρίτῳ λόγῳ τῶν πράξεων. ἐπὶ τῇ ἐκλογῇ Ματθίου. οὕτω παράγεις, ὡς γινώσκει πέτρος τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, ὡς ἔστιν ἐν τῷ χορῷ τούτῳ ἐξάρχων.

ΑΠΟΚΡΙΣΙΣ

Οὐ ῥητῶς εἰσὶ ταῦτα. δέξαι τὰ κύρια. καὶ ὡς θερμὸς καὶ ὡς ἐμπιστευθεὶς παρὰ Χριστοῦ τὴν ποίμνην, καὶ ὡς τοῦ χοροῦ πρῶτος, ἀεὶ πρότερος ἄρχεται τοῦ λόγου. ναὶ τὴν ὑποδιαστολήν. ἄλλο ποίμνη, καὶ ἄλλο χορὸς τῶν ἀποστόλων. τὴν ποίμνην ἐμπιστεύεται, ὡς καὶ οἱ λοιποί. τοῦ δὲ χοροῦ πρῶτος. σαφὲς καὶ τὸ κατωτέρω. ὅρα τὸν πέτρον μετὰ κοινῆς πάντα ποιοῦντα τῆς γνώμης, οὐδὲν αὐθεντικῶς, οὐδὲ ἀρχικῶς. εἰ τοίνυν πέτρος οὐδὲν αὐθεντικῶς οὐδὲ ἀρχικῶς ἐν τῇ ἐκλογῇ τοῦ μαθητοῦ (ὃ καὶ ἠδύνατο κατὰ τὸν αὐτὸν) ἀλλὰ μετὰ κοινῆς γνώμης, οὐ τῶν ἀποστόλων μόνον ἰσοδυναμούντων πάντως αὐτῷ, ἀλλὰ καὶ τῆς ἐκκλησίας ἁπάσης, τῶν ἑκατὸν εἴκοσι τότε ὄντων ἀνδρῶν, ὡς κατωτέρω φησὶν. οὐχὶ πέτρος (τοὺς δύο) ἔστησεν, ἀλλὰ πάντες, τίνος οὖν ἕνεκεν μόνος ὁ Πάπας μετὰ τῶν σὺν αὐτῷ ἄνευ τῆς βουλῆς τε καὶ γνώμης τῶν ἰσοδυναμούντων αὐτῷ ἀνατολικῶν, τὸ τῆς ἐκπορεύσεως ἀνεκήρυξε δόγμα, κἂν τῷ συμβόλῳ ἐνέθετο, οὐ μόνον, οὐ συμφωνούντων, ἀλλὰ καὶ πλειστάκις ἀντιλεγόντων, καὶ καταβοώντων αὐτῶν, καὶ τοῦτο οὐ διὰ ψῆφον ἢ ἐκλογὴν ἐπισκόπου τινὸς, ὃ καὶ ἀνεκτὸν ἴσως ἦν, καθὼς τὰ κατὰ Παυλῖνον, ἀλλὰ διὰ καινοτομίαν πίστεως τολμηθεῖσαν. ἄρα οὖν οὐκ αὐθεντικῶς καὶ ἀρχικῶς διεπράττετο, ὑπὲρ τὸν πέτρον οὖν τὸν ὑμῶν ἡμεῖς στήσομεν Πάπαν τοιαῦτα διαπραττόμενον, εἰ οὐδὲ πέτρος, καὶ οὐ κατὰ πέτρον, ὥσπερ ὑμεῖς. εἰ δὲ καὶ ὑπὲρ πέτρον, σκέψασθε, μὴ καὶ τὸν αὐτὸν Πατέρα τῆς ἐκκλησίας καθέλητε, καὶ τὸν Πάπαν ὑμῶν ἀντικαταστήσητε. ὁ ποῖος δ᾽ ὁ τοιοῦτος, αἴσχιστον καὶ παμβδέλυκτον τὸ νοῆσαι.

ε' Ἐκ τοῦ αὐτοῦ λόγῳ ὀγδοηκοστῷ, πρὸς τὸν ἐν Ἀντιοχείᾳ λαόν. Πέτρῳ τὴν τῆς οἰκουμένης παρέδωκε προστασίαν, φημὶ κἀγὼ, ἀλλ᾽ οὐ μόνῳ, πᾶσι δ᾽ ὁμοῦ. καὶ Ἰωάννῃ, ὡς ἄνωθεν ἐδίδαξε, καὶ τοῖς ἄλλοις ἑπομένως. καὶ Παύλῳ μὲν οὖν καὶ Βαρνάβᾳ, ὁ γὰρ ἐνεργήσας Πέτρῳ φησὶν εἰς τὴν περιτομὴν, ἐνήργησε κἀμοὶ εἰς τὴν ἀκροβυστίαν. δείξομεν δὲ καὶ κατωτέρω. ὅτι καθὰ κοινὴ ἡ ὁμολογία, κοινὰ καὶ τὰ χαρίσματα. φησὶ γὰρ ἀγχινούστατος καὶ Αὐγουστῖνος ὁ θεῖος ἐν τῷ περὶ χριστιανικοῦ ἀγῶνος κεφαλαίῳ τριακοστῷ (παραγ-κορεσίῳ) ὃ λέγεται Πέτρῳ πᾶσι λέγεται. 5

ς' Ἐκ τοῦ αὐτοῦ χρυσοστόμου πρώτῳ περὶ ἱερωσύνης λόγῳ, οὐκ ἀρχὴν λέγει, πρὸς τὸν τῶν ἀποστόλων ἐξάρχοντα διαλεγόμενος ὁ Κύριος. 10

ἈΠΌΚΡΙΣΙΣ

Οὐκ ἐξάρχοντα κεῖται παρὰ τῷ διδασκάλῳ ἀλλὰ κορυφαῖον, ἡμεῖς δὲ καὶ ἐξάρχοντα ὁμολογοῦμεν, ἂν ἐπαίνου χάριν, καὶ λόγῳ τάξεως καὶ οὐκ ἐξουσίας λαμβάνεται τὸ καθ᾽ ὑμᾶς δραματουργούμενον.

ζ' Ἐκ τοῦ αὐτοῦ λόγῳ ἐσχάτῳ εἰς τὸ τελευταῖον Ἰωάννου. ἄν τις εἴποι πῶς οὖν ὁ Ἰάκωβος τὸν θρόνον ἔλαβε τῶν Ἱεροσολύμων, ἐκεῖνο ἂν εἴποιμι. ὅτι τοῦτον οὐ τοῦ θρόνου, ἀλλὰ τῆς οἰκουμένης ἐνεθρόνισε διδάσκαλον. 15

ἈΠΌΚΡΙΣΙΣ

Ἐχειροτόνησε φησὶν ὁ χρυσόστομος οὐκ ἐνεθρόνισε. τί δῆτα; μόνον αὐτὸν ἄρα γε καὶ οὐ τοὺς λοιπούς. 20

η' Ἀλλὰ καὶ τὰ ἕτερα τὰ ἐκ τοῦ αὐτοῦ καὶ ἐκ τοῦ οἰκουμενικοῦ, καὶ Κυρίλλου Ἱεροσολύμων, καὶ Βασιλείου, τὴν αὐτὴν ἐπίλυσιν δέχονται.

θ' Ἐκ τοῦ ὁσίου Ἐφραὶμ, ἐν τῷ λόγῳ τῆς μεταμορφώσεως, φησὶ, καθὼς Μωϋσῆς τῆς τῶν ἑβραίων ἐκείνης κοινωνίας, Θεοῦ προστάγματι γέγονεν ἀρχηγὸς, οὕτω καὶ ὁ Πέτρος τῆς τῶν χριστιανῶν ἐκκλησίας, καὶ ὡς ἐκεῖνος τῆς παλαιᾶς, οὕτω καὶ οὗτος τῆς νέας ἀρχηγὸς διαθήκης. 25

ἈΠΌΚΡΙΣΙΣ

Συμβάλλειν ἡμεῖς τὴν ῥῆσιν πρὸς τὰ τοῦ διδασκάλου συγγραφέντα τὴν βίβλον οὐκ ἔχομεν. ὑφορώμεθα δὲ κἀνταῦθα ὡς καὶ ἐν ἄλλοις πολλοῖς παραχάραγμα εἶναι, πλὴν ἐπεὶ τὸ μόνος οὐκ ἔγκειται, κοινοῦται καὶ τοῖς 30 ἄλλοις ἀποστόλοις τοιοῦτον ἐγκώμιον. οὐ γὰρ ἕνα κατέλιπεν ὁ νομοθέτης, ἀλλ᾽ ἐπίσης δώδεκα. ὥστε εἴ τινα προτίμησιν ὑπὲρ τοὺς ἄλλους ἔχειν ὁ Πέτρος λέγεται, τοῦτο νέμει τῆς τάξεως οὐ τῆς ἐξουσίας. εἰ δὲ προτέρημά τι καὶ μεγαλεῖον ἐπ᾽ αὐτῷ ἐπαινουμένῳ φέρεται, ἀλλ᾽ οὐ μόνῳ, οὐ γὰρ εἰς σύγκρισιν τῶν ἄλλων τίθεται, ἀλλ᾽ ἁπλῶς εἰς ἐγκώμιον. 35

Καὶ ταῦτα μὲν καὶ τοιαῦτα τὰ ὑμῶν ἐπὶ Πέτρῳ αὐχήματα. τί δ᾽ εἴποιτ᾽ ἂν ὑμεῖς, ἴσα καὶ μείζονας ἀκούοντες ἐπαινουμένων ἄλλων, οὐκ ἀποστόλων μόνον, ἀλλὰ καὶ τῶν μετ᾽ αὐτοὺς διδασκάλων. ἆρ᾽ οὖν ὑπερθησόμεθα τοὺς τοιούτους τῶν ἀποστόλων, ἢ τῶν ἄλλων τυ-

ἄλλων τυχὸν, καὶ ἀνὰ μεταξὺ ἁγίων ἅμιλλαν ἐν ἀνθρώποις διεγειρόμεθα βλασφη-
μοῦντες μᾶλλον, ἢ δοξολογοῦντες τὸν Κύριον. ἑώρων ἐν ταύτῃ τὰ ποικίλα καὶ
ἀνυπέρβλητα καὶ ἀπέραντα τὰ εἰς τὸν Μακάριον Παῦλον ἐγκώμια τῶν ἁγίων
Πατέρων, καὶ τοῦ χρυσορρήμονος μάλιστα. ὅτι οὐδεὶς ἀμφιβάλλει, οὐδ' ὑμεῖς
αὐτοὶ, ἐπειδήπερ καὶ ἴδιον τοῦτον ἀπόστολον προβάλλοντες ἀντιποιεῖσθε. ἄ-
κουσον Ἀνδρέου ἐγκώμιον ἐκ τῶν ἡσυχίου τοῦ πρεσβυτέρου Ἱεροσολύμων, παρὰ
τῇ Φωτίου βιβλιοθήκῃ ἀριθμῷ: σκθ': Ἀνδρέας ὁ τοῦ χοροῦ τῶν ἀποστόλων πρω-
τότοκος, ὁ πρωτοπαγὴς τῆς ἐκκλησίας στύλος. ὁ πρὸ Πέτρου Πέτρος, ὁ
τοῦ θεμελίου θεμέλιος, ἡ τῆς ἀρχῆς ἀπαρχὴ. ὁ πρὶν κληθῆναι καλῶν, ὁ
πρὶν προσαχθῆναι, προσάγων. εὐαγγέλιον κηρύττει ὃ μήπω πεπίστευται.
πρὶν μαθεῖν, τῷ ἀδελφῷ ἀποκαλύπτει τὴν ζωὴν. πῶς γέγονας προφήτης; πόθεν
θεοφόρος ἀθρόον; τί θορυβεῖς τοῦ πέτρου τὰς ἀκοὰς; τί φθάσαι παρείδεις ὃν
οὐ δύνασαι φθάσαι; ἄκουσον ἐκ τοῦ αὐτοῦ παρὰ τῷ αὐτῷ ἀριθμῷ: σοί: ἐγ-
κώμιον Ἰακώβου: πῶς ἐγκωμιάσω τὸν τοῦ Χριστοῦ δοῦλον καὶ ἀδελφὸν, τὸν
τῆς νέας Ἱερουσαλὴμ Ἀρχιστράτηγον, τὸν τῶν ἱερέων ἡγεμόνα, τῶν ἀπο-
στόλων τὸν ἔξαρχον, τὸν ἐν κεφαλαῖς κορυφὴν, τὸν ἐν λύχνοις ὑπερλάμ-
ποντα, τὸν ἐν ἄστροις ὑπερφαίνοντα. πέτρος δημηγορεῖ, ἀλλ' Ἰάκωβος
νομοθετεῖ. ἐγὼ κρίνω (φησὶ) μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν. ἐγὼ κρί-
νω, οὐ τὴν κρίσιν ἀθετεῖν οὐ θέμις, οὔτε φαυλίζειν τὸ ψήφισμα.

Καὶ περὶ Ἰωάννου τοῦ εὐαγγελιστοῦ τί οὐκ ἂν εἴποιμεν εἰς ὑπερβολὴν. οὐ
προσῆκον; περὶ οὗ ὁ θεῖος χρυσόστομος ὁμιλίᾳ τριακοστῇ δευτέρᾳ Ματ-
θαίου φησὶν: ἐμοὶ δοκεῖ ὁ Ἰωάννης οὐχὶ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ τοῦ ἀδελ-
φοῦ μείζων εἶναι, (εἰ καὶ τῇ τάξει τῆς ἀριθμήσεως ὑποτέτακται.) ἄκουσον
καὶ μεγάλου θεολόγου εἰς τὸν μέγαν Ἀθανάσιον, ἰσαποστόλου ἀξίαν εὐφημί-
αν, μικρὸν ἀπὸ τῆς ἀρχῆς. τὴν τοῦ λαοῦ προεδρείαν πιστεύεται. ταῦτα δὲ εἰ-
πεῖν τὴν τῆς οἰκουμένης ἁπάσης ἐπιστασίαν. καὶ περὶ τὸ τέλος. ζήσας δὲ οὕτω,
καὶ παιδευθεὶς, καὶ παιδεύσας, ὥστε ὅρον μὲν ἐπισκοπῆς εἶναι τὸν ἀθανασίου
βίον καὶ τρόπον, νόμον δ' ὀρθοδοξίας τὰ ἐκείνου δόγματα, προστίθεται τοῖς
Πατράσιν αὐτοῦ Πατριάρχαις καὶ προφήταις, καὶ ἀποστόλοις, καὶ μάρτυσι.
παραπλήσια δὲ καὶ περὶ τοῦ μεγάλου Βασιλείου ὁ αὐτὸς ἐπαινῶν ἀποφαίνεται. περὶ
τὰ μέσα τοῦ λόγου. ἔτ' ἄλλα μέτριος ὢν, ἐν τούτοις (τοῖς περὶ πίστιν) οὐ
μετριάζει. ἀλλ' ὑψοῦ τὴν κεφαλὴν διάρας, καὶ κύκλῳ τὸ τῆς ψυχῆς ὄμμα
περιαγαγὼν, πᾶσαν εἴσω ποιεῖται τὴν οἰκουμένην, ὅσην ὁ σωτήριος λόγος
ἐπέδραμε. ὁ τοῦ κοινοῦ κηδεμὼν καὶ προστάτης, νομοθετεῖ παντὶ γένει καὶ ἔ-
θνει τῆς οἰκουμένης, περὶ τοῦ λόγου τῆς ἀληθείας. καὶ οὐ δὲ τοῦτο εἰπεῖν ὀκνητέον τὸ
εἰς πᾶσαν τὴν γῆν ἐξελθεῖν τὸν φθόγγον αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης
τῶν ῥημάτων τὴν δύναμιν, ὃ περὶ τῶν ἀποστόλων, ὁ Παῦλος ἔφησε παρὰ
Δαβὶδ ἐκλεξάμενος. Καὶ ἤρκεσεν εἰς αὐτὸ πάντων τοῖς σπουδαιοτέροις εἰς
παίδευσιν. καὶ τὴν σύγκρισιν πρὸς τοὺς πάλαι θαυμασίους, τί ἐγκωμιαζο-
μένου τοῦ Βασιλείου ὑψηλότερον; φησὶ δὲ καὶ τοῦτο κἂν τοῖς ἄλλοις. ἐμιμήσατο
Πέτρου τὸν ζῆλον, καὶ Παύλου τὸν τόνον, ἀμφοτέρων τὴν πίστιν, τῶν υἱῶν Ζεβε-

δείω τὸ μεγαλόφωνον, ταύτῃ τοι καὶ τὰς κλεῖς τῶν οὐρανῶν πιστεύεται, καὶ μείζονα ἢ μέχρι τοῦ ἰλλυρικοῦ κύκλου τῷ εὐαγγελίῳ περιλαμβάνει, καὶ υἱὸς βροντῆς ἐκ ὀνομάζεται μὲν, γίνεται δέ.

Ἄκουσον τέλος καὶ τοῦ μεγάλου Βασιλείου πρὸς τὸν θεῖον Ἀμβρόσιον ἐπιστέλλοντος ἔπαινον. ἄγε τοίνυν ὦ τοῦ Θεοῦ ἄνθρωπε, ὃν ὁ Θεὸς ἐκ τῆς βασιλευούσης πόλεως, ἀρχὴν ὅλου ἔθνους πεπιστευμένον, εἵλκυσεν εἰς τὴν τῶν ποιμνίων τοῦ Χριστοῦ ἐπιμέλειαν, ὃς καὶ τοὺς οἴακας ἐπετράπης τῆς μεγάλης καὶ περιβοήτου νηὸς, ἐπὶ τῇ εἰς Χριστὸν πίστει, ἐπειδὴ οὐ παρὰ ἀνθρώπων παρέλαβες, ἢ ἐδιδάχθης τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, ἀλλ᾽ αὐτός σε ὁ Κύριος ἀπὸ τῶν κριτῶν τῆς γῆς ἐπὶ τὴν προεδρίαν τῶν ἀποστόλων μετέθηκεν. ὁ αὐτὸς Ἀθανασίῳ τῷ μεγάλῳ γράφων (ἐπιστολὴ δευτέρα, ἧς ἡ ἀρχή: οὐδένα τοσοῦτον ἡγοῦμαι) κατ᾽ ἀπόστολον ἐγκωμιάζει. οὕτως ἡγούμεθα φησὶ προσήκειν καὶ τῆς ὑπὲρ τῶν ἐκκλησιῶν μερίμνης τὸ πλέον τῇ σῇ διαφέρειν φρονήσει καὶ συνέσει. ὁ σοφὸς Θεοφίλῳ ἐπιστέλλων κατὰ τὸ τέλος (οὗ ἡ ἀρχή: πᾶσιν τινὰ) ἐν τῇ τῶν ἐπιστολῶν βίβλῳ. ἄκουσον ὅπως ἐπαίρει τὸν Ἀλεξανδρείας θρόνον. αὐτό φησι τοῦτο τὸ ἐρώτημα, πρὸς ὃ δεῖ τὴν αὐθεντείαν τῆς ἀποστολικῆς (σου) διαδοχῆς ἀποκρίνασθαι. τῷ αὐτῷ πάλιν ἄλλοτε γράφων κατ᾽ ἀρχὴν οὕτω λέγει: ἐγὼ καὶ βούλομαι καὶ ἀνάγκη μοι θεῖον νόμον ἡγεῖσθαι πᾶν ὅ,τι ἂν ἐκεῖνος ὁ θρόνος θεσπίσῃ. τί περὶ τῆς ἐν ῥώμῃ καθέδρας λέγεις ἂν ὑψηλότερον; τὸ καὶ τῇ Ἀλεξανδρέων ὑπὸ τοιούτου σοφοῦ κηρυττόμενον. Καὶ τί μέλλω τὰ καθ᾽ ἕκαστον τῶν ἐγκωμίων ἀναμιμνήσκειν; ὅπου γε τοσούτων ὄντων ἐπιλήψει με διηγούμενον ὁ χρόνος. πλὴν ἐκ πολλῶν ὀλίγα ἐξ ἀνάγκης ἦν ὑποστρῶσαι. ἵν᾽ ἐκ τούτων καταμάθωμεν, οὔτε ὕβριν εἶναι εἰς ἀλλήλους τὸν ἑνός ποτε ὑπερβάλλοντα ἔπαινον, οὔτε τῷ ἐπαινουμένῳ γίνεσθαί τινα παρὰ τοὺς ἄλλους ὑπεροχήν, ἀλλ᾽ ὡς ἑνὸς ὄντων τῶν πάντων σώματος, καὶ ἀλλήλοις μελῶν τῶν καθ᾽ ἕκαστον συγχαίρειν ἅμα καὶ συνδοξάζεσθαι τοῖς ἐπ᾽ ἀλλήλων ἐπαίνοις. οὐ γὰρ ἐπὶ καταφρονήσει τῶν ἄλλων ὁτινὸς ἔπαινος, ὡς παρ᾽ ὑμῖν τοῖς λατίνοις ἐφ᾽ ὕβρει καὶ ἀτιμίᾳ τῶν συναποστόλων ὁ τοῦ Πέτρου, ἀλλ᾽ ἐπ᾽ οἰκοδομῇ τῶν ἀκουόντων, δόξῃ δὲ μάλιστα τοῦ δοξάσαντος, καὶ δοξαζομένου ἐν τοῖς ἁγίοις Θεοῦ. πολλῷ δ᾽ ἧττον ἐκ τούτων συνίσταται δόγμα, ὡς μάτην ἐκ τῶν ἐπαίνων ὑμεῖς τὰ τῆς ῥωμαϊκῆς καθέδρας ἀνίδρυτα καθιδρύεται, καὶ ταῦτά γε ἀπὸ μαρτύρων ἐγκαλουμένων.

Καὶ περὶ μὲν τῆς Πέτρου ὑπεροχῆς ὁπωσδήποτε συμπεράνας, παρακαπῶν, ταῦτά γε τῷ Πάπα συναρμόζεις, πρὸς ἃ καὶ ἀπολογούμεθα.

Ἀπὸ στόματος Φιλίππου πρεσβυτέρου, καὶ ληγάτου ῥωμαϊκοῦ πρὸς τὴν τρίτην σύνοδον, συνάγεις τὸν Μακάριον Πέτρον διὰ τῶν διαδόχων αὐτοῦ διηνεκῶς παρεῖναι τῇ ἐκκλησίᾳ, καὶ κρίνειν καὶ ἀποφαίνεσθαι. λέγομεν εἰ καὶ μαρτυρίαι τοιαῦται παρ᾽ ἡμῖν ὀβελίζονται, ὅμως οὐδὲν κωλύει, ταὐτὸ μὴ λέγειν καὶ περὶ τῶν ἄλλων ἀποστόλων, καὶ διδασκάλων, καὶ τῶν διαδόχων αὐτῶν. τῷ ὄντι γὰρ ἐν Θεῷ ζῶσιν οἱ Μακάριοι, καὶ ἄνωθεν ἡμᾶς ἐποπτεύοντες τοὺς πιστοὺς ταῖς πρεσβείαις αὐτῶν ἐπωφελοῦσιν ἡμᾶς, καὶ διὰ τῶν μεθ᾽ αὐτοὺς

νομίμως τῆ

νομίμως τε καὶ γνησίως καταστάντων, τὴν ἐκκλησίαν διακυβερνῶσιν.

β΄ Ἐκ τῆς δ΄ συνόδου πράξει ιϛ΄ καὶ τελευταίᾳ, περὶ ἧς ἀποφηναμένην τὴν σύγκλητον οὕτως. Συνορῶμεν πρὸ πάντων μὲν τὰ πρωτεῖα, κατὰ τὴν ἐξαίρετον τιμὴν καὶ τοὺς κανόνας τῷ τῆς πρεσβύτιδος ῥώμης θεοφιλεστάτῳ ἀρχιεπισκόπῳ φυλάττεσθαι.

ΑΠΟΚΡΙΣΙΣ

Διὰ τί περικόπτεις οὐκ ἀγαθῇ τὴν ὁλόκληρον τῆς ἀποφάσεως ἔννοιαν. τιθεὶς τὸ πάρεργον τὸ πρῶτον παρέλιπες. καὶ τὸ μὲν συμβάλλον σοι ἀποδέχῃ. τὸ δὲ συντεῖνον ἡμῖν ἀποβάλλεις; ἀλλ' ἐγὼ τῆς ἀληθείας ὑπὲρ ἀπολογούμενος ἀναπληρώσω τὸ ὕπουλον καὶ πεπλασμένον, ἐπειδὴ γὰρ οἱ ληγάτοι τοῦ λέοντος ῥώμης, ἐπίτηδες ἀπολειφθέντες τῆς τῶν συνοδικῶν κανόνων ἐκδόσεως, καὶ προσκληθέντες παρεῖναι αὖθις. ὡς ἔμαθον ἐκτεθέντα κανόνα περὶ τοῦ θρόνου Κωνσταντινουπόλεως, ὥστε δεύτερον εἶναι μετὰ τὸν ῥώμης καὶ τῶν ἴσων ἀπολαύειν πρεσβείων, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, κατὰ τὸν τρίτον τῆς δευτέρας. περιπαθῶς ἐνίσταντο πασχασῖνος, καὶ λουκίνσιος, καὶ βονιφάτιος οἱ ληγάτοι, καὶ ἀντέλεγον, κανόνα μὴ κεῖσθαι τοιοῦτον ἐν τῇ δευτέρᾳ συνόδῳ. προεκόμιζον δὲ νενοθευμένον ἕτερον τῆς πρώτης, καὶ βίαν ἐπενηνέχθαι τοῖς ὑπογράψασιν ἐνεκάλουν, πρὸς ἅπερ ἀκριβῶς ἀνερευνήσαντες οἱ κριταὶ οἱ ἐκ προσώπου τοῦ βασιλέως μαρκιανοῦ, καὶ νόμιμον ἀνευρόντες τὸν τῆς συνόδου κανόνα, οὕτως ἀπεφήναντο· ἐκ τῶν πεπραγμένων, καὶ ἐκ τῆς ἑκάστου καταθέσεως συνορῶμεν, πρὸ πάντων μὲν τὰ πρωτεῖα κατὰ τὴν ἐξαίρετον τιμὴν καὶ τοὺς κανόνας, τῷ τῆς πρεσβύτιδος ῥώμης θεοφιλεστάτῳ ἀρχιεπισκόπῳ φυλάττεσθαι. ἄκουσον ἑξῆς ὦ παρεσιώπησας. χρὴ δὲ καὶ τὸν ὁσιώτατον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως νέας ῥώμης τῶν αὐτῶν πρεσβείων τῆς τιμῆς ἀπολαύειν. καὶ αὐτὸν ἐξ αὐθεντείας ἐξουσίαν ἔχειν τοῦ χειροτονεῖν τοὺς Μητροπολίτας. μετὰ δὲ τὸ ἀποφήνασθαι εἶπον, ταῦτα παρ' ἡμῶν ἐσκοπήθη. τὰ δὲ παριστάμενα αὐτῇ, ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος διδαξάτω. καὶ ἐβόησαν ἅμα πάντες, αὕτη δικαία ψῆφος. ταῦτα πάντες λέγομεν, ταῦτα πᾶσιν ἀρέσκει, αὕτη δικαία κρίσις. τὰ τυπωθέντα κρατείτω, ταῦτα δεόντως ἐτυπώθη. ἀντιλέγοντος εἶτα λουκινσίου ὥστε περιαιρεθῆναι τὸν κανόνα, ἅτε ἀπόντων τῶν ληγάτων γενόμενον, ἕως τῆς εἰς τὸν Πάπαν ἀναφορᾶς, ὡς γελοῖον τὸν λόγον ἀποβαλόντες οἱ ἄρχοντες ἐπεσφράγισαν λέγοντες. ὅσα διελαλήσαμεν, πάντα ἡ σύνοδος ἐκύρωσεν. πόθεν οὖν ἔχετε μοναρχίαν ἐκ τούτων, τῇ ἐκ τοῦ πέτρου διαδοχῇ καὶ τῷ Πάπα κηρύττειν. εἴπερ ἡ οἰκουμενικὴ καὶ μεγίστη ἡ τετάρτη, φημὶ σύνοδος, καὶ πρὸ ταύτης ἡ β΄. τὰ ἴσα τῶν πρεσβείων τῷ Κωνσταντινουπόλεως ἀπενείμαντο.

γ΄ Προβάλλεις τὴν αὐτὴν τετάρτην σύνοδον ἐπιστέλλουσαν λέοντι, καὶ προϊστάμενον αὐτὸν λέγουσαν, ὡς τοῖς μέλεσι κεφαλήν.

ἈΠΌΚΡΙΣΙΣ

Καὶ μάλα εἰκότως, ἂν ὀρθῶς νοήσωμεν. κεφάλαιον γὰρ τῆς ὑποθέσεως
πάσης ἐν τῇ συνόδῳ ἦν ἡ κύρωσις τῆς τοῦ Λέοντος ἐπιστολῆς, ἣν καὶ ἀ-
πεδέξαντο, καὶ εὐφήμησαν στήλην ὀρθοδοξίας. κατὰ τοῦτο λέγοιτ' ἂν καὶ
ἕτερος ἄλλος τοιοῦτος, κἂν μὴ Πάπας, κεφαλὴ τῶν Πατέρων, ὅμως δὲ ὅμως 5
συγκαταβαινόντων τὴν σύνοδον τῷ ῥωμαϊκῷ ἔθει, τὸν Πάπαν ἀποκαλοῦντι
κεφαλὴν, οὐδὲν πρόκριμα ἐκ τούτου τῇ τῆς συνόδου ἐλευθερία, ὡσαύτως κα-
λεῖσθαι δυναμένων καὶ ἄλλων τινῶν. οὐ γὰρ εἶπε μόνον.

Δ' Ἐκ τῆς ἐπιστολῆς οὐαλεντινιανοῦ βασιλέως τοῦ κατὰ δύσιν, πρὸς Θεοδόσιον
αὔγουστον τὸν κατὰ ἀνατολάς. ὀφείλομεν φησὶ μετὰ τῆς προσηκούσης καθοσιώ- 10
σεως ἐκδικεῖν καὶ τῆς ἰδίας εὐλαβείας, τὴν ἀξίαν τοῦ μακαριωτάτου ἀπο-
στόλου Πέτρου ἄτρωτον καὶ ἐν τοῖς ἡμετέροις χρόνοις διαφυλάττειν, ἵν' ὁ μα-
καριώτατος ἐπίσκοπος τῆς ῥωμαίων πόλεως, ᾧ τὴν ἱερωσύνην κατὰ πάν-
των ἡ ἀρχαιότης παρέσχε, χώραν καὶ εὐπορίαν ἔχῃ περί τε πίστεως καὶ ἱ-
ερέων κρίνειν. 15

ἈΠΌΚΡΙΣΙΣ

Ἀποκρίνομαι πρῶτον, ὅτι οὐ μόνος χώραν ἔχει κρίνειν. ἀποκρίνομαι
δεύτερον, τίς ἐμφιλοχωρῶν τοῖς πράγμασιν οὐκ εὐθὺς συνίησιν ἐκ
στόματος τοῦ Πάπα, καὶ χάριν αὐτοῦ γεγράφθαι τὰς τοιαύτας ὑπε-
ροχάς. καὶ ὅμως ἴδε ὁμολογούμενον καὶ τηνικαῦτα, οὐ νομοθεσία Χριστοῦ, ὥς 20
τινες ἐλήρουν, καὶ ληροῦσι νῦν ἔτι, τὴν ἱερωσύνης κατὰ πάντα κεκληρῶσθαι,
ἀλλ' ἐκ τῆς ἀρχαιότητος, ἤτοι ἐκ παραδόσεως, ταυτόπως, ὃ λέγει καὶ ὁ οἰ-
κουμενικὸς ὄγδοος τῆς : δ', συνόδου ἐκ τῶν πατέρων εἰληφέναι τὰ πρεσβεῖα, μᾶλ-
λον δὲ ἐκ τούτου καὶ ἀσφαλῶς τεκμαίρομαι δυσανασχετοῦντας ἐπὶ τῇ φιλαρ-
χία ῥωμαίων τοὺς πατέρας ἀντιγεγραφέναι θεοσεβέστατα τὸν ἄνωθεν περὶ Κων- 25
σταντινουπόλεως κανόνα, ὡς ἂν τὸ μοναρχεῖν (τὸ ἐγγὺς τυραννίδος) ἐκ
τῆς ἐκκλησίας περιέλωσι, καὶ τὴν ῥωμαϊκὴν φιλαυτίαν ταῖς τῶν ὁσίων αὐτῶν ἐν-
νοίαις ἐμπεφυτευμένην, πρόρριζον ἀνασπάσωσιν. ἐξ οὗτοι γὰρ τοὺς τῆς βασι-
λικῆς ἐξουσίας ἀπέρρηξαν χαλινοὺς, καὶ τῆς τῶν ἀνατολικῶν κοινωνίας ἐστερήθη-
σαν, ἄρ' οὐ περιφανῶς ἐλέγχονται δι' ὅλα τυραννοῦντες καὶ κατὰ κόσμον, καὶ 30
ἐκκλησίαν, ἄνδρες θυμάτων γενόμενοι, πάντα μὲν οὖν ἀδεῶς ἀνακυκῶντες.
καὶ νόμον τὴν οἰκείαν προαίρεσιν στήσαντες, πῶς Πέτρου διάδοχοι τοιοῦτοι, οἱ
μηδ' ὁπωσοῦν τὰ Πέτρου μιμούμενοι, μᾶλλον δὲ καὶ ἀποστρεφόμενοι; τίς ἡ ἀληθὴς
ἂν διαδοχὴ, διδάσκει σαφῶς καὶ σοφῶς ἐπ' Ἀθανασίῳ ὁ μέγας ἐν θεολογίᾳ Γρηγό-
" ριος. οὕτω μὲν οὖν, καὶ διὰ ταῦτα φησὶ ψήφῳ τοῦ λαοῦ παντὸς, οὐ κατὰ τὸν ὕστερον νε- 35
" κήσαντα πονηρὸν τρόπον, οὐδὲ φονικῶς καὶ τυραννικῶς, ἀλλ' ἀποστολικῶς τε καὶ πνευ-
" ματικῶς, ἐπὶ τὸν Μάρκου θρόνον ἀνάγεται, οὐχ ἧττον τῆς εὐσεβείας ἢ τῆς προεδρείας
" ἐκείνου διάδοχος. τῇ μὲν γὰρ πολλοστὸς ἀπ' ἐκείνου, τῇ δὲ εὐθὺς μετ' ἐκεῖνον εὑ-
" ρίσκεται. ἣν δὴ κυρίως ὑποληπτέον διαδοχήν. τὸ μὲν γὰρ ὁμόγνωμον, καὶ
ὁμόθρονον.

ὁμόθρονον. τὸ δ' ἀντίδοξον, καὶ ἀντίθρονον. καὶ ἡ μὲν προσηγορίαν, ἡ δ' ἀλήθειαν ἔχει διαδοχῆς. οὐ γὰρ ὁ βιασάμενος, ἀλλ' ὁ βιασθεὶς διάδοχος. οὐδ' ὁ παρανομήσας, ἀλλ' ὁ προβληθεὶς ἔννομος. οὐδ' ὁ τἀναντία δοξάζων, ἀλλ' ὁ τῆς αὐτῆς πίστεως. εἰ μὴ οὕτω τις λέγοι διάδοχον, ὡς νόσον ὑγείας, καὶ φωτὸς σκότος, καὶ ζάλην γαλήνης, καὶ συνέσεως ἔκστασιν. ἐπειδὴ δὲ οὕτω προβάλλεται, οὕτω καὶ τὴν ἀρχὴν διατίθεται. οὐ γὰρ ὁμοῦ τε καταλαμβάνει τὸν θρόνον, ὥσπερ οἱ τυραννίδα τινὰ ἢ κληρονομίαν παράδοξον ἁρπάσαντες, καὶ ὑβρίζει τὸν κόρον. ταῦτα γὰρ τῶν νόθων καὶ παρεγγράπτων ἱερέων ἐστί, καὶ τοῦ ἐπαγγέλματος ἀναξίων. οἱ μηδὲν τῇ ἱερωσύνῃ προσενεγκόντες, μὴ δὲ τοῦ καλοῦ προταλαιπωρήσαντες, ὁμοῦ τε μαθηταὶ καὶ διδάσκαλοι τῆς εὐσεβείας ἀναδύκνυνται. καὶ πρὶν καθαρθῆναι καθαίρουσι. χθὲς ἱερόσυλοι, καὶ σήμερον ἱερεῖς. χθὲς τῶν ἁγίων ἔξω, καὶ μυσταγωγοὶ σήμερον. παλαιοὶ τὴν κακίαν καὶ αὐτοσχέδιοι τὴν εὐσέβειαν. ὃ ἔργον χάριτος ἀνθρωπίνης, οὐ τῆς τοῦ πνεύματος. οἳ ὅταν πάντα διεξέλθωσι βιαζόμενοι, τελευταῖον τυραννοῦσι καὶ τὴν εὐσέβειαν. ὧν οὐχ ὁ τρόπος τὸν βαθμὸν, ὁ βαθμὸς δὲ τὸν τρόπον πιστοῦται. παρὰ πολὺ τῆς τάξεως ἐναλλαττομένης. οἱ πλείους ὑπὲρ ἑαυτοῦ, ἢ τῶν τοῦ λαοῦ ἀγνοημάτων τὰς θυσίας ὀφείλουσι. καὶ πάντως τῶν δύο τὸ ἕτερον ἁμαρτάνουσιν, ἢ δεόμενοι συγγνώμης ἄμετρα συγγνώσκοντες ὡς μήτε ἀνακόπτοιτο κακία, ἀλλὰ καὶ διδάσκοιτο. ἢ τῇ τραχύτητι τῆς ἀρχῆς, τὰ ἑαυτῶν συγκαλύπτοντες. ταῦτα ὁ ἱερὸς Γρηγόριος περί τε τῆς ἀληθοῦς διαδοχῆς καὶ τῆς μὴ τοιαύτης ἐδίδαξε. διαδοχὴν ἄρα Πέτρου καὶ τῶν ἀποστόλων, θαρρῶ δ' εἰπεῖν καὶ Χριστοῦ, οὐκ ἀποβαλλόμεθα, οὐδὲ φθονοῦμεν. ἀλλ' ἐπιζητοῦμεν τὸ ὁμότροπον, οὐ μόνον τὸ ἐν ἤθεσι, πολλῷ δὲ μᾶλλον τὸ ἐν τῇ ἀνοθεύτῳ πίστει θεωρούμενον. μισοῦμεν δὲ καὶ τἀλλότριον. καὶ περὶ τούτων μὲν ὡς ἐπεισοδίων ἅλις.

Πρὸς τὰ Μαρκιανοῦ, καὶ Ἰουστινιανοῦ, τοῦ μὲν λέγοντος τὸν Πάπαν, ἀρχὴν ἐν τῇ ἐπισκοπῇ τῆς θείας πίστεως κληρωσάμενον, τοῦ δὲ ὅτι κορυφή ἐστι πασῶν τῶν ἁγίων ἐκκλησιῶν, εἰ καὶ οὐχ εὕρομεν ἐν τοῖς εἰρημένοις, ὅμως ἐκτιθέαμεν, ἀρχὴν ἔχειν ὡς καὶ τοὺς ἄλλους ἀποστολικοὺς θρόνους. εἰ καὶ ἀρχὴν καὶ κορυφὴν τάξεως. Ε´

Ἐκ τοῦ θησαυροῦ Κυρίλλου. ὁ Χριστὸς φησὶν, εἴληφε παρὰ τοῦ Πατρὸς τὸ σκῆπτρον τῆς τῶν ἐθνῶν ἐκκλησίας. ἡγεμὼν ἐξ Ἰσραὴλ προελθὼν ἐπὶ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν, ἐπὶ πᾶν τὸ ὄν, ἵνα αὐτῷ ὑποκλίνονται τὰ πάντα. οὕτω καὶ Πέτρῳ καὶ τοῖς διαδόχοις αὐτοῦ πληρέστατα ἐπέτρεψε. καὶ αὐτόθι. τῷ Πέτρῳ πάντες νόμῳ θείῳ τὴν κεφαλὴν ὑποκλίνουσι. καὶ οἱ ἄρχοντες τοῦ κόσμου ὡσανεὶ αὐτῷ τῷ κυρίῳ ὑπείκουσιν. ἔτι ὀφείλομεν ἡμεῖς ἅτε μέλη ὄντες τῇ κεφαλῇ ἡμῶν τῷ Ῥώμης ἀρχιερεῖ, καὶ τῇ ἀποστολικῇ καθέδρᾳ συνέχεσθαι. ς´

ἈΠΌΚΡΙΣΙΣ

Καὶ οὔπω εἰρήκαμεν τὰ θαυμάσια ταῦτα ῥήματα Κυρίλλου μὴ εἶναι, οὐ γὰρ. οὐ γὰρ παρεικάζεσθαι ταῖς μεγαλοπρεπέσι τοῦ διδασκάλου διανοίαις. εἰ δὲ ἐκ νόθων καὶ παρεγγράπτων ταῦτα παρεισάγετε, ἀπαλλάγητε τῆς πλαστογραφίας

συγγραφείας ἱκετεύω, καὶ τὴν ἀλήθειαν ἡμῶν ἐγκολπώσασθε.

ζʹ Ἐκ τῆς μεγάλου Ἀθανασίου πρὸς Μάρκον Πάπαν καὶ Φήλικα. ἔνθα τὴν ῥωμαϊκὴν μητέρα πασῶν τῶν ἐκκλησιῶν ἀποκαλεῖ κεφαλήν. λεγόμενον οὐδὲν τοιοῦτον εὑρίσκεται παρ᾽ ἡμῖν, εἰ μὴ λατινιστὶ παρ᾽ ὑμῖν. ἄρα γε ἐντοσοῦτοις ἰσχύει τοιοῦτόν τι (καὶ οὐ μέγα εἰ καὶ προσέχειν ἐθελόμεθα) ἀπεσιώπησεν Ἀθανάσιος καὶ ἐν λατινικῇ ἅπαξ καὶ μόνη εὑρίσκεται γραφῇ· ἔσω τίνων παραγραφὴ, ἀλλὰ καὶ πρὸς Φήλικα Πάπαν πῶς ἐπιστέλλει, ὃν ἐν τῇ πρὸς τοὺς μονάζοντας ἐπιστολῇ περὶ τὸ τέλος, ὡς τύραννον καὶ ὀρφανὸν στηλιτεύει.

ηʹ Ἐῶ τὰ τῶν ἰδίων ὑμῶν συνόδων θεσπίσματα· τῆς ἐν Λατερανῷ, τῆς ἐν Λουγδούνῳ καὶ Φλωρεντίᾳ, περὶ ὧν καὶ ἄνω παρειλήφαμεν, ὡς ἡμῖν ἀπόβλητα πάντως καὶ ἄκυρα, καὶ τὰ τῶν Παπῶν πλεῖστα καὶ ἀνίσχυρα. πλὴν ἀξιολογωτέρων τινῶν πρὸς ἅπερ τὰς ὁμολογίας ποιήσομεν.

θʹ Ἐκ τῆς Κωνσταντίνου τοῦ πωγωνάτου ἐπιστολῆς πρὸς τὴν ἐν ῥώμῃ σύνοδον, ὅπου ἐκαλεῖ τὸν Πάπαν οἰκουμενικὸν ἀρχιποιμένα.

ἈΠΌΚΡΙΣΙΣ

Καὶ μὴν ἅμοιρος παρέλιπεν δοκεῖς συνοδικῶν ἀναγνώσεων ταῦτα ἐπιγράφει καὶ πρὸς τὸν Κωνσταντινουπόλεως. καὶ περὶ αὐτοῦ ἰουστινιανὸς ἐμέγας.

ιʹ Ἐκ τῆς ἐπιστολῆς Λέοντος Πάπα πρὸς αὔγουστον μαρκιανὸν, λέγει ἄλλως ἔσω, ὅτι ἀνατόλιος συνεργίᾳ τῆς σῆς εὐσεβείας, καὶ τῆς ἐμῆς φιλοδωρίας συναινέσει, τὴν ἐπισκοπὴν τοσαύτης πόλεως ἐκληρώσατο.

ἈΠΌΚΡΙΣΙΣ

Οὐκ ἀπεικότως τοῦτο λέγει. ἠδύνατο γὰρ μὴ ἀποδέξασθαι ὡς ὑπὸ διοσκόρου τοῦ τυράννου ἐν τῇ κατ᾽ ἔφεσον λῃστρικῇ συνόδῳ προβεβλημένον, ὄντα γε καὶ ἀποκρισιάριον αὐτοῦ, καὶ μάλιστα ἀδίκως καθαιρεθέντος φλαβιανοῦ. ἀλλ᾽ ἐπειδήπερ ἐκεῖνος μὲν ἐτελεύτησεν, ἀνατόλιος δὲ ὀρθόδοξος ἦν, καὶ τοῖς βασιλεῦσιν εὐάρεστος, οὐθαυμαστὸν, εἰ καὶ ὁ ῥώμης εἰς ἀδελφότητα δέξασθαι συγκατέθετο, ὁμοίως καὶ μάξιμον προεχειρίσατο τὸν ἀντιοχείας αὐτόθι δόμνου καθαιρεθέντος, ὅτι διέβαλλεν ἐπὶ τοῖς αὐτοῦ κεφαλαίοις τὸν Κύριλλον.

ιαʹ Καὶ ἐν ἄλλοις ὑπερευψῶν τὴν οἰκείαν καθέδραν, εἰ καὶ ἁγιώτατος ὁ λέων καὶ οἱ κατ᾽ αὐτόν, οὐκ ἀκούονται κριταὶ γινόμενοι ἀποκρινομένων.

ιβʹ Γρηγόριος ὁ διάλογος ἐπιστολῆς: ξγʹ: βιβλίῳ: ζʹ: πρὸς τὸν συρακούσης Ἰωάννην φησὶ, περὶ τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας τίς ἀμφιβάλλει τῇ ἀποστολικῇ αὐτὴν ὑποκεῖσθαι καθέδρᾳ; (τουτέστι τῆς ῥώμης) ὅπερ καὶ ὁ δε: σπότης ὁ εὐσεβέστατος βασιλεὺς καὶ ὁ ἀδελφὸς ἡμῶν εὐσέβιος τῆς αὐτῆς πόλεως ἐπίσκοπος συνεχῶς καθομολογεῖ.

ἈΠΌΚΡΙΣΙΣ

Ὤφειλεν ἀποδεῖξαι ὅπερ εὐθὺς ἀντιλέγεται, ὤφειλε παραστῆσαι καὶ τὴν τοῦ Κωνσταντινουπόλεως μαρτυρίαν τοῦτο καθομολογοῦντος. ἀλλ' ὡς ἔοικεν τὰ διὰ μετριοφροσύνην οἰκείαν, ἔπαινόν τε τυχὸν πρὸς ὃν ἔγραφεν ὁ τῆς Κωνσταντίνου, ἐλαμβάνοντο τὰ τῆς ὑπερφροσύνης καὶ καυχήσεως τεκμήρια. λανθάνει δὲ τοῦτο καὶ τοὺς ἁγίους πολλάκις, πάθεσιν ἀνθρωπίνοις (ἵν' εὐφημότερον εἴπω) προκατειλημμένοις. πλὴν τίς ὁ Βασιλεὺς, καὶ τίς ὁ Πατριάρχης. βασιλέα μὲν ἢ μᾶλλον εἰπεῖν τύραννον τὰ τῆς ῥωμαϊκῆς καθέδρας προβιβάζοντα εἰς μῖσος τῶν αὐτὸν μισούντων ἑλλήνων φωκᾶν ἀναγινώσκομεν. ὃν καὶ οὐ μικρὸν ἐξ ἁμαρτίας ὁ τἆλλα ἁγιώτατος, ἐθεράπευέ τε καὶ ὑπερηύχετο. ἀλλὰ τοῦ μὲν τυράννου ἐκ μέσου ἀρθέντος δι' Ἡρακλείου, καὶ τὰ ἐκείνου θεσπίσματα πάντα. ἀλλὰ καὶ τὰ ὑπὲρ τοῦ Πάπα πρωτονόμια, ἡ σύγκλητος ἐξήλειψε καὶ ἠκύρωσε, τὰ δ' ἀρχαῖα ἐκράτυνε. εὐσέβιον δὲ Πατριάρχην οὐκ ἔχομεν. ἐπὶ γὰρ Γρηγορίου προϋπάρχων ἦν ὁ ἁγιώτατος νηστευτὴς Ἰωάννης, μεθ' ὃν κυριακὸς ἐπὶ ἔτη πλείους δέκα. πόθεν ὁ εὐσέβιος οὗτος ὁ ὑποκύπτων οὕτω τῷ Πάπᾳ, ὑμῖν ἂν εὕροιτε. εἰ μὴ ἄρα ἀντὶ εὐσεβίου λέγητε τὸν ἐπὶ τῆς :έ: συνόδου εὐτύχιον. ἀλλὰ καὶ οὗτος παλαίτερος τῷ θρόνῳ ἐκδημήσας, Γρηγορίου περὶ ἔτη δεκατέσσαρα. ἓν τοίνυν οἶδα ὅτι οὐκ οἶδα τοιοῦτον εὐσέβιον.

Πρὸς δὲ τὰ ἐκ τῶν ῥωμαϊκῶν ἀρχιερέων Ἀναστασίου, Πελαγίου, Φήλικος, Γελασίου, Βιγιλίου, καὶ εἴτινες ἄλλοι, παραπλησίως τοῖς ἄνω Πάπαις ἀποκρινόμεθα. ιγʹ

Ἐκ τοῦ ἀναγνωσθέντος ἐν χαλκηδόνι κανόνος, ἕκτον τῆς ἐν νικαίᾳ. ἡ ῥωμαϊκὴ ἐκκλησία πάντοτε ἔχει τὰ πρωτεῖα. ιδʹ

ἈΠΌΚΡΙΣΙΣ

Εἰ ᾔδεις τὰ αὐτόθι πραχθέντα, ἐσιώπησας ἂν ὑπ' αἰσχύνης, ὡς καὶ οἱ προσκομίσαντες μὲν ληγάτοι τὸν παραπλασθέντα κανόνα, ἐξηλέγχθησαν δὲ, τοῦ γνησίου ἀναγνωσθέντος. ἐν ᾧ τοιοῦτον οὐδέν. ἀνάγνωθι καὶ τὰ πρὸς τὴν δευτέραν ἔνστασιν. οὐ γὰρ λέγει ὁ κανὼν οὕτως ἀλλὰ καθὼς ἀνεγνώσθη ὑπὸ τῆς συνόδου ᾧ δέ πη: τὰ ἀρχαῖα ἔθη κρατείτω ἔν τε πενταπόλει καὶ Λιβύῃ καὶ Αἰγύπτῳ. ὥστε τὸν Ἀλεξανδρείας τούτων ἔχειν ἁπάντων τὴν ἐξουσίαν, ἐπεὶ καὶ τῷ ἐν ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστι καὶ τὰ λοιπά. οὕτως ἔχουσιν αἱ βίβλοι πᾶσαι, χεὶρ δέ τις ἔοικε ῥωμαϊκὴ ἐνήλλαξε τὰς φωνὰς ὡς ἠβούλετο, ἥτις θαρροῦσα τῇ τοῦ θρόνου, ὡς φησὶν, ὑπεροχῇ καὶ τὰς διορθώσεις τῶν ἀρχαίων τολμᾷ ἐπανορθοῦν, ἢ μᾶλλον εἰπεῖν ἐξαρθροῦν, ὡς μὴ ὤφελεν.

Συνοδ: ἐν νικαίᾳ κανὼν: ς′:

Ἐκ τῆς :δ': συνόδου. πρᾶξις πρώτη. ὅτι ὁ θεοδώρητος ἐκλήθη εἰς τὴν σύνοδον παρεῖναι, ἐπειδήπερ ἀπεκατέστησεν αὐτὸν εἰς τὴν ἐπισκοπὴν ὁ ἁγιώτατος Πατριάρχης λέων ιεʹ

ΑΠΟΚΡΙΣΙΣ

Οὐδὲ τοῦτο πρὸς τὸ στῆσαι τὴν τοῦ Πάπα ὑπεροχὴν ὤφειλες παρεισάγειν. ἐταπείνωσας γὰρ αὐτόν, ἐξ ἀπειρίας τῶν τῇ συνόδῳ πραχθέντων τὴν ἔκβασιν ἀγνοῶν. ἴσμεν οὖν τίς ἠθώωσε τὸν Θεοδώρητον ὁ Πάπας, ἢ ἡ σύνοδος. καὶ τοῦτον γὰρ τὸν Θεοδώρητον ἀκρίτως καθεῖλεν ὁ Διόσκορος. ἀπέλυσε δὲ ἐπικαλεσάμενον ὁ Λέων. καὶ ἐπέτρεπε συνεδρεύειν τῇ συνόδῳ τοῦτον ὡς ἀθωωθέντα. ἀλλὰ πρότερον κεκλημένον ὑπὸ τῆς συγκλήτου, τὸ ἥμισυ προφανῶς τῶν Πατέρων ἀπέβαλλον τοῦτον, ἤγουν οἱ περὶ Διόσκορον. οἱ δὲ περὶ Φλαβιανὸν ἐδόκουν ἀποδέχεσθαι, ὡς ἀντίπαλοι Διοσκόρου. ἐταμιεύθη δ' ὅμως εἰς ἰδίαν ἐπίσκεψιν. ἔκριναν τέως οἱ ἄρχοντες καθῆσθαι τοῦτον ἐν τύπῳ καὶ τόπῳ κατηγόρων. αὖθις ἐν ὀγδόῃ πράξει εἰσελθόντες, πάντες ὁμοῦ ἐβόων περὶ Νεστορίου, τὸν αἱρετικὸν ἔξω βάλλε. διωμολογημένον δὲ, ὅτι τῷ βασιλεῖ καὶ τῷ Λέοντι καὶ τοῖς αὐτοῦ ληγάτοις λιβέλλους ἐπιδέδωκε τῆς ὀρθῆς ὁμολογίας, οὐδ' ἀκούειν ἠνείχοντο. κελευόμενον δ' ἀναθεματίσαι ῥητῶς τὸν Νεστόριον, καὶ ἀναβαλλόμενον ἕως ἂν ἀναγνῷ τὴν οἰκείαν ὁμολογίαν, αἱρετικὸν ἀπεκάλουν, καὶ τοῦ συνεδρίου ἀπέβαλλον. ὥστε τῇ ἀνάγκῃ πιεζόμενον ἐκφωνήσαντά τε τρανῶς, ἀνάθεμα Νεστορίῳ, εὐμενῶς τότε προσήκαντο. καὶ οὐδὲν ἐκτὸς τούτου ἀπώνατο Θεοδώρητος, οὔτε τῆς τοῦ Λέοντος ἀθωώσεως (καίτοι δικαίας ὑπὸ τυράννου ἀκρίτως γινομένης) οὔτε τῆς βασιλικῆς ἐπινεύσεως, καὶ τῆς πρεσβείας καὶ παρουσίας τῶν ληγάτων, καὶ τῆς προστασίας τῆς συγκλήτου, εἰ μὴ ὅτε διελάλησαν οἱ ἐν τῇ συνόδῳ, καὶ ὑπερεψηφίσαντο, καὶ ἠθώωσαν αὖθις αὐτὸν ὡς μὴ πρώην καλῶς ἀθωωθέντα. ἄλλα τοιγαροῦν δύναται ἡ σύνοδος. πρὸς ἣν οὔτε Πάπας ὑπερέχει, οὔτε αὔγουστος.

Προσφέρεις περὶ χρυσοστόμου εὐχαριστίας τῷ Πάπᾳ Ἰννοκεντίῳ περὶ τῆς πατρικῆς εἰς αὐτὸν κηδεμονίας· ὤφειλες μὴ παρὰ ἐξορισθέντος καὶ τεθλιμμένου, ἀλλὰ παρὰ προεδρεύοντος παρεισάγειν. ἄλλος γὰρ ὁ εὐτυχῶν, καὶ ἄλλος ὁ συμφοραῖς ἐμπλεκόμενος. καὶ Ἰωάννης δ' ὁ παλαιολόγος αὔγουστος τῶν ῥωμαίων, οὐδὲν ἧττον τῇ ἀξίᾳ τοῦ περὶ αὐτοῦ, ὅμως ταῖς ἀνάγκαις πιεζόμενος, (εἰ καὶ ἀναξιώτατα) τῷ Πάπᾳ Εὐγενίῳ ποσάκις ὑπέκυψε δουλοπρεπῶς, καὶ ἀτιμαζόμενος ὡς παρὰ θυρωπύλῳ ἱστορεῖται. καὶ τί μέγα εἰπεῖν τὸν γηραιότερον (ὡς φῂς) πρὸς νεώτερον (τίς δ' οἶδε τοῦτο) ὅτι πατρικὴν ἐνέδειξε κηδεμονίαν, εἰ πατέρες οἱ ἀρχιερεῖς πάντες λέγονται. καὶ τὸν Ἐπιφάνιον ἥττονος πολυθρόνου ὄντα, Πατέρα προσηγόρευεν ὁ αὐτὸς Ἰωάννης. ὁμοίως καὶ τὸν Βερροίας Ἀκάκιον οἱ περὶ τὴν τρίτην σύνοδον, καὶ Θεοδόσιος αὐτός, πατέρα ὠνόμαζον. διὰ τὸ τῆς ἡλικίας αἰδέσιμον. προβεβηκὼς γὰρ ἦν. τί οὖν θαυμαστόν, εἰ καὶ ὁ χρυσόστομος τῆς πρὸς αὐτὸν τοῦ Ἰννοκεντίου βοηθείας εὐχαριστῶν, πατρικὴν ταύτην κηδεμονίαν ὠνόμασε;

Ἐκ τῆς σωζομένου ἱστορίας βιβλίῳ τρίτῳ, κεφαλαίῳ ἑβδόμῳ. ὅτι διὰ τὸ ἀξίωμα τῆς οἰκείας καθέδρας, πάντων ἐφρόντιζεν Ἰούλιος. καὶ ἐπιδέδωκεν ἑκάστῳ τὸν ἴδιον θρόνον. Ἀθανασίῳ τουτέστι, καὶ Παύλῳ Κωνσταντινουπόλεως.

ΑΠΟΚΡΙΣΙΣ

ἈΠΌΚΡΙΣΙΣ

Ὅτι μόνος ἦν τότε Ἰούλιος πατριάρχης ὀρθόδοξος, πανταχοῦ τῶν χριστιανῶν κρατούντων ὡς βασιλέα ὁμόφρονα ἑαυτοῖς ἔχοντες, τὸν Κωνστάντιον, τοιγαροῦν καὶ μόνος ὁ τότε Πάπας μετὰ τῆς οἰκείας συνόδου δηλονότι, καὶ τῶν κατ' ἀνατολὴν ὀρθοδόξων ὁμοψηφούντων τοὺς ἀδικουμένους ἐδικαίου τε καὶ ἀπέλυε, καὶ ταῦτα Πατριάρχας ὄντας αὐτούς. πῶς γὰρ ἦν ἀνεκτὸν ὑπερορᾶν αὐτοὺς τὴν ὀρθοδοξίαν πρεσβεύοντες.

Καὶ ἄλλα παραπλήσια προκομίζεις, ἅπερ ἰδίᾳ διὰ τὸ μῆκος, οὐκ ἀνάγκη ἐπιλύειν, ἐκ τῶν προειρημένων ὁμοίως ἐπιλυόμενα. ἔλθωμεν νῦν εἰς ἃ κατασκευάζεις ἐκ τούτων ἐπιχειρήματα.

Πέτρος πάσης τῆς καθόλου ἐκκλησίας ὑπὸ Χριστοῦ κατέστη ἔξαρχος, ἄρα καὶ ὁ ῥώμης ὁ τούτου διάδοχος. ἡ γὰρ ἀρχὴ ἐκ Πέτρου οὐ δι' αὐτὸν ἦν, ἀλλὰ διὰ τὴν ἐκκλησίαν, ἥτις διαμένει μέχρι συντελείας.

ἈΠΌΚΡΙΣΙΣ

Εἴπομεν οὐχ ὁ Πέτρος μόνος, ἀλλὰ καὶ πάντες οἱ συναπόστολοι, μαρτυρεῖ περὶ ἑαυτοῦ καὶ Παῦλος ἐν δευτέρῳ τῆς πρὸς γαλάτας: ὁ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης. οἱ δοκοῦντες στύλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ, καὶ Βαρνάβᾳ κοινωνίας. ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν. ἐκ τούτων ἔπεισι συνάγειν πρῶτον, ὅτι οὐ μόνον ὁ Πέτρος. δεύτερον, ὅτι Πέτρου προτάσσεται Ἰάκωβος, ὁ μηδ' ἐκ τῶν δώδεκα κατὰ τὰς ἀποστολικὰς διαταγὰς ἐν βιβλίῳ ἕκτῳ. καὶ τὴν τῆς ἡμετέρας ἐκκλησίας παράδοσιν, ὥστε οὐ κατ' ἀνάγκην πρῶτος ὁ Πέτρος οὐδὲ ἀεὶ καὶ πανταχοῦ. ὁ γὰρ Ἰάκωβος ἐν τῇ οἰκείᾳ ἐπισκοπῇ προτιμᾶται. τρίτον, ὅτι οὐδεὶς εἰς τὴν καθόλου ἐκκλησίαν ἀνήγετο. ἀδύνατον γὰρ ἀνθρώπῳ τὸ πανταχοῦ φθάνειν, κἂν δι' ἑαυτοῦ, κἂν δι' ἑτέρων. ὥστε ἀναγκαῖον ἦν ἀφορίζεσθαι τὰς διοικήσεις, ὡς παρέδωκαν οἱ ἀπόστολοι, καὶ ὁ ἕκτος τῆς ἐν Νικαίᾳ διεσάφησε, μὴ ἐπιβαίνειν οὐδένα ἀλλοτρίοις ὅροις. ὅτι δὲ καὶ σφίσιν αὐτοῖς τὴν οἰκουμένην διείλοντο, καὶ ὅλην εἶχον αὖθις. καὶ ὁ Παῦλος ἄνω παρέστησε. καὶ ὁ χρυσοῦς αὐτοῦ μυστολέκτης Ἰωάννης διεσάφησεν εἰς τὴν ῥῆσιν ἐκείνην ἐκφωνῶν οὕτως: ὢ συνέσεως ὑπερβολὴ καὶ συμφωνίας ἀπόδειξις ἀναντίρρητος. δείκνυσι γὰρ καὶ τὰ ἐκείνων αὐτοῦ, καὶ τὰ αὐτοῦ ἐκείνων. ταῦτα γὰρ ἑκατέροις ἐδόκει, καὶ ἐκείνους Ἰουδαίοις κηρύσσειν οὕτω, καὶ τοῦτον τοῖς ἔθνεσι. καὶ κατωτέρω μικρὸν, ἐν μὲν τῷ κηρύγματι διείλοντο τὴν οἰκουμένην ὁ Παῦλος μὲν τοὺς ἐξ ἐθνῶν, οἱ δὲ τρεῖς ἐκεῖνοι τοὺς Ἰουδαίους ἔλαβον, κατὰ τὸ τῷ θεῷ δοκοῦν. καὶ ἀνωτέρω μικρὸν, εἰς τὸ: ὁ ἐνεργήσας Πέτρῳ εἰς τὴν περιτομὴν, ἐνήργησε κἀμοὶ εἰς τὴν ἀκροβυστίαν φησὶ. δείκνυσιν αὐτοῖς ὁμότιμον ὄντα λοιπὸν, καὶ οὐ τοῖς ἄλλοις ἑαυτὸν ἀλλὰ τῷ κορυφαίῳ συγκρίνει, δεικνὺς ὅτι τῆς αὐτῆς ἕκαστος ἀπήλαυσεν ἀξίας. τὸ τούτου λαμπρότερον. ὁ αὐτὸς εἰς τὸ ὄγδοον

τοῦ α΄ πρὸς Κορινθίους. εἰς τό· εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλάγε ὑμῖν
εἰμὶ λέγει· ὁρᾷς πῶς οὐκ ἔστι περὶ τόπου; καίτοιγε εἶχε τὴν οἰκουμένην ἅπασαν καὶ
ἔθνη βάρβαρα καὶ γῆν καὶ θάλατταν. ὡσανεὶ λέγων. καὶ γὰρ τῆς οἰκουμένης
ἀπόστολος ἦν, ἀλλὰ τὸ ὑμέτερον τίθημι. ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς
ὑμεῖς ἐστὲ ἐν κυρίῳ. ὁ αὐτὸς εἰς τὸ ἐνδέκατον τῆς β΄ πρὸς Κορινθίους. εἰς τὸ ἡ μέ-
ριμνα πασῶν τῶν ἐκκλησιῶν. εἰ γάρ φησιν ὁ οἰκίας μιᾶς προνοῶν, οὐδὲ ἀνα-
πνεῖ πολλάκις ὑπὸ τῶν φροντίδων. οὗτος ὁ οὐκ οἰκίας μιᾶς, ἀλλὰ καὶ πό-
λεων, καὶ δήμων, καὶ ἐθνῶν καὶ ὁλοκλήρου τὴν τῆς οἰκουμένης φροντίδα ἔχων.
ὅσα δὲ Παύλῳ ἐπέοικεν, ἔοικε καὶ Βαρνάβᾳ. ὁ αὐτὸς μαρτυρεῖ. πολλῷ μᾶλ-
λον τοῖς δώδεκα Ἀποστόλοις. β΄. λέγομεν ὅτι ἡ διαδοχὴ τῆς ἐκκλησίας ἐκ
τῶν ἀποστόλων εἰς τοὺς ἱεράρχας, οὐ κατὰ πάντα νοεῖται. ἀλλὰ κατὰ τὸ κυριώτα-
τον τοῦ ποιμαίνειν. τοῦτο δὲ οὐσύμφυτον ἔχει τὸ πανταχοῦ. ἐκεῖνοι δὲ ὅροις οὐ
περιωρίζοντο, οὐδὲ γὰρ ὅρια τότε ἦσαν, οὐδὲ τὸ κατ' ἀρχὰς πολλοὶ πιστοί. αὐ-
τοὶ δὲ πληθυνομένων τῶν ποιμνίων, διετάσσοντο. ἤκουσαν γὰρ πορευθῆναι εἰς τὸν
κόσμον ἅπαντα. ὅθεν ὁ Παῦλος ἐχειροτόνει Τιμόθεον ἐν Ἐφέσῳ, ὑπὸ Ἰ-
ωάννου ποιμαινομένῃ, καὶ Ἰγνάτιον ἐν Ἀντιοχείᾳ, ὅπου ἦν καὶ Εὔοδος ὑπὸ Πέ-
τρου καταστηθεὶς, καὶ Σίλαν ἐν Κορίνθῳ ὅπου αὐτὸς εἶχε, φησὶ τὴν σφραγί-
δα τῆς ἀποστολῆς, ἤτοι τῆς ἐπισκοπῆς. καὶ ἄλλοι ἄλλους ἀλλαχοῦ. οὐ γὰρ κυρίως
ἦσαν οἱ ἀπόστολοι πόλεώς τινος ἐπίσκοποι (εἰ καί ποτε οὕτω λέγονται) διὰ τὸ χρο-
νοτριβῆσαι ἔν τισι πόλεσι καὶ τελευτῆσαι ἔν τινι τούτων ὡς ὁ Πέτρος ἐν Ῥώμῃ)
ἀλλὰ πάσης (ὅπου ἐτύγχανον) τῆς οἰκουμένης. διὰ τοῦτο καὶ Πέτρος ἐν Ῥώμῃ,
διατρίβων ἐχειροτόνει καθ' ὑμᾶς Λῖνον καὶ Κλῆτον. αὐτὸς γὰρ οὐ περιωρίζετο
ἐν Ῥώμῃ ἢ ἐν δύσει. ἀλλὰ καὶ τὴν ἀνατολὴν, καὶ Ἀσίαν περιήρχετο. ταύτην δὲ
τὴν διαδοχὴν οὐκ εἶχεν ἡ ἐκκλησία, οὔτ' ἔχειν ἠδύνατο, οὔτε συνέφερεν
αὐτῇ, εἰ μὴ ἀναλόγως ἐν τοῖς Πατριάρχαις καὶ Μητροπολίταις, λόγῳ ἀναγ-
καίας ἐπιστασίας, ὁρᾶται δεικνύμενον διὰ τῶν συνόδων. εἰς ἕνα δὲ Πάππαν
συνάγειν τὴν ἐξουσίαν ταύτην ἅπασαν, οὐδαμῶς ἐπέοικεν. οὐδὲ γὰρ εἷς τῶν
ἀποστόλων εἶχε τοῦτο μόνος. θεωρητέον δὲ καὶ οὕτω τοῦ πράγματος τὸ ἀνόμοι-
ον. ἐκεῖνοι μὲν γὰρ ἦσαν πάντῃ θεόπνευστοι, οἱ δὲ καθ' ὑμᾶς καὶ ἡμᾶς σχεδὸν
πάντες ἐκκεκλικότες τῆς ἀποστολικῆς ὁμοιότητος, καὶ πάντες πρὸς ἐκείνους
πεφήναμεν ὡς ἐκτρώματα. συλλήβδην οὖν εἰπεῖν, οὔτε Πέτρος κυρίως Ῥώμης
ἐπίσκοπος, οὔθ' ὁ Πάππας κυρίως Πέτρου διάδοχος. εἰ δ' αὖ καὶ διάδοχος εἴη,
ὥσπερ καὶ λέγεται, διὰ τὸ ἀρχηγὸν τῆς ἐκεῖ γενέσθαι ἐκκλησίας. ὡς καὶ Ἀντι-
οχείας. ἀλλ' οὐκ ἔστιν ἡ διαδοχὴ κατὰ πάντα, καὶ ἀπεριόριστος καὶ ἀπροσδιό-
ριστος εἰς τὴν οἰκουμένην πᾶσαν, ὡς ἦν ἡ ἀποστολὴ Πέτρου καὶ τῶν λοιπῶν. ἀλλὰ μᾶ-
λλον τόπῳ τῇ Ῥώμῃ πόλει καὶ τῶν πέριξ ἡ διοίκησις περιορίζεται, καὶ αὐτοῦ καὶ πάντων
τῶν μετὰ τοὺς ἀποστόλους. ἑκάστῃ γὰρ πόλει ἴδιος διετάχθη ποιμὴν, καὶ ἑκάστῳ ἔθνει μεί-
ζων ἐπίσκοπος, ὁ λεγόμενος καὶ Μητροπολίτης καὶ πολλῶν Μητροπόλεων ῥητοὶ Πα-
τριάρχαι. καὶ ὑπὲρ τούτους οὐδεὶς ἕτερος, εἰ μὴ ὁ Χριστός. τοιαύτην ἄνωθεν παρα-
λαβόντες ἔχομεν ἐκ τῶν ἀποστόλων αὐτῶν καὶ ἐκ τῶν συνόδων τὴν διάταξιν. εἰ δὲ καὶ
ἀπὸ Πέτρου διαδοχὴν κυρίαν πιστώσασθαι θέλετε, ἔστιν Ἀμβρόσιος ὁ θειότατος εἰ-

σηγούμενος

συγγράμματος τὸ εἰλικρινὲς τῆς πίστεως, δι' ἣν Πέτρος ὁ Πέτρος, παρὰ ταύτην ματαία πᾶσα ἄλλη διαδοχή. φησὶ δὲ ἐν βιβλίῳ πρώτῳ περὶ μετανοίας, ἐν κεφαλαίῳ ς', οὐκ ἔχουσι τὴν κληρονομίαν Πέτρου, οἱ τὴν Πέτρου πίστιν μὴ ἔχοντες.

β' Ἐπιχειρεῖς. ἡ ἐκκλησία ἡ αὐτὴ ἀεὶ διαμένει καὶ ὁμοειδής. ἄρα καὶ ἡ αὐτὴ ἀκολουθεῖ διοίκησις, ἣν ὁ Κύριος διετάξατο, ἄρα ἡ αὐτὴ ποιμαντικὴ ἀρχὴ τοῦ Πέτρου.

ΑΠΟΚΡΙΣΙΣ

Ἣν διετάξατο ὁ Κύριος διοίκησιν οὐ Πέτρῳ, ἀλλὰ πᾶσιν ἐπετράπη. καὶ οἱ κανόνες οὕτω κηρύττουσι, καὶ ἡ παράδοσις τῆς ἀρχαίας ἐκκλησίας οὕτω κρατεῖ.

γ' Τὸ σῶμα τῆς ἐκκλησίας οὐκ ἔστιν ἀκέφαλον. ἀλλὰ μὴν ἡ κεφαλὴ ἣν αὐτῇ Παῦλος ἀποκληροῦται, οὐ δύναται εἶναι ὁ Χριστός. ἄρα ἕτερος ἐκεῖνος ἐπίτροπος, λέγεται γάρ, οὐ δύναται λέγειν ἡ κεφαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω. ὁ δὲ Χριστὸς δύναται λέγειν, χρείαν ὑμῶν οὐκ ἔχω κατὰ τὸ Δαβιτικόν· Κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. ἄρα ὁ Χριστὸς οὐκ ἔστι τῆς ἐκκλησίας κεφαλή.

ΑΠΟΚΡΙΣΙΣ

Ἐπέχεις ἄνθρωπε τοῦ κατασοφίζεσθαι καρπὸν ψεύδους ἄξιον τὴν βλασφημίαν. διὸ οὐκ ἐπιπλήττω σοι οὐδὲ νουθετῶ ἔτι, οἰκτείρω δὲ καὶ καταδύρομαι τὴν ἐπὶ φιλαυτίᾳ ἀναισχυντίαν. καὶ πάλαι μὲν γὰρ ἤκουον (εἰ καὶ οὐκ ἐπίστευον) ἐπισκοπτόντων τινῶν τοῖς Λατίνοις, ὅτι καθεῖλον τῆς ἀρχῆς τὸν Χριστόν, καὶ τὸν Πάπαν εἰς κεφαλὴν ἀντεισήγαγον. νῦν δὲ καὶ γράφοντός σου ἀναγινώσκω, καὶ ἀπιστεῖν ἐθέλοντα καταβιάζῃ καὶ πείθεις με. ἵλεως ὁ Κύριος τῆς βλασφημίας, σοί τε λέγοντι, καὶ ἡμῖν ἀκούουσιν. οὐκ αἰσθάνῃ ὦ βέλτιστε ἀντιφάσει περιπίπτων. ὅπου. φῂς ἕτερον εἶναι παρὰ τὸν Χριστὸν κεφαλὴν τούτου ἐπίτροπον. μὴ δύναται δοῦλος εἶναι μείζων τοῦ κυρίου αὐτοῦ. ὁ ἐπιτρόπου λόγος πρὸς τὸν ἐπιτρέποντα ἀνατρέχει. εἰ οὖν ἐπιτροπικῶς κεφαλὴ ἄνθρωπος, ἔσται καὶ μᾶλλον κεφαλὴ ὁ ἐπιτρέπων· δι' ὃ γὰρ ἕκαστον τοιοῦτον, ἐκεῖνο μᾶλλον τοιοῦτον. πρὸς δὲ τὴν ἀποστολικὴν εἰκόνα (ἧς τινος οὐ προφανῶς καὶ ἐθέλοντι τὴν ἔννοιαν καὶ τὸν σκοπὸν διαστρέφεις) συνίης ὅτι τὴν κεφαλὴν οὐκ ἐπὶ τοῦ Χριστοῦ λαμβάνει, ἀλλ' ἐπὶ τῶν ἐπισκόπων ἢ καὶ πάντων προεστώτων. ἔστι δ' ὁ λόγος περὶ διαιρέσεων χαρισμάτων, καὶ διακονιῶν, καὶ ἐνεργημάτων. ὧν οὐ μέτοχος, ἀλλὰ διανομεὺς καὶ παροχεὺς ὁ Χριστός, ὁ ἐνεργῶν, καὶ διαιρῶν ἑκάστῳ ὡς βούλεται. καὶ κατασκευάσας τὴν παραβολὴν ἐπὶ συγκρίσει σώματος ῥητῶς λέγει· ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. καὶ οὓς μὲν ἔθετο ὁ Χριστὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους. ἐπάγει, μὴ πάντες ἀπόστολοι μὴ πάντες προφῆται, μὴ πάντες διδάσκαλοι. καὶ συναρμολογίαν παριστῶν τῶν χαρισμάτων καὶ διακονιῶν, ὥστε ἑτέραν ἑτέρᾳ καὶ τὴν μείζω τῇ ἐλάττονι συνέχεσθαι, προλαβὼν

εἶπεν, ὅτι οὐ δύναται ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, χρείαν σου οὐκ ἔχω. οὐδὲ
ἡ κεφαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω. ὁρᾷς ὅτι περὶ ὁμοφυῶν μελῶν
ἐν τῷ ὑλικῷ σώματι λέγει, ἵνα παραστήσῃ διὰ παραδείγματος τὸ πνευμα-
τικόν, ὅτι οὐ δύναται εἰπεῖν ὁ διάκονος τῷ ἱερεῖ, χρείαν σου οὐκ ἔχω, ἢ ὁ
ἐπίσκοπος τῷ λαϊκῷ, χρείαν σου οὐκ ἔχω. τούτῳ μαρτυρεῖ καὶ ὁ θεῖος χρυσό- 5
στομος ὁμιλίᾳ λα΄· οὗτινος ἡ χρῆσις ἀπὸ τοῦ Θεοφυλάκτου κατ' ἐπιτομὴν αὕ-
τη· ὥσπερ γάρ (φησιν) ὁ ὀφθαλμὸς οὐ δύναται λέγειν τοῖς λοιποῖς μέλεσι, χρεί-
αν ὑμῶν οὐκ ἔχω. ἑνὸς γὰρ ἐνδέοντος, χωλεύει τὸ λοιπὸν σῶμα, οὕτως οὐ-
δὲ οἱ τὰ μείζω εἰληφότες χαρίσματα, δύνανται ἐπαίρεσθαι κατὰ τῶν τὰ ἐλάττο-
να ἐχόντων. χρήζουσι γὰρ αὐτῶν ὡς οὐκ ὄντες αὐτάρκεις μόνοι, εἰς τὴν τῆς 10
ἐκκλησίας οἰκοδομήν. κἂν τῷ ἠθικῷ τῆς τριακοστῆς ὁμιλίας, παραινεῖ
πᾶσαν βασκανίαν ἐκβάλλωμεν, καὶ μήτε τοῖς τὰ μείζονα χαρίσματα ἔχουσι
φθονῶμεν, μήτε καταφρονῶμεν τῶν τὰ ἐλάττονα κεκτημένων. Ὅτι δὲ κεφαλαὶ
τῶν κατὰ μέρος ἐκκλησιῶν οἱ ἐπίσκοποι, συνίστησι πρὸς ἐφεσίους δευτέρῳ ὁ ἀ-
πόστολος λέγων· καὶ αὐτὸν (τὸν Χριστὸν ὁ Θεὸς) ἔδωκε κεφαλὴν ὑπὲρ πάντα 15
τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ. τί ἐστι τὸ ὑπὲρ πάντα, εἰ μὴ ὅτι καὶ
ἄλλους ἔστησεν ὑπὲρ οὓς μόνος ὁ Χριστός. Καὶ ταῦτα μὲν κατ' ἀκρίβειαν τοῦ
γράμματος περὶ διαιρέσεως χαρισμάτων καὶ διακονιῶν, ὧν οὐ μέτοχος,
ἀλλὰ πλήρωμα ὁ Χριστὸς ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβο-
μεν. ἥκω δὲ ἀληθῶς οὐκ ἀντικατασοφιζόμενός σου, ἀλλὰ καὶ ἀληθῶς ἀποδεί- 20
ξων, ὅτι κεφαλὴ καθάπερ ὁ Χριστός, καὶ τῶν ποδῶν χρείαν ἔχει ἡμῶν. ὥσπερ
γὰρ μετὰ τὴν ἕνωσιν τοῦ προσλήμματος, χρείαν αὐτοῦ ἔχει, καὶ οὐ δύναται ἀποβά-
λλειν, ἀδιαζεύκτου κατὰ πᾶσαν ἀνάγκην μενούσης ἐν μιᾷ ὑποστάσει ἑκατέρας
φύσεως, οὕτω γε μὴν καὶ μετὰ τὴν ἄρρητον ἕνωσιν, ἣν πρὸς τὴν νύμφην ἐκ-
κλησίαν εὐδόκησεν ὁ σωτήρ, ἓν σῶμα ἐξ αὐτῆς τε καὶ ἑαυτοῦ κατεσκεύασε. 25
καὶ οἰκεῖα μέλη τοὺς πιστεύοντας πεποίηκεν. ὥστε εἴπερ ἀδύνατον, εἶναι ἄ-
νευ σωζομένων σωτηρία, καὶ χρήζειν σωζομένων ἀνάγκη, εἰς τὸ εἶναι σωτη-
ρία. ἀδύνατον ἑπομένως καὶ κεφαλὴν, λέγεσθαι ἄνευ μελῶν, καὶ κεφαλὴν
οὖσαν, ἀνάγκη πᾶσα, χρήζειν μελῶν. ἴδε ἀντισοφισθέντος σου τὸ σόφισμα, καὶ
ἀντιστρέψαντος τῷ χριστῷ εἰς εὐφημίαν τὴν βλασφημίαν τὴν σήν. 30

Συλλογὴ ἐκ τῆς παρεκβάσεως περὶ μοναρχίας.

Ἐκ τῆς ἄνω πολυλογίας πρῶτον συνάγεις τὸ τέλος τὸ προτεθὲν, ὅτι ἐπειδὴ
θείῳ νόμῳ μοναρχία ἐστὶν ἡ ἀληθὴς ἐκκλησία, κατὰ θείαν ὁμοῦ διάτα-
ξιν, ὑποκεῖται μιᾷ κεφαλῇ ἀκροτάτῳ τινὶ ἐξάρχοντι. ἀλλὰ μὴν
ἡ λατινὶς τοιαύτη, οὐ μὴν ἡ ἀνατολική. ἄρα ἀληθὴς ἐκκλησία ἡ λατινὶς, 35
οὐχ ἡ ἀνατολική.

ΑΠΟΚΡΙΣΙΣ

Ὑποθέμενος ψεῦδος, οὐδαμοῦ δυνήσῃ συναγαγεῖν ἀλήθειαν· μᾶλλον δ'
ἀντιστρέψει τοὐπιχείρημα· θείῳ νόμῳ ἐν ἀνθρωπίνοις οὐκ ἔστι μοναρχία
ἡ ἀληθὴς καθόλου καὶ ἀποστολικὴ ἐκκλησία (δώδεκα γὰρ ἢ καὶ πλείους ἰ- 40
σοτίμους

στίμους ἐδείξαμεν ὑπὸ Χριστοῦ διατετάχθαι εἰς ἑνότητα διὰ τοῦ συνδέσμου τῆς ἀγάπης συντρέχοντας) ἀλλὰ μὴν ἡ λατινὶς ἐστὶ μοναρχία, ἡ δ' ἀνατολὶς οὔ. ἄρα ἡ λατινὶς οὐκ ἔστιν ἀληθὴς ἡ καθόλου ἐκκλησία. ἀλλ' ἡ ἀνατολική.

β' Συνάγεις ὅτι τὸ συνεχόμενον τῇ κεφαλῇ μέλος ζωοῦται, νεκροῦται δὲ τὸ κεχωρισμένον. ἀλλὰ μὴν ἡ λατινὶς τῇ τῆς καθόλου ἐκκλησίας κεφαλῇ ὁρατῇ τῇ ῥωμαϊκῇ καθέδρᾳ συνέχεται, κεχώρισται δὲ ἡ ἀνατολική. ἄρα ἡ λατινὶς ζωοῦται, νεκροῦται δὲ ἡ ἀνατολική.

ΑΠΟΚΡΙΣΙΣ

Ἀντιστρέφω κἀν ταῦθα. τὸ συνεχόμενον μυστικὸν, ἀληθεῖ καὶ γνησίᾳ καὶ ἀφθάρτῳ καὶ ἀοράτῳ κεφαλῇ, ζωοῦται σῶμα. νεκροῦται δὲ τὸ ψευδεῖ φθαρτῇ καὶ ὁρατῇ κεφαλῇ. ἀλλὰ μὴν ἡ ἀνατολικὴ ἐκκλησία συνέχεται τῇ ἀληθεῖ καὶ γνησίᾳ, καὶ ἀφθάρτῳ, καὶ ἀοράτῳ κεφαλῇ τῷ Χριστῷ. ἡ δὲ λατινὶς σὺν κυρίᾳ, καὶ ἀληθεῖ. ἀλλὰ φθαρτῇ, καὶ ὁρατῇ. ἄρα ἡ ἀνατολικὴ ζωοῦται, νεκροῦται δὲ ἡ λατινίς.

γ' Συνάγεις ἐκ τῆς τοῦ σώματος ἀναλογίας. τὸ φυσικὸν σῶμα ἐστὶ μονοκέφαλον, τὸ δὲ πολυκέφαλον τερατῶδες. ἀλλὰ μὴν τὸ μυστικὸν σῶμα τῆς λατινίδος ἐστὶ μονοκέφαλον, τῆς δ' ἀνατολίδος τετρακέφαλον, ἐκείνης ἄρα τὸ σῶμα εὔρυθμον, ταύτης τερατῶδες, βεβαιοῖς τὴν δυσμορφίαν τοῦ πολυκεφάλου διὰ παραδειγμάτων. ὡς εἰ παρῆσαν τανῦν προεδρεύοντες, ἐν Κωνσταντινουπόλει μὲν Μακεδόνιος Νεστόριος καὶ Σέργιος αἱρεσιάρχαι, ἐν Ἀντιοχείᾳ δὲ Μακάριος ὁ μονοθελήτης Παῦλος ὁ σαμωσατεὺς, καὶ Πέτρος ὁ κναφεύς. ἐν Ἀλεξανδρείᾳ δὲ διόσκορος. καὶ Λούκιος δὲ καὶ Γεώργιος οἱ ἀρειανοί. ἐν Ἱεροσολύμοις δὲ Ἰωάννης ὠριγενιστὴς, εὐτύχιος, εἰρηναῖος, καὶ Ἱλάριος ἀρειανοὶ, πόθεν τοιούτῳ σώματι θεραπεία. ὅπου ἅπασιν ἡ ἑνὰς ἀπολείπεται καὶ ἡ ἀλήθεια. τὸ γὰρ ἓν καὶ ἀληθὲς καὶ ἀγαθὸν, καὶ ἀντιστρέφουσιν. ἀλλὰ μὴν ἡ λατινὶς μία, ἡ δὲ ἀνατολικὴ τετραπλῆ. ἄρα ἡ λατινὶς μόνη ἡ ἀληθὴς καὶ ἀγαθὴ, οὐχ ἡ ἀνατολική.

ΑΠΟΚΡΙΣΙΣ

Ὡς ποικίλον σοι τὸ σοφιστικὸν, κἂν τούτῳ μόνῳ, καὶ οὐ τῇ ἀληθείᾳ ἀνατετράφθαι σε δείκνυσι παρὰ τοῖς σοῖς διδασκάλοις. ἀλλ' ὅρα τὴν ἀλήθειαν, διαλύουσάν σου, ὡς ἱστὸν ἀράχνης τὰ σοφίσματα.

Τὸ φύσει ποιόν τι ὂν, τοιοῦτον ἀεὶ διαμένει, καὶ ἀδύνατον, ἢ δυσχερέστατον μεταβάλλειν αὐτὸ μείζονος ἀντικειμένης δυνάμεως, καὶ εὔποτε ἐριστικῶς καὶ σοφιστικῶς ἐναρξάμενος, τοιοῦτος ἡμῖν ὡς ἀεὶ ἐπιτίθεσαι, ταῦτα πολυπλόκως ληρῶν εἰς ἀπάτην καὶ παραλογιζόμενος. ἄκουσον οὖν καὶ μεταβλήθητι τῇ ἀηττήτῳ καὶ πάντα ὑπερνικώσῃ δυνάμει τῆς ἀληθείας. πῶς ἐναρξάμενος ἀπὸ φυσικοῦ σώματος ἐν τῇ μείζονι, ἐπιφέρεις τὸ μυστικὸν ἐν τῇ ἐλάσσονι. ἔδει κἂν ἀφῃρημένως εἰπεῖν σῶμα, οὐ γὰρ οἷς τὸ φυσικὸν, ὀφείλει διατελεῖν καὶ τὸ μυστικόν. ἐκεῖνο γὰρ θέσει ἐν τοῖς πράγμασιν ἐστὶ, τοῦτο δὲ μᾶλλον ἐπινοίᾳ.

ἐπινοίᾳ. ὥστε καὶ νοητὸν μᾶλλον, ἢ ὁρατὸν, ὡς σῶμα λεγόμενον. ἀλλ' ἔστω,
συγχωρήσωμεν τὴν αἰτίαν. οὐ συγχωροῦμεν τὴν ἀνατολικὴν ἐκκλησίαν ἐκ-
λαμβανομένην ἅμα πολυκέφαλον. εἷς γὰρ ὁ Χριστὸς ἡ ἀληθὴς αὐτῆς κεφαλή.
ἡ δὲ κατὰ μέρος ἐκκλάδης τὰς διοικήσεις, ἑκάστη μίαν ἕξει κεφαλὴν μυ-
στικὴν τὸν ἴδιον ἐπίσκοπον, ὡς κἂν τῇ λαπινίδι ἐκ ἀποφήσαντε. φησὶ δὲ καὶ
προσφυῶς ὁ ἀποστολικὸς κανών: λδ': τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι δεῖ
τὴν ἐν αὐτοῖς κεφαλήν. ἤτοι Μητροπολίτην, πολλῷ οὖν μᾶλλον Πατριάρχην.
τὸ δὲ εἰς βεβαίωσιν διὰ παραδείγματος προβληθὲν, ἀριδήλως θεατρίζει
τὴν διάνοιαν σου τραγελάφους καὶ χιμαίρας κυοφοροῦσαν καὶ ἀποτίκτουσαν. οὐκ
ἐγκατέλειπεν οὐδ' ἐγκαταλείψει ἡ πάνσοφος αὐτοῦ πρόνοια τὰς ἐκκλησίας
πάσας, ἅμα ὑπὸ αἱρετικῶν ἀρχιερέων ποιμαινομένας, οὐδ' εἰ κατὰ πᾶσαν Κωνσταν-
τίνου καὶ Οὐάλεντος μηχανὴν προέβαινεν ἡ κακία. ἀλλὰ καὶ τότε μάλιστα ἀ-
ναστήσει καὶ Ἀθανασίους, καὶ Γρηγορίους, καὶ Βασιλείους, Ἀμβροσίους τε καὶ
Ἱλαρίους πρὸς ἄμυναν. ἀναστρέψω δὲ κἂν ταῦτα κατὰ τὸ τῆς κεφαλῆς σου σό-
φισμα εἰς ἀληθῆ συλλογισμόν. εἰ γὰρ καὶ εἶεν ἅμα τοσαῦτα αἱρέσεων τέρα-
τα, οὐδ' ἂν μικρόν τι εἰς τέρας τελέσειε ἡ ἐκκλησία τοῦ Θεοῦ, κεφαλὴν καθ'
ἡμᾶς ἔχουσα μίαν τὸν Χριστόν, καὶ οὐκ ἀνθρώπους, εἰ μὴ κατ' ἐπιτροπὴν ἱεραρ-
χίας. εἰ δὲ καὶ ὁ ἱεράρχης αἱρετικός ποτε γένοιτο οὐκ ἔτι κεφαλή. ἐκπίπτει γὰρ
τῆς ἐπιτροπῆς, καὶ μένει πάλιν ἡ ἐκκλησία κεφαλὴν γνησίαν ἔχουσα τὸν Χρι-
στόν. καὶ σχολάζει μὲν τηνικαῦτα ἡ ἱεραρχική, ὡς ὅτε χηρεύῃ ἐπισκόπου πόλις.
ἡ αὐτὴ κεφαλῆς ἔχει τέως ἐκ τῶν ὁμορούντων, τὸν ἀντιποιούμενον καὶ συναντι-
λαμβανόμενον. ἐρῶ καὶ μᾶλλον ἐκ τοῦ ἰδίου κλήρου τὸν μάλιστα περιεζωσμένον
τὴν ῥομφαίαν τοῦ πνεύματος, καὶ δύναμιν ἐνδεδυμένον ἐξ ὕψους. καὶ
ταῦτα μὲν ἡμεῖς. ὑμεῖς δὲ οἱ τιθέντες κεφαλὴν ὁρατὴν τὸν Πάπαν, καὶ ἐπ' αὐ-
τῷ πεποιθότες ὡς ἀναμαρτήτῳ, τί πάθοιτ' ἂν ὦ ταλάντατοι ἄν τις Ὀνώριος
ἄλλος, ὡς ὅτε μονοθελήτης, ἐπικαθίσῃ τῷ πέτρου θρόνῳ προσεπιβιαζό-
μενος, ἄν τις Μαρκελλῖνος μὴ ἀναπαλαίσας, ἄν τις Φῆλιξ, ἄν τις γυνὴ μὴ
φανερωθεῖσα, ἄν τις Στέφανος, ἄν τις Σέργιος, καὶ τοὺς νεκροὺς Πάπας Φορμό-
σους ἀνασκάπτοντες, καὶ τοὺς τελεσιουργηθέντας ἀναχειροτονοῦντες. ἄν τις Ἰω-
άννης δωδέκατος ἐν μοιχείᾳ πεφονευμένος, ἄν τις Ἀλέξανδρος ἕκτος. καὶ ἕτε-
ροι ταῖς αἰσχρουργίαις καὶ φόνοις τὰς ἐξ αἱρέσεων λύμας ὑπερακοντίσαντες.
καὶ τί ἔτι λέγω. ὅπου κατέληξαν παρ' ὑμῖν καὶ νόμοι, καὶ κανόνες, καὶ ἡ αἰδώς.
ἀνερυθριάστως τῇ προαιρέσει τοῦ κρατοῦντος χρωμένοις αἵμασιν ὡς τὰ πολλὰ,
καὶ ἁρπαγαῖς καὶ φιλομαχίαις συμπλεκομένοις. ταῦτα ὑμῖν τὰ ἀληθῶς νο-
μιζομένης ὑμῶν ἐκκλησίας γνωρίσματα. ταῦτα τὰ καθ' ὑμᾶς μοναρχί-
ας, ἢ μᾶλλον εἰπεῖν καθ' ἡμᾶς, τὰ προφανοῦς τυραννίδος τὰ ἰδιώματα.
ἀπόνασθε τοιγαροῦν τῶν καρπῶν τῆς ἐκ τῆς ἀληθοῦς θεαρχικῆς κεφαλῆς
ἀποστασίας. Καὶ ταῦτα μὲν εἰς ἀναίρεσιν τοῦ ψευδοδιδάκτου τοιούτου δόγ-
ματος, εἰ καὶ ἱκανά. πλὴν προσθήσω καὶ λόγον ἕνα εἰς τὸ ἄτοπον ἐ-
σπλαύνοντα τὴν δόξαν ὑμῶν. λέγετε γὰρ ὅτι ὁ Πάπας τῷ πέτρῳ κατὰ πάν-
τα διάδοχος. εἴπατε τοίνυν καὶ τοῦτο. ὅτι καὶ οἱ μετὰ πέτρον Λῖνος καὶ
Κλήμης διά-

κλήμης διάδοχοι ὄντες οὐ μόνον τῆς καθόλου ἐκκλησίας ἦσαν κεφαλή, ἀλλὰ
καὶ τῶν συγχρονούντων αὐτοῖς ἀποστόλων, Ἰωάννου δῆθεν ὡς καὶ ἐπὶ τριάκοντα διαρ-
κέσαντος ὑπὲρ τὰ ἑκατὸν ἔτη τοῦ Χριστοῦ, καὶ Ἰακώβου, ὡς περὶ τὰ ἑβδομή-
κοντα. τίς ἀκούων, οὐ καταπροπηλακίσει τὸν λέγοντα. ὥστε τοὺς μαθητὰς
τῶν ἀποστόλων γενέσθαι ὑπὲρ τοὺς ἀποστόλους, λόγῳ τῆς πέτρου διαδοχῆς. καὶ τῶν
αὐτοπτῶν τοῦ θεανθρώπου, τοὺς μὴ αὐτόπτας; ὅτι γὰρ τοῦτο ἀκολουθεῖ τὸ ἄτοπον
δῆλον. πᾶς γὰρ διάδοχος ἰσότιμος καὶ ἰσεξούσιος τοῦ προηγουμένου. εἰ γοῦν
πέτρος ἔξαρχος τῶν ἀποστόλων καὶ κεφαλὴ αὐτῶν καὶ τῆς ἐκκλησίας, ἔσται
τὸ αὐτὸ καὶ ὁ τούτου διάδοχος. εἰ δὲ καὶ τοῦτο αἰσχύνεσθε νέμειν τῷ Πάπᾳ πρὸς
τοὺς ἀποστόλους παραβαλλομένῳ, ἀλλ᾽ ὅμως οὕτω σοι δείξω ἐξ ἀνάγκης εἶναι ἀκό-
λουθον. οἱ γὰρ περιόντες ἔτι ἀπόστολοι μετὰ πέτρον μέλη ἦσαν τῆς ἐκκλησίας,
ἀλλὰ μὴν τῶν μελῶν πάντων κεφαλὴ ὡς Πάπας ὁ κλήμης, ἄρα καὶ τῶν αὐτῶν
ἀποστόλων. πλὴν ἀλλ᾽ ἴδωμεν εἰ τοῦτο στέργει ὁ κλήμης ὃς ἐκ προσώπου πέτρου
Ἰακώβου ἐπιστέλλων, ἐπίσκοπον αὐτὸν ἐπισκόπων ἀποκαλεῖ, καὶ Πατέρα Πα-
τέρων. οὐκ ἄρα μείζων τῶν ἀποστόλων ὁ Πάπας. ἀλλ᾽ οὔτε τῷ πέτρῳ κατὰ
πάντα διάδοχος. ἐκεῖνος γὰρ ὡς καὶ οἱ λοιποὶ συναπόστολοι τῆς καθόλου ἦσαν
ἑκάστης ἐκκλησίας ποιμένες. ὁ δὲ Πάπας τῆς ὑπ᾽ αὐτὸν μόνης, δῶμεν ὡς Πα-
τριάρχης καὶ πάσης τῆς νυνὶ δύσεως. οὐ γὰρ δοίημεν μηδαμῶς πως τῆς ἀνατο-
λῆς καὶ τῆς τῶν λοιπῶν Πατριαρχῶν μερίδος. ἀλλὰ τούτων μὲν ἅλις. Προ-
βῶμεν λοιπὸν καὶ εἰς τὸ ἕκτον τμῆμα, ὡς ἰόντες πρὸς τὸ τέλος σπεύδοντες
καὶ ἀφορῶντες, συντομικώτερον.

ΤΜΗ͂ΜΑ ἝΚΤΟΝ

Δείκνυται ἡ θέσις (ἡ πέμπτη) ἐκ τοῦ μὴ κενοῦ ὀνόματος τοῦ τῆς καθολικῆς ἐκκλησίας.

Ἐκείνη φησὶ, ὑπάρχει ἀληθὴς ἐκκλησία, ἥτις διαπαντὸς χρόνου ἐστί,
πιστεύεται καὶ ὀνομάζεται καθολική. τοιαύτη ἐστὶν ἡ λατινίς, ἄρα. ὅτι
δὲ καθολικὴ τετραχῶς διαιρεῖς. κατὰ τόπον. ἐξήπλωται γὰρ ἐπὶ τὸ ἄνω καὶ
κάτω ἡμισφαίριον, κατὰ πᾶσαν ἐπαρχίαν. δεύτερον κατὰ χρόνον, ἀμετάβλη-
τος καὶ ἀκλόνητος διαμεμενηκυῖα ἀπὸ Χριστοῦ ἕως τοῦ νῦν, καὶ εἰς τὴν συν-
τέλειαν. τρίτον κατὰ τὸ πλῆθος προσώπων ἐκ πάσης φυλῆς, καὶ γλώσσης, καὶ
λαοῦ καὶ ἔθνους. κἂν τῷ νέῳ κόσμῳ τῶν ἱσπανῶν πλείους ἀριθμοῦνται πιστῶν, ἢ
ἐν τῷ ἀρχαίῳ τούτῳ ὀρθόδοξοί τε καὶ ἑτερόδοξοι, ὥστε πρὸς αὐτοὺς ἐλαχίστην
εἶναι τὴν ζημίαν τὴν ἀπὸ λουθήρου καὶ Καλβίνου. ἐπιβεβαιοῖς τὸν λόγον ἐκ τοῦ
ὀνόματος τοῦ καθολικοῦ, ἤδη τοῖς ὑπὸ τὸν Πάπαν προσωκειωμένου, καὶ
ἄλλοις οὐδαμῶς.

ἈΠΌΚΡΙΣΙΣ

Χωλαίνει ἀμφοτέραις ἰγνύαις ὦ θαυμάσιε τὸ σὸν ἐπιχείρημα καὶ κατ᾽ ἀμ-
φοτέραν τὴν πρότασιν. ἔδει σε ὁλόκληρον συντάξαι τῆς ὁμολογίας τὸν
ὅρον. ὅτι καθολικὴ καὶ ἀποστολική. εἰ γὰρ κατ᾽ ἀκρίβειαν οὐδὲν καθο-
λικὸν πάντη πάντως, ὃ μὴ καὶ ἀποστολικὸν, ἀλλ᾽ ὅμως κεχωρισμένον, δυσχε-
ρείαις ὑπο-

ρείας ὑποπίπτει τῆς διαλέξεως. τί γὰρ ἂν φαίης, εἴγε ὑποθείημεν τὴν ἀρειανικὴν αἵρεσιν, ἢ τὴν δυστυχῶς ἐξηπλωμένην ὁμοίως. ἆρα διὰ τοῦτο ἀληθὴς, ὅμως οὖν, ὅτι καὶ ἀποστολική. πρὸς τὴν ἐλάττω καὶ πάνυ ἀπόφημι. εἰ γὰρ καὶ συγχωροίην τὸ καθόλου ὁπωσδήποτε λαμβανόμενον, ἀλλ' ἀντιτείναιμι λειπόμενον τὸ ἀποστολικὸν. ἥ γὰρ ἀπὸ νότου θεμένη τὴν τῆς ὁμολογίας ἀκεραιότητα, καὶ τῆς πίστεως τὸ εἰλικρινὲς, καὶ εἰς καινοτομίας ἐκτραπεῖσα, ἔθιμά τε τ' ἀρχαῖα μεταμείψασά τε καὶ μεταμείβουσα, τά τε νόμιμα καταργοῦσα, τὰς παραδόσεις παραβαίνουσα, τὸν ἀδελφικὸν τῆς εἰρήνης σύνδεσμον, διὰ φιλαρχίας διασπῶσα, πῶς ἂν εἴη, καὶ λέγοιτο καὶ τις δύναιτο ἀποστολική; πρὸς τὴν δεῖξιν λεγομένην πρῶτον μετὰ τοῦ θεολόγου Γρηγορίου. λόγῳ εἰκοστῷ ἕκτῳ πρὸς ἀρειανοὺς κατ' ἀρχὴν· ποῦ ποτε εἰσὶν οἱ τὴν πενίαν ὑμῖν ὀνειδίζοντες καὶ τὸν πλοῦτον κομπάζοντες. οἱ πλήθει τὴν ἐκκλησίαν ὁρίζοντες, καὶ τὸ βραχὺ διαπτύοντες ποίμνιον.

β′ Εἴπατε οἱ αὐχοῦντες τὴν τετραπέρατον τῇ λατινίδι φωνῇ καὶ πίστει ἐνηχουμένην ἀπὸ αἰγύπτου ἕως τοῦ ὠκεανοῦ, καὶ ἀνὰ πᾶσαν τὴν ἀφρικὴν τὴν μεγίστην, ὅ ἐστι τῆς γῆς τὸ τεταρτημόριον, πόσοι οἱ λατινίζοντες; σπανιώτατοι, καὶ οὗτοι διὰ τοὺς λιμένας δι' ἐμπορίαν. ἀνὰ πᾶσαν τὴν ἔρημον ἀραβίαν, τήν τε πετραίαν, καὶ τὴν εὐδαίμονα, πόσοι; ἴσως οὐδὲ εἷς. ἀνὰ τὴν ἀχαΐαν καὶ θράκην καὶ μακεδονίαν, ἑλλάδα καὶ ἤπειρον, ἀσίαν καὶ παμφυλίαν καὶ κιλικίαν, πόντον καὶ βιθυνίαν, μυσίαν τε καὶ βουλγαρίαν, ἐν ταῖς πλείσταις οὐδεὶς. ὀλίγοι δ' ἐν ταῖς νήσοις καὶ λιμέσι δι' ἐμπορίαν. ἀνὰ τὴν κολχίδα καὶ ἰβηρίαν, ὑρκανίαν τε καὶ περσίδα, μηδίαν τε καὶ παρθίαν ἀνὰ τοὺς ἐλαμίτας, καὶ τοὺς ἔνθεν καὶ ἐκεῖθεν ἰνδοὺς πόσοι; οὐδείς. ἀνὰ τὴν μικρὰν, καὶ μεγάλην σκυθίαν, ἀνὰ τὴν εὐρυχωροτάτην μοναρχίαν τοῦ μοσχοβίτου, τὴν πᾶσαν, ὅση τῶν χριστιανῶν ἡ εὐρώπη, πόσοι; σχεδὸν οὐδείς. ἀνὰ τὴν συρίαν τε καὶ φοινίκην μεσοποταμίαν, καὶ ἀσσυρίαν, καὶ τὰς ἡμετέρας παλαιστίνας, ὅπου ὁρῶμεν ὑμᾶς καὶ ὁρώμεθα, καίτοι μεγάλῃ χρυσίου ὁλκῇ διατρίβετε καὶ κατεθέλγετε τοὺς ἀστηρίκτους, πόσοι; καὶ λίαν εὐαρίθμητοι, πῶς ἄρα τις δύναιτο ὑμῖν ὅλην τὴν ἐν τῷ ὠκεανῷ οἰκουμένην, τῇ ὑμῶν προστεθεῖσθαι μερίδι, καὶ ταῦτα ὑπὸ τὴν ἰσπανῶν ἀρχὴν; καὶ πῶς μεγαλαυχεῖς ἐπὶ ψεύδεσιν. ἔπου καὶ βρεττανοὶ, καὶ φλάνδροι, καὶ ὅλλανδοι, οὐ τῆς ὑμῶν ὄντες μερίδος ἐπὶ πολὺ δυνασθεῖσι. καὶ τῶν μὲν αἰγιαλείων τυχὸν, τῶν δὲ μεσογείων ἀπείρων ὄντων χωρῶν, τίς κυριεύει; πλὴν τῶν ἐνοικούντων βαρβάρων; πῶς ἄρα τοσοῦτον ὀνειροπολίας πλῆθος, ὥστε πάντων τοῦ ἄνω ἡμισφαιρίου, τοὺς ἐκεῖ λατινίζοντας ὑπεραριθμεῖσθαι καὶ ὀρθοδόξων, καὶ ἑτεροδόξων. πλὴν εἰ μὴ ἄρα ἐνταῦθα τοσοῦτον ὀλιγοστοὶ γεγόνατε τῷ τῶν πολυπληθῶν ὑπὸ καλβῖνον καὶ λούθηρον ἀφ' ὑμῶν χωρισμῷ. καὶ ταύτην μὲν τὴν ζημίαν, ἐθνῶν ἐνδοξοτάτων, πάνυ σαφῶς οἴδαμεν ὑποστᾶσαν τὴν λατινίδα. ἃ δ' ἀνεκτήσασθε κατ' ἰνδοὺς, ἔθνη βαρβάρων πλῆθος ἡμεῖς τεκμαιρόμεθα εὐαρίθμητον. εὐχόμεθα δ' ὅμως ἧπερ ἀπίστους εἶναι καὶ γενήσεσθαι λατίνους. οὐ γὰρ οἱ ἀνατολικοὶ πρὸς τοὺς λατίνους ὑμᾶς οὕτω σκαιῶς καὶ μισαδέλφως διάκεινται, ὡς αὐτοὶ παρ' ὑμῶν ὁσημέραι πειρῶνται.

Ἐξετάσωμεν

Ἐξετάσωμεν δὴ καὶ τὸ δεύτερον, τὸ κατὰ χρόνον καθολικόν. ἐπὶ τούτῳ β'
ἀριδήλως ἐλέγχεσθε, τοσοῦτον γὰρ ἐκλονήθη καὶ μετεβλήθη τὰ ἀρχαῖα
καὶ πάτρια παρ' ὑμῖν, ὅσον ἡμῶν αἰτεῖσθε ταῦτα τηρούντων· κἂν τού-
τῳ παραστήσαιμι πλείους ἢ τετρακοσίων ἐν ὑμῖν ἀναφυείσας καινοτομίας, ὅ-
λην σχεδὸν τὴν ἀποστολικὴν ἀνατετρεψάσας παράδοσιν. πολλὰς μὲν ἐν τοῖς δόγ-
μασι, πλείστας ἐν τοῖς ἔθεσι καὶ νομίμοις, ἃς τοῦ παρόντος οὐκ ἔστι καιροῦ τὸ
καταριθμῆσαι. συμβάλλοντες δὲ τοῖς παρ' ὑμῖν πολλὰς ῥᾳδίως εὑρήσετε, ὥστε
οὔτε καθολικὴν ἀπὸ τῶν ἀρχαίων χρόνων τὴν λατινίδα συγχωρήσαιμι, οὔτε
διαμένειν ἐπὶ μήκιστον, ἢ κἂν εἰς τὸ διηνεκές, ὡς ἔστι νῦν, ὑπαινίττομαι.

Πρὸς τὸ τρίτον τῆς διαιρέσεως, ὅ ἐστι τὸ πλῆθος τῶν καθ' ὑμᾶς πιστευόν- γ'
των, ἐφ' ᾧ ὑπὲρ ὑμᾶς ὑπεραίρεσθε, μεγαλορρημονεῖς μᾶλλον ἢ ἀλη-
θεῖς. εἰ γὰρ ἐκ πάσης φυλῆς καὶ γλώττης ἀπαριθμήτους τινὰς ἀργυρωνήτους
διὰ τῶν διεσπαρμένων ἐξ ὑμῶν φρατόρων, ὡς εἰώθατε καὶ ἐκ τῶν ἀτελῶν,
δελεασθέντας, τοῦτο τὴν καθ' ἡμᾶς γινομένην πεῖραν παραχωρήσαιμεν. ὥστε ἐκ
τῆς ὀλιγανδρίας καὶ σπάνεως τῶν προστιθεμένων ὑμῖν ἀπατεῶσιν ἀπεικάζεσθαι
τὸ χρῆμα μᾶλλον, ἢ ποιμέσιν. οὐ γὰρ πληθυνομένην καθ' αὑτὴν ποιμαίνετε
ποίμνην, ἀλλ' ἐκ τῶν πάλαι τινὰς αἱρέσεων χυδαίους ἐπιστρέφετε. καὶ τούτους
χρήμασι καταθέλγοντες μᾶλλον, ἢ λόγοις ἀληθείας πείθοντες. εἰ δὲ τῶν πι-
στῶν τὸ πλῆθος μεταξὺ ἡμῶν καὶ ὑμῶν (καίτοιγε τὸ ἑλληνικὸν μάλιστα ἔθνος,
μετὰ τῶν περὶ αὐτοὺς πολλῶν ἐθνῶν, ζυγῷ δουλείας ὑπόκειντα, καὶ τὴν κρείτ-
τονα αὔξησιν ὑστεροῦνται) θαρρῶ δ' ὅμως λέγειν, ὅτι τῶν ῥώσων τὰ ἔθνη μό-
να τῆς ἡμετέρας ὄντα μερίδος, ἰσοτάλαντα καὶ ἰσάριθμα, εἰ καὶ μείζω καὶ
πλείω πάντων ὑμῶν. τοῦ συντόνως τὸ καύχημα, ὅτι ἡ λατινὶς ἐς τὸ μᾶλλον
ἐπαύξεται ὡς ἀεὶ (ὃ καὶ γνώρισμα φὴς ἀπὸ χρυσοστόμου τῆς καθολικῆς ἐκ-
κλησίας) ἡ δ' ἀνατολικὴ τὸ ἀνάπαλιν ἐπιμειοῦται. τοὐναντίον εἰ καὶ τὸ ἔθνος
ἡμῶν, οἷς οἶδε κύριος κρίμασι (καίτοιγε ταῦτάγε ὁμοίως καὶ τὸ ὑμέτερον
πάλαι πολλάκις πέπονθε) ταπεινοῦται, ἀλλ' ἡ πίστις καὶ ἡ ὁμολογία ὑπερεκ-
τείνεται, καὶ κατὰ τὴν μεγάλην σκυθίαν καὶ εἰς τὰ ὑπερβόρεια, μεγίσταις ἐπαρχιῶν
βαρβαρικῶν ἐπιδόσεσιν, ὡς νεωστὶ τὸ ζεμπίλιον ὑπὸ τὸ εὐσεβέστατον κράτος
τοῦ ἐκεῖσε ἀνάσσοντος. καὶ πρότερον ὑπὸ τὸ αὐτὸ βασίλειον σκυθίας με-
γίσται δύο καζάνιόν τε καὶ ἀστραχάνιον μαρτυροῦσι τὰς ἐπιδόσεις καὶ καθ' ἡμᾶς
τοῦ μεγάλου τούτου αὐγούστου ἐκστρατεῖαι εἰς παντελῆ ἐλευθερίαν ἀποκαταστήσα-
σαι τοὺς παρ' ὑμῖν δεδουλωμένους, ἀναξίως τοῦ χριστιανικοῦ ὀνόματος ἀδελφοὺς
ἡμῶν. οὐδ' ὑπομνήσω ἀνάπαλιν περιπαθῶς, μεμνημένους ὑμᾶς, ὅσῳ περι-
βόητα ἔθνη διὰ τὰς καινοτομίας ὑμῶν τῆς λατινίδος ἐξέστησαν εἰς ἑτέρας
καὶ μείζους, καὶ πλείους μερίδας. τῆς γερμανίας τὸ πλεῖον, οὐ μέτριον τῆς
γαλλίας, καὶ πολωνίας, ὅλον τῆς βρεττανίας τῆς μεγάλης, καὶ ἱβερνίας,
σουεκίας τε καὶ τῶν ὑπερβορέων σχεδὸν πάντων. καὶ οἰκοδομοῦντες ὑμῖν προσ-
μένειν οἶδεν ὁ καρδιογνώστης, ἢ ζήλῳ εὐσεβείας, ἢ ἀνάγκῃ καὶ φόβῳ καὶ νόμῳ
πολιτικῷ ἐν ἱσπανίαις μόνον ἀπελήλανται τὰ μὴ εὐσεβοῦντα ἔθνη, καὶ οὐδαμοῦ
σύμμικτοι μᾶλλον χριστιανοῖς οἱ μισόχριστοι, ἤπερ ἐκεῖ. πῶς ἄρα καθολικὴ

καὶ τόπῳ καὶ πλήθεσιν ἡ λατινὶς, ἡ τοσοῦτον ἐσπαραγμένη, καὶ τῶν οἰκείων ἐστερημένη, καὶ τὸ κεφάλαιον, τῆς ὑπὲρ ἡμῶν τῶν ἀνατολικῶν ἀποδείξεως; ἐρώτησον ἐκ τῶν ἑτεροδοξάντων ἐθνῶν, πλείστων τε ὄντων καὶ πολλαχοῦ, μᾶλλον δὲ κατὰ τῶν ἀπίστων αὐτῶν, τίνι μερίδι προστεθεῖεν, εἰ μέλλοιεν ἐκκλησίᾳ τινὶ χριστιανῶν προσδραμεῖν; πάντες ὁμοφώνως ὡς ἐκ συνθήματος τῇ τῆς ἀνατολικῆς ἐκκλησίας ἐπιβοήσουσι. καὶ οἱ πλεῖστοι δὲ τῶν ἐναιρέσει τοῦτο ποθοῦσι καὶ διαπραγματεύονται, καὶ φιλοτίμως ἔχουσι ταῖς παρ᾽ ἡμῖν ἱεραῖς τελεταῖς προσφοιτῶντες. ἀλλ᾽ ἔργα τὰ ἡμῖν ἀπορία ἐπὶ πολλῷ πειρασμῷ. ὑμεῖς δὲ ἀναριθμήτων περιβάλετε ἔργα τε. τίνος οὖν οὐκ ἐπιχειρεῖτε; οὐ συνάγετε. ὅτι ἀλλοτρίῳ (εἰκότως ἂν φαίην ἐγὼ) οὐκ ἀκολουθοῦσιν οὐδὲ τὴν τῶν ἀλλοτρίων φωνὴν ἐπιγινώσκουσιν. ἔδοξαν ἀρμένιοί ποτε κατὰ τὴν ἐν φλωρεντίᾳ σύνοδον τῷ τῶν ἑλλήνων ὑποδείγματι συνεληλυθέναι λατίνοις, ὁμοίως καὶ αἰθίοπες, καὶ ἀπεδέξαντο τὸν ὅρον. εἴπατε νῦν, ἐρωτήσατε, εἰ φυλάττουσιν ἤθοντο τὴν ἀπάτην, ἐπανῆλθον εἰς τὰ πάτρια, καὶ ἀρχαῖα. κενὸν ἄρα τὸ μεγαλαυχεῖν ἐπὶ τῷ καθολικοῦ ὀνόματι. ὑμεῖς γὰρ οὕτω σφᾶς αὐτοὺς ὀνομάζεσθε, ἀλλ᾽ οὐχ ἡμεῖς ὑμᾶς. εἰ μὴ ἄρα οὕτως ἐπιπαλαιωθὲν καὶ προσκυρωθὲν, ὥστε καὶ ἡμᾶς παίζειν, καθὼς καὶ τὸ καθαροὶ λέγεσθαι ἐσφετερίσαντο ἑαυτοῖς οἱ ναυατιανοὶ, καὶ γνωστικοὶ, οἱ περὶ βασιλείδην τὴν αἵρεσιν, καὶ καρποκράτην, ὡς καὶ οἱ χῖται, καὶ ἐγκρατῖται καὶ ἀποστολικοὶ, ὀνόματα μὲν ἀξιόλογα. ἀλλὰ μάταια καὶ γελοῖα ἡ προσηγορία, μέχρι μόνου ἑστηκυῖα ὀνόματος. χρῆμα τίμιον ἦν καὶ ἀναγκαῖον εἰ καὶ πρὸς τοὺς λοιποὺς Πατριάρχας εἴητε καθολικοὶ, καθὼς αὐτοὶ πρὸς ἀλλήλους, καὶ πρὸς πάντας τοὺς ὑπ᾽ αὐτούς. ἀλλ᾽ οἶμαι τούτου μηδαμῶς εἰκότως τυγχάνοντες, καὶ Πατριάρχας παρ᾽ ὑμῖν τούτους μετονομάζετε, οὐ γὰρ ἂν εἴποιμι (νόθα ὄντα καὶ παράνομα) προχειρίζεσθε, καὶ τὰς ἀποστολικὰς ἅμα καὶ συνοδικὰς παραδόσεις ἐκμυκτηρίζετε, ὅπως εἰς μοναρχίαν, ἢ καὶ μικροῦ δεῖν θεαρχίαν τὸν ῥώμης θρόνον ὑψώσητε.

ΤΜΗ͂ΜΑ Ζ΄

Δείκνυται ἡ θέσις ἀποφαντικῶς ἐκ τῆς ἑνώσεως καὶ χωρισμοῦ τῶν ἀνατολικῶν τοσάκις γινομένων.

Ἀληθῆ μὲν εἶναι τὴν ἀνατολικὴν ἐκκλησίαν, ἐνταῦθα διϊσχυρίζῃ, ἐκ τοῦ πολλάκις τὴν τῶν λατίνων πίστιν ἐγκολπώσασθαι καὶ τοσαυτάκις πάλιν ἀποσκιρτῆσαι. ὡς τὰ τῆς ἐν λατερανῷ συνόδου μαρτυροῦσι, τῆς ἐν λουγδούνῳ, τῆς ἐν φλωρεντίᾳ καὶ ἄλλων εἰ γὰρ ἀληθὴς ἦν, ἀνέλλιπῆ τὴν πίστιν ἂν ἔσχεν ἀεὶ καὶ ἀμετάβλητον. νῦν δὲ τοσαυτάκις μεταβαλοῦσα, εἴτε ἀληθῆ τὰ τῶν λατίνων δόγματα, εἴτε μὴ, ἐλέγχεται ἢ κατὰ τὰς ἑνώσεις, ἢ κατὰ τὰς ἀποστάσεις, τῆς τοῦ Χριστοῦ ἐπαγγελίας ἐκπεπτωκυῖα.

ἈΠΌΚΡΙΣΙΣ

ἈΠΌΚΡΙΣΙΣ

Οὐδὲν συμπεραίνεις ἐξ ὑπολήψεως ψευδοῦς. οὐδέποτε γὰρ ἡ ἀνατολικὴ
ἐκκλησία μετέβαλλεν· οὔτε κατὰ πίστιν, οὔτε τὰς παραδόσεις, οὔτε τὰ
οἰκεῖα ἔθιμά τε καὶ νόμιμα. περὶ δ' ἃ λέγεις ἡμῶν πολλάκις, καὶ
5 πάλιν ἀφεστηκέναι τῆς τῶν λατίνων πίστεως, ὑπόληψίς ἐστιν αὕτη ψευδής. καὶ
πρῶτον μὲν ἐν τῷ κατὰ λατεράνου ῥωμαϊκῷ πολυπληθεῖ συλλόγῳ, ἀνα-
τολικοὶ οὐ παρῆσαν, οὐδὲ παρεῖναι ἦν δυνατόν. τότε μάλιστα μεγίστου μίσους
ἀκμάζοντος ἀναμεταξὺ ἡμῶν καὶ ὑμῶν, ἀλώσεως περὶ ἔτη ἕνδεκα, ὑπὸ
τῆς συμπνοίας τῶν δυτικῶν, τῆς Κωνσταντίνου. καὶ τυραννούντων ἐν ταῖς τρισὶ Πα-
10 τριαρχικαῖς καθέδραις τῶν λατίνων. ταπεινωθέντων ὅτι μάλιστα τηνικαῦτα
τῶν ἀνατολικῶν πραγμάτων· ἀλλ' ὑμῖν τοσαύτη ἀπὸ φιλαυτίας τῆς ἀληθείας
τυγχάνει ἀκρίβεια ὥστε καὶ ἐκ προσηγορίας ψευδοῦς τῶν ἐκεῖ ἐμφερομένων
ἀνατολικῶν ὀνομάτων ἀπερισκέπτως ἀπατᾶσθαι. ἐν γὰρ τῷ συλλόγῳ ἐκείνῳ.
ἐκ μὲν τῶν ἀνατολικῶν κλιμάτων λατῖνοι παρῆσαν, ἐκ δὲ τῶν ἡμετέρων προ-
15 σώπων οὐδέποτε. οἱ ἐπιβάται μᾶλλον τῶν θρόνων λατῖνοι, τὰς τῶν ἡμετέρων
ἐκκλησιῶν ὀνομασίας παρὰ κανόνας ἐπενδυσάμενοι. οὐ γὰρ προσήδρευον οἱ Θεο-
δώρου λασκάρεως, ἐνάσια βασιλεύοντος τῶν ῥωμαίων πρέσβεις. ἀλλὰ τοῦ
κατακρατήσαντος βαλδουίνου. οὐδὲ Θεόδωρος ὁ Πατριάρχης ἡμῶν, ἀλλὰ
Θωμᾶς μαῦρος ὁ ἐνετός. οὐδὲ ὁ ἀντιοχείας, καὶ ἱεροσολύμων ἐκ τῶν ἡμετέ-
20 ρων (οὐδὲ γὰρ συνεχωρεῖτε τοῖς ὄντως ἀνατολικοῖς Πατριάρχαις ἔχειν τότε
ἢ ἐπισκόπους, ὡς ἔθος ὑμῖν ὁσαχῆ παρεξουσιάζετε ἀλλὰ καὶ οὗτοι ἐκ τῶν λα-
τίνων. πῶς οὖν συγκροτουμένης τῆς συνόδου πάσης ἐκείνης ὑπὸ λατίνων, καὶ
τὰ τῶν ῥωμαίων ἡμῶν καθυβριζούσης ὥστε καὶ ὑπερηφανοῦς. ἀποκαλεῖν τε καὶ
δυσπειθεῖς, συνελθεῖν καὶ ὁμοφρονῆσαι μεθ' ὑμῶν ἡμᾶς κατεψεύσασθε, καὶ
25 τὸ χεῖρον, ὅτι συνομολογήσαντες ἀπέστημεν· ὁποία γοῦν ἡ ἕνωσις, τοιοῦτος καὶ
ὁ χωρισμός. τοιαύτας συνόδους καὶ συχνάκις ἐπιτελεῖτε, καὶ κατὰ τὸ δοκοῦν ἐπι-
τελεῖν ἀεὶ δύνασθε. ψευδωνύμους γὰρ ἔχετε χειροτονοῦντες ὑμῖν αὐτοῖς ἀδε-
ῶς τοὺς τῆς ἀνατολῆς Πατριάρχας. ἀλλὰ δὴ καὶ ἱερέας προέδρους, θεσσαλο-
νίκης, κορίνθου, ἀθηνῶν, ἰκονίου, σελευκείας, Ναζαρὲτ, κύπρου, ῥόδου,
30 καὶ ὅσους ἂν βούλεσθε. καὶ τὰς προσηγορίας ὑποκλέπτοντες τῶν ἀνατολικῶν,
ἀποστασίαν μετὰ ταῦτα προστρίβετε ἀποστρεφομένοις, ἅπερ γελοῖα τίς εὐ-
φρονῶν καὶ παιδαριώδη ἀθύρματα ὄντα, πῶς οὐκ ἂν καταγελάσειεν, ἢ
μᾶλλον θρηνήσειεν, ὡς ἐπὶ σκηνῆς ἐπὶ πολλῶν τὰ ἱερὰ κωμῳδούμενα.

Πρὸς τὰ ἐκ τῆς ἐν λουγδούνῳ καὶ Φλωρεντίᾳ συνόδων ἀπηντήσαμεν προλα- ϛ'
35 βόντες, ἐν οἷς τὰ ἐν τῇ τετάρτῃ θέσει ἱστορούμενα ἀνεκρίνομεν. καὶ παρα-
καλοῦντες ἔτι μᾶλλον ἀναθεωρήσομεν ἐν τμήματι ὀγδόῳ, περὶ τῆς ἐν φλωρεν-
τίᾳ. συμπεραίνειν δὲ τανῦν ἱκανὸν τοῦτο, ὅτι εἰ καὶ Μιχαὴλ τῶν παλαιολό-
γων ὁ πρῶτος, καὶ Ἰωάννης ὅπερ ἔνα ἔσχατος ἔν τε λουγδούνῳ καὶ Φλωρεν-
τίᾳ κατὰ καίτινων ἀρχιερέων τοῖς λατίνοις συνῆλθον καὶ ὁμοφρόνησαν. οὐ διὰ
40 τοῦτο πᾶσαν τὴν ἀνατολικὴν ἐκκλησίαν ἔπεισαν συμφρονῆσαι. μόνοι γὰρ οἱ ἀπο-

σταλέντες ὁπωσδήποτε ὑπέγραψαν, ἀλλ' αἱ ἐκκλησίαι πᾶσαι οὐκ ἀπεδέξαν-
το. οὐ γὰρ ἐξηνέχθη συνοδικῶς ποτὲ δόγμα τοιοῦτον ἐν ταῖς ἀνατολικαῖς, ἡμεῖς
τὰ τῶν συνόδων ἁπασῶν ἀπὸ πρώτης ἕως ἑβδόμης τὰ δόγματα παῤῥησίᾳ
κατ' ἔτος ἐκφωνοῦμεν, καὶ τὰς συνόδους μεγαλοπρεπῶς ἑορτάζομεν. τὰς
δὲ παρ' ὑμῖν καθ' ἡμῶν καὶ τῆς ἀληθείας, ἀρκούντως ἀπεσκορακίσαμεν. καὶ 5
τὴν μὲν τῆς ἐν λουγδούνῳ, τόμος ἐξηνέχθη συνοδικὸς καὶ κατὰ Βέκκου τοῦ τό-
τε Πατριαρχεύσαντος, τῇ τοῦ Βασιλέως γνώμῃ καὶ βίᾳ συναπαχθέντος.
καὶ τὸν μὲν τόμον τοῦτον ἐν ταῖς κατ' ἰδίαν συνελεύσεσιν ἐν Φλωρεντίᾳ ὁ Ἡρα-
κλείας προὐκόμιζεν ὡς ἱστορεῖ Συρόπουλος. τὴν δὲ τῆς Φλωρεντινῆς συλλόγου μετὰ
τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν τεσσάρων θρόνων συνεκροτήθη σύ- 10
νοδος καὶ ὡς παντὴ παράνομος ἀπεβλήθη. τοιαῦταί σου αἱ ἐν λατεράνῳ καὶ
λουγδούνῳ καὶ Φλωρεντίᾳ σύνοδοι. καὶ τοιαύτη περὶ αὐτὰς τῶν ἀνατολικῶν ἡ
στοργὴ καὶ ἀποδοχή. πλὴν ἀλλὰ δεῖξον οὖν χιλιάδα ἔτος ἕν, ἢ μῆνα, ἢ καὶ
ἡμέραν συμφωνήσασαν ἀβιάστως, ἢ καὶ βεβιασμένως τοῖς λατίνοις ὑμῖν τὴν
σύμπασαν ἀνατολικὴν ἐκκλησίαν, καὶ τότε δικαίως ὀνείδισον ἀποστᾶσαν ὑμῶν 15
καὶ μεταβαλοῦσαν. εἰ δέ μοι παραστήσεις βασιλέα ἕνα, καὶ πάλιν ἄλλον. ὁ-
μοίως καὶ Πατριάρχην ἕνα, καὶ τινας ἀρχιερεῖς, μὴ παρὰ τοῦτο πᾶσαν ἀπε-
δείξας τῶν ὀρθοδόξων μεταστραπεῖσαν τὴν ἐκκλησίαν. ταυτὸ τοιγαροῦν εἰπεῖν
ἔχεις, ὅτι καὶ ἀρειανοῖς συναπήχθη, καὶ εὐνομιανοῖς, καὶ τοῖς περὶ εὐτυχῆ.
καὶ μονοθελήταις, καὶ εἰκονομάχοις (ὧν τί γε μᾶλλον ἡμῖν ἐχθρὸν αὖ ἀπο- 20
τρόπαιον) ἐπειδήπερ τοῖς τοιούτοις ἑτεροδόξοις ἄειποτε προσετέθησαν καὶ βα-
σιλεῖς, καὶ ἀρχιερεῖς, καὶ Πατριάρχαι. ἀλλ' ἔοικεν ἀπατηθῆναι ὑμᾶς τῷ οἰ-
κείῳ μέτρῳ ἐπιμετροῦντες τοὺς ἀνατολικούς, ὡς γὰρ ὑμεῖς οἱ λατῖνοι τὰ ὑπὸ
τοῦ Πάπα μετὰ τῆς συνόδου αὐτῷ συμφωνούμενα ὡς τεθεσπισμένα ὑπὸ τῆς ἐκκλησί-
ας ἁπάσης ὁμολογεῖτε, οὕτω νομίζετε καὶ ἐν ὑμῖν τὰ ὑπὸ Πατριάρχου τινὸς 25
μετὰ τῶν τυχόντων ἀρχιερέων ὁπωσδήποτε κυρωθέντα, τῇ ἀνατολικῇ ἐκκλησίᾳ
πάσῃ προσοικειοῦσθε· πολλοῦ γε καὶ δεῖ. εἰ γὰρ μὴ κανονικῶς τὰ πάντα προβαί-
νουσιν (ἃ τανῦν ἐξακριβῶσαι παρίημι, οὐ τῆς προκειμένης ὑποθέσεως) μάταια
πάντως καὶ ἄκυρα. τοιαῦτα δ' εἰ προβάλλεις συμφωνηθέντα ἐν λουγδούνῳ καὶ
Φλωρεντίᾳ. ὥστε τῆς ἀνατολικῆς ἐκκλησίας ἡ πίστις, καὶ ὁμολογία διηνε- 30
κῶς ἡ αὐτὴ πάντῃ διαμεμένηκεν ἀνελλιπής, ἀμετάβλητος. καὶ ἑπομένως
ἀληθής ἐστι καὶ καθολική, καὶ ἀποστολικὴ ἐκκλησία, οὐδένπως τῆς τινῶν πα-
ραβλαβεῖσα μεταστροπῆς, ἢ παραβλαβησομένη ποτὲ Θεοῦ χάριτι, μεμνη-
μένη τοὺς φρικτοὺς ὁρκισμοὺς τοῦ διὰ πνεύματος ἁγίου ἐν Τιμοθέῳ πρώτῃ ἐπι-
στολῇ κεφαλαίῳ ἕκτῳ τὴν σύμπασαν ἐκκλησίαν διδάξαντος. παραγγέλλω σοι φη- 35
σίν· ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα, καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος
ἐπὶ Ποντίου Πιλάτου, τὴν καλὴν ὁμολογίαν, τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον,
ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν καιροῖς ἰδίοις
δείξει, ὁ Μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ
κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν. συνὲς ὅτι ἄσπιλον, 40
καὶ ἀνεπίληπτον ἀπαιτεῖ τὴν ἐντολήν, πόσῳ μᾶλλον τὴν ὁμολογίαν, καὶ τὴν

ἄσπιλον οὐκ ἐν

ποιεῖλον οὐκ ἐνδέχεται, πόσω ἧττον προσθήκην. καὶ εἰ ἀνεπίληπτον, πόσω ἧττον τὴν μετὰ τοσούτων καὶ τοιούτων σκανδάλων; εἰ τοίνυν τὰ τῶν ἀνατολικῶν ἄκαινοτόμητα πάντη ἄπλαστα καὶ ἀνεπίληπτα, ὑμεῖς ὄψεσθε οἱ καινοτομοῦντες, ὅταν ἐν τῇ ἐπιφανείᾳ τοῦ μεγάλου καὶ ἀδεκάστου κριτοῦ φανερωθήσεται.

ΤΜΗ͂ΜΑ Η΄

Δείκνυται ἡ θέσις ἐκ τῆς πασῶν ἀδικωτάτης μετὰ τὴν ἐν φλωρεντίᾳ ἀποστάσεως.

Ἀδικώτατον ἀγορεύεις καὶ ἀναπολόγητον τὸν χωρισμὸν ἐκεῖνον ἐκ τῆς, νόμιμον, οἰκουμενικὴν, συμπερανθείσης, καὶ κυρωθείσης παρ' ἑκάστης τὴν ἐν φλωρεντίᾳ σύνοδον. τοιαύταις δὲ συνόδοις μὴ ὑπείκειν λέγεις αἱρετικόν ἐστιν. ὡς περὶ πίστιν ἀνελλειπέσι καὶ ἀσφαλέσι νόμιμον συνισταμένης. ὅτι ὑπὸ τοῦ Πάπα, ἀλογώτατα συνεκροτήθη, ἑκουσίως συνελθόντων καὶ αὐτοῦ, καὶ τῶν Πατριαρχῶν Μητροπολιτῶν τε καὶ ἐπισκόπων. Βασιλέως θεολόγων, καὶ ἄλλων κατ' ἔθος συγκαλουμένων. ἐπεὶ δὲ νομίμως συνεπεράνθη καὶ ἐκυρώθη ἡ ἑκατέρας ἐκκλησίας συμφωνία περίεστι καὶ αἱ ὑπογραφαὶ, ἐκτὸς μόνου τοῦ ἐφέσου Μάρκου, πολὺ συνεζητήθη ἐνταῦθα ὑπὲρ τὰς προγεγενημένας συνόδους πάσας. ἐξῆν παντὶ τῷ θέλοντι ἐλευθέρως προβάλλειν, παντὶ ἀποροῦντι συζητεῖν. οὐδὲν ἔμεινεν ἀνεξέταστον μέχρι καὶ μυελῶν, καὶ σπλάγχνων ἀνερευνηθέντων πάντων προσεκαλοῦντο προσερεθίζοντο, ἀναγκάζοντο εἰς διάλεξιν, καὶ μὴ θέλοντες μέχρις ἀηδίας. ἐρευνήσατε τὰς πράξεις, κατανοήσατε τοὺς λόγους. εἴ τι βίαιόν ἐστι καὶ παράλογον ἀποδοκιμάσατε. σωτηρίας ἐστὶ τοῦτο πραγματεία, καὶ λόγον ἀποδώσετε τῷ ἀδεκάστῳ κριτῇ, τίνος ἕνεκεν τῆς κοινῆς συνόδου ἀπέστητε. καὶ τὸν ἄρραφον τοῦ χριστοῦ χιτῶνα αἰσχρᾷ διαιρέσει διερρήξατε. εἰ δὲ φαίητε διεφθάρθαι τοὺς ἐξ ὑμῶν ὑπὸ λατίνων χρυσίῳ, ἐσχάτης ἐστὶ τοῦτο πονηρίας, ἀπίθανον γὰρ καὶ ἀνάξιον λατίνοις τε καὶ γραικοῖς, τούτοις ἀπεμπολῆσαι, κἀκείνοις τὴν θείαν ἐξωνήσασθαι πίστιν. πῶς γὰρ ἐν οἰκουμενικῇ συνόδῳ παραχωρήσειεν ἂν καὶ μὴ μᾶλλον ἀποκωλύσειε διαφθαρέντας τῆς συμφωνίας καὶ ὑπογραφῆς τὸ πνεῦμα τὸ ἅγιον. ὥστε μὴ ἐκ νικᾶσθαι ὑπὸ ἀνθρώπων, καὶ τὴν ἐκκλησίαν τῆς ἐπαγγελίας ἐκπεσοῦσαν ἤδη σφάλεσθαι; καὶ τελευταῖον τὰ τοῦ μεγάλου ἐπὶ τῇ κατὰ νίκαιαν συνόδῳ ἐφαρμόζων τῇ ἐν φλωρεντίᾳ, ὅπου τοὺς ἀποστρεφομένους αὐτὴν αἱρέσεως γράφεται. ἐπισφραγίζεις τὴν ἀπόφασιν ψήφῳ τοιαύτῃ τῇ ἐν νικαίᾳ. εἴ τις παλινῳδήσῃ ἀνάθεμα. εἴ τις ἐπὶ τούτοις ἀναζητεῖ ἀνάθεμα. καὶ κατὰ τούτων ἐπάγεις. ἀνάθεμα γοῦν καὶ τοῖς τῇ ἐν φλωρεντίᾳ διδάξασιν ἀθετεῖν.

ἈΠΌΚΡΙΣΙΣ

Καὶ πῶς οὐχὶ λίαν σὺ περιττὸς τὸ σοφιστικὸν καὶ περίεργον, πῶς δὲ καὶ λίαν δεινὸς τὴν ἀλήθειαν συγκαλύψαι ταῖς δοκούσαις σοι πιθανολογίαις. ταύταις γὰρ θαρρῶν, τὸ καϊαφαϊκὸν ἐκεῖνο συνέδριον, σύνοδον νόμιμον βούλει ἀποδεικνύειν. ἀλλ' ἡμεῖς περὶ τούτου ἐφθημένοι εἰπόντες καὶ πρότερον εἰς τὴν τετάρτην σου θέσιν ἀποκρινόμενοι, καὶ ὅσα τότε ἐνεδίδου ὁ καιρὸς καὶ τὸ πρᾶγμα. ὅτι

ὑμῶν ἐδ'

οὐ μόνον οὐκ ἔνδικον, ἀλλὰ καὶ μεγίστη αἰσχύνη τὸ συνέδριον ἐκεῖνο σύνοδον λέ-
γειν, συναθροίζεσθαι μὲν γὰρ τῷ ὄντι ἤρξατο κατὰ συνόδου οἰκουμενικῆς. πῶς γὰρ οὔ,
ὅπου βασιλεὺς αὐτοκράτωρ ῥωμαίων, μετὰ τῆς αὐτοῦ συγκλήτου, καὶ τῆς ἀνατο-
λικῆς ἁπάσης ἐκκλησίας μετὰ τῶν συγκροτούντων αὐτὴν τεττάρων Πατριαρ-
χικῶν θρόνων, καὶ τοῦ Πάπα παρεῖναι τῇ συνόδῳ ὑπισχνουμένου, μελλετω-
μένη συναθροισθῆναι ἐν τῇ βασιλείᾳ ἀλλὰ μέχρι τούτου μόνον σύνοδος ἤ-
κουεν οἰκουμενική. τὸ δ' ἐντεῦθεν ἄχρι τέλους, δόλοι προφανεῖς, ἀπάται κα-
τάδηλοι, βίαι καὶ τυραννίδες καθωμολογημέναι ἐκ τῶν πραγμάτων αὐτῶν.
καὶ πῶς λέληθέ σε ταῦτα ὦ σοφώτατε; ἀλλ' ὡς πολλάκις σοι εἴπομεν, ἢ ἐθελο-
κακεῖς, ἢ παντῃ ἀπείρως ἔχεις τῶν πραγμάτων. εἰ μὲν γὰρ τὴν τοιαύτην ἕνω-
σιν αἱ τῆς ἀνατολικῆς ἐκκλησίας κορυφαὶ διεπραγματεύσαντο, καὶ ἀποδεξά-
μεναι ἐκύρωσαν τὰ λατίνων δόγματα, εἰκότως ἂν εἶχες λέγειν ἀδικωτάτην
τὴν ἀπὸ ταύτης (ὡς φῂς) τῆς συνόδου ἀπόστασιν. εἰ δὲ οἱ ἀπὸ τῶν Πατριαρ-
χῶν ἀποσταλέντες τοποτηρηταί, τινὲς μὲν οὐδόλως συνῄνεσαν, τινὲς δὲ εἰ καὶ
συνηρπάγησαν (οὐκ οἶδ' ὅπως) καθυπαχθέντες, ἀλλὰ καὶ οὗτοι παρὰ γνώ-
μην τῶν ἀποστειλάντων αὐτούς, ὡς ὕστερον αὐτὰ τὰ πράγματα ἔδειξεν, οὐ δὲ
γὰρ ἄκροις ὠσὶν ἀκοῦσαι ἠνείχοντο τὴν γενομένην τότε κακῶς ἕνωσιν πάντες
οἱ ἀνατολικοί. οὐχ ὁ ἀλεξανδρείας θρόνος, οὐχ ὁ ἀντιοχείας, καὶ ὁ ἱεροσο-
λύμων. ἐῶ λέγειν τὴν ἐν Κωνσταντινουπόλει ἐκκλησίαν. ἥτις καὶ μετὰ τὴν ἀ-
πὸ Φλωρεντίας ἐπάνοδον λατινόφρονα Πατριάρχην ἐσχηκυῖα τὸν κυζίκου Μη-
τροφάνην, καὶ τὸν βασιλέα ὑπερασπίζοντα. ἀλλ' ἔμπης γενναίως ἀπεβά-
λλοντο τοὺς ταύτην δραματουργήσαντας καὶ ὑπογράψαντας, καὶ φανερῶς τού-
των ἐχωρίζοντο. τινὲς μὲν γὰρ αὐτῶν λάθρᾳ τῆς πόλεως ὑπεξῆλθον, ὁ ἐ-
φέσου καὶ ὁ ἡρακλείας. τινὲς δὲ οὐ συνελειτούργουν, ὡς ὁ μέγας χαρτοφύλαξ
καὶ ὁ συγγράψας τὴν ἱστορίαν μέγας ἐκκλησιάρχης συρόπουλος, καίπερ με-
τακαλούμενοι εἰς τὰ βασίλεια καὶ θωπευόμενοι ἔσθ' ὅτε καὶ ἀπειλούμενοι, οὐδ'
ὅλως μέντοι ἐνέδωκαν, ἀλλὰ καὶ παραιτησάμενοι τὰ ἑαυτῶν ὀφφίκια ἰδιάζειν
μᾶλλον προείλοντο. καὶ ὁ μὲν ἔλεγεν ἐκκοπείτω ἡ χεὶρ ἡ ὑπογράψασα, ὁ δὲ
μὴ τὴν προαίρεσιν κρινάτω ὁ Θεός. οὐ γὰρ αὕτη ὑπέγραφεν, ἀλλ' ἡ χεὶρ
βιαζομένη. οὗτοι δὲ πάντες ἦσαν παρόντες τῇ συνόδῳ ἐκείνῃ. ἐς τοσοῦτον δὲ
τὸ πρᾶγμα περιέστη τούτοις, ὥστε μόνον τὸ μνημόσυνον ἀπῃτοῦντο ἐκφωνῆ-
σαι τοῦ Πάπα, καὶ οὐδὲν ἕτερον. ἀλλ' οὐδὲ τοῦτο ἠνείχοντο λέγοντες, πολύς ἐστιν
ὁ τοῦ μνημοσύνου λόγος, ἐκεῖνοι γὰρ μνημονεύονται ἐπ' ἐκκλησίας ὅσοι εἰσὶν
ὁμόδοξοι καὶ κοινωνοὶ πρὸς τὴν αὐτὴν ἐκκλησίαν. οἱ δὲ ἀκοινώνητοι οὐδὲ μνη-
μονεύονται. ὁ Πάπας οὖν ἐστὶν ἀκοινώνητος, πῶς μνημονευθήσεται ὁ ἀκοινώ-
νητος μετὰ τῶν κεκοινωνημένων; καὶ ταῦτα μὲν ἡ παρ' ἡμῖν ἱστορία τοῦ συροπούλου.
οὕτως ἀπέβη τέλους ἡ φημιζομένη σοι καὶ ἐπαινουμένη Φλωρεντινὴ συνάθροισις,
καὶ σύνες ὅπως αὐτὴν νόμιμον ἀποκαλεῖς. ἥτις οὐδ' ἐπὶ ποσὸν διήρκεσε.
φιλεῖ γὰρ τὸ βίᾳ κρατηθὲν εἰς τὴν προτέραν ἐλευθερίαν ἀποκαθίστασθαι. οὕτω
καὶ αὕτη, ἡ παρ' ὑμῖν λεγομένη σύνοδος, ὥσπερ βιαίως, καὶ τυραννικῶς
συνέστη τε καὶ διεπεραίνετο, οὕτω καὶ ταχέως διελέλυτο, ὥσπερ τὰ ἀτελῆ καὶ
ἀωρότοκα

ἀρτίτοκα βρέφη, ὁμοῦ μὲν πιπτόμενα, καὶ ἀποθνήσκοντα.

Ὅτι δὲ βίαιος ἦν αὕτη καὶ τυραννική, ἔχομεν αὖ τοῦτο καὶ ἐκ πολλῶν ἄλλων τῶν τοῦ συροπούλου λόγων παραστῆσαι. παρίημι δὲ, ἀρκούμενος τοῖς παρ' ὑμῖν ἐν ῥώμῃ τυπωθεῖσι πρακτικοῖς, ἀνάγνωθι ἐν τούτοις τῆς : ιέ : πράξιν, περὶ τὸ τέλος λέγουσαν ὅτι ἠγανάκτουν οἱ ἀνατολικοὶ λέγοντες, τεποιού-μεθα περιμένοντες καὶ ἀκούοντες ἐπὶ κενοῖς ῥήμασιν, οὔτε αὐτοὶ μέλλουσι πεῖσαι ἡμᾶς, οὔτε ἡμᾶς αὐτούς. διὰ τοῦτο πρέπει ἡμῖν ἐπιστραφῆναι εἰς τὴν πόλιν ἡμῶν. ὅρα τὴν ὀνειροπολουμένην σοι συμφωνίαν ἐκ τούτου, καὶ τὴν διϊσταμένην συν-ένωσιν. παρακαλῶν δὲ ἐν ταύτῃ τῇ συνελεύσει εὑρήσεις τὸν βασιλέα δημηγο-ροῦντα ἐν πολλοῖς καὶ λέγοντα, ὅτι δεῖ ἀπελθεῖν ἡμᾶς εἰς φλωρεντίαν (τοῦτο δὲ ἐμηχανῶντο ἵν' ἐν δοτέρῳ αὐτοὺς περικλείσαντες, καὶ ἐν στενῷ ἀποκαταστήσαν-τες, ῥᾳδίως ἔχωσι τῇ βίᾳ τὸ δοκοῦν αὐτοῖς συμπεραίνειν) εἶτ' ἐπὶ λέξεως πρὸς τοὺς ἡμετέρους οὕτω φησί: δότε οὖν γνώμην ἐκ τῶν δύο τὸ ἓν ἵνα λάβωμεν τὴν δόσιν ταύτην τοῦ Πάπα, καὶ ἀπέλθωμεν εἰς Φλωρεντίαν, ἢ ἵνα παραιτησώμεθα αὐτὸν, καὶ ἐπιστρέψωμεν εἰς τὴν πατρίδα ἡμῶν. πλὴν σκέψασθε πῶς μέλλομεν ἀπελθεῖν, καὶ ἐὰν ἔχωμεν ἔξοδον καὶ ἐὰν ἔχῃ βοήθειαν τινὰ ἡ Κωνσταντινούπολις. ὁρᾷς τὰ πειστικὰ τῆς βίας; πῶς ταῦτα ἔχοντες καὶ ἀναγινώσκοντες ἐν τοῖς παρ' ὑμῖν τυπωθεῖσι βίβλοις, οὐκ αἰσχύνεσθε, νόμιμον τὸ συνάθροισμα λέγειν ἐκεῖνο, καὶ τὰ μέγιστα ἀδικεῖν τοὺς τούτου ἀποστατήσαντας; ὅπου γε οἱ τοῦτο δεχόμενοι ὡς σύνοδον, ἀδικώτατοι πάντων ἀνθρώπων, μᾶλλον ἂν λέγοιντο; οἱ δὲ τούτου ἀφιστάμενοι δίκαιοι κριθεῖεν ἂν καὶ παρὰ θεῷ καὶ παρ' ἀνθρώποις; καὶ ταῦτα μὲν ὀλίγα ἀπὸ πολλῶν ὧν εὕρηται ἐν τοῖς τυπωθεῖσιν ἐν ῥώμῃ πρακτικοῖς ταύτης τῆς συναθροίσεως. πῶς οὖν καὶ νόμιμον λέγειν τὴν κρατυνάσαν μᾶλλον τὸ σχίσμα, καὶ αὐξήσασαν ἐς τοσοῦτον, ὅτε καὶ ἐκείνους τότε ὁ Πάπας ἀπ' αὐτοῦ σχισθῆναι πεποίηκεν. ἔφημεν τοῦτο καὶ πρὸ τοῦ, ὅτι ἐν τῇ βασιλείᾳ τὸ πρῶτον ἐκηρύχθη ἡ σύνοδος, καὶ ὅτι μηχαναῖς παντοίαις ἐκεῖθεν πρὸς ἑαυτὸν ταύτην ὁ Πάπας ἀπέσπασεν, ἐφ' ᾧ καὶ δυσχεράναντες λίαν οἱ ἐν ταύτῃ συνοδικοὶ, παράλογον καὶ παρὰ κανόνας γενομένης ταύτην ἔλεγον, καὶ τὸν μὲν Πάπαν ἤρησαν, ὡς παρασπονδήσαντα (ὃν πρὸ ἐγγράφως ὡς φασὶν ὡμολογήκως ὁ εὐγένιος ὑποστάσεως ταύτῃ τῇ συνόδῳ) τὴν δὲ σύνοδον ἐκείνην σχισματικὴν ἔλεγον, ὡς ὑπὸ τοῦ Πάπα παρὰ κανόνας συναθροισθεῖσαν. ὅθεν καὶ τέλεον καθεῖλον αὐτὸν, ἕτερον ἡ ἐκεῖσε σύνοδος ἀποκαταστήσασα τὸν Φήλικα. πῶς νόμιμος, ἡ τὰ νόμιμα καταλύσασα; τίνα πρὸ τάξιν νόμιμον ἐφύλαξεν ὁ πόδα βουλόμενος προτεῖναι τῷ Πατριάρχῃ εἰς τὸ ἀσπάσασθαι, ὡς δεσπότης δούλῳ, ὡς παρὰ συροπούλῳ. ποῦ ἡ ἀρχαία τῶν συνόδων νόμιμος τάξις ὅπου οἱ Βασιλεῖς προεκαθέζοντο, οἱ δὲ πέντε Πατριάρχαι συνεδρίαζον. ἐν ταύτῃ δὲ ὁ Πάπας προυκαθέζετο, ὁ δὲ Πατριάρχης ὑπεκάθητο. ποῦ ἡ τάξις τῆς ἐπιγραφῆς τῶν ὅρων; ὅπου οἱ Βασιλεῖς ἐπεγράφοντο οἱ δὲ Πάπαι καὶ Πατριάρχαι σὺν τοῖς λοιποῖς ὑπεγράφοντο; ἢ οὐχὶ ταῦτα πάντα τυραννικά; καὶ πῶς τὸ τυραννικὸν καὶ νόμιμον εἶναι δύναται; ἀσύμβατα ταῦτα πάντη ἄνθρωπε, καὶ μὴ ματαιοπόνει ἐκ ψάμμου σχοινίον πλέκων.

Οἰκουμενικὴν λέγεις, καὶ ἑκουσίως συνελθόντας τοὺς ἀνατολικούς, ὁμολο-
γῶ, τῷ σχήματι ὡς εἴπομεν, καὶ τῇ παρουσίᾳ τῶν σωμάτων, οὐ μὴν δὲ
καὶ τῶν ἐν σώματι πνευμάτων καὶ προαιρέσεων, ἀλλ' οὐδὲ τὸ κυριώτατον, τῇ
χάριτι καὶ τῇ παρουσίᾳ Χριστοῦ, καὶ τῇ ἐπιπνοίᾳ τοῦ ἁγίου πνεύματος. τοιοῦ-
τον ἦν καὶ τὸ λῃστρικὸν ἐκεῖνο ἐπὶ Διοσκόρου συνέδριον τὸ δεύτερον ἐν Ἐφέσῳ. 5
συνεκαλοῦντο πανταχόθεν οἱ πατέρες βασιλικῷ θεσπίσματι Θεοδοσίου τοῦ
νέου, καὶ οὐαλεντινιανοῦ τοῦ ἀνεψιοῦ ὀνωρίου, αὐγούστων, παρῆν ὁ Κωνσταντινουπό-
λεως Φλαβιανός, ὁ Ἀντιοχείας Δόμνος, ὁ Ἱεροσολύμων Ἰουβενάλιος, ἔστε-
φον τὴν οἰκουμενικὴν συγκροτουμένην οἱ ἀπὸ Ῥώμης τοῦ Μακαρίου Λέοντος
ληγάτοι, Ῥενάτος πρεσβύτερος, Ἱλάριος διάκονος, Ἰούλιανος Ποτεόλων 10
ἐπίσκοπος. οἱ λογάδες τῶν ἐπαρχιῶν τῆς γῆς ἁπασῶν. ἀλλ' οὐδὲν ἐπό-
νατο ἐντεῦθεν εὐτυχὴς ὁ αἱρετικὸς τῆς ἀθῳώσεως, οὔτ' ἐπὶ πολὺ τὴν σύστασιν
ἡ αἵρεσις ἐκληρώσατο, τῷ ὑπὸ οἰκουμενικῆς δῆθεν συνόδου ταῦτα γεγονέ-
ναι. ἐκ γὰρ τῆς βίας, καὶ δόλων Διοσκόρου λῃστρικὸν μᾶλλον ἢ οἰκουμενικὸν
ἐκεῖνο, σχήματι μόνον ἐκλήθη συνέδριον, καὶ κατηργήθη αὐτοκατάκρι- 15
τον καὶ αὐτοκατάλυτον ὑπὸ τῆς τετάρτης συνόδου, καὶ ἀναθεματίσθη, ὅτι μά-
λιστα διὰ τοῦτο Διόσκορος. καὶ ἡ πίστις οὐδὲν ἐζημιώθη παρὰ τοῦτο, τηλαυγέ-
στερον ἀναλάμψασα. καὶ ἡμεῖς αὐτὴν ὑπὸ τῆς ἐν Φλωρεντίᾳ οὐδὲν ὠφελεῖσθε,
οἰκουμενικῆς λεγομένης σχήματι καὶ οὐ πράγματι, οὐδὲ πνεύματι. εἰ μὴ ὅτι
μάλιστα περικάλυμμα τῆς τολμηθείσης καινοτομίας ἐπέθεσθε, τοῦ μηκέτι ἐγ- 20
καλεῖσθαι ὑπὸ τῶν ἀνατολικῶν, ἀλλ' οὔτε ὑμεῖς τῶν παρανόμων ἀπώνασθε,
οὔτε ἡμεῖς τὴν ὀρθοδοξίαν ἐζημιώθημεν, ἥτις καὶ συνόδῳ κοινῇ τῶν Πατρι-
αρχῶν ἁπάντων ἐπεσφραγίσθη, τῶν καινοτομηθέντων καταργουμένων ἁπάντων.

Ἔτι συμπερανθεῖσαν λέγεις καὶ κυρωθεῖσαν, καὶ τὴν ἀμφοτέρων τῶν με-
ρῶν παριστάνεις συμφωνίαν καὶ ὑπογραφάς. ἐνταῦθα προσφυῶς ἔμελ- 25
λες ἐντίθεσθαι καὶ τὸ ἑκουσίως συμφωνῆσαι, καθάπερ ἔφης ὅτι ἑκουσίως συνῆλ-
θον. πρὸς ὃ καὶ ἀπολογούμεθα, ὅτι καίπερ δοκεῖ συμπερανθεῖσα, οὐδὲν συνε-
περάνθη κατὰ λόγον, ὡς δείκνυται ἐν τῷ Συροπούλου συγγράμματι. ὅτι γὰρ ἐ-
ζήτουν οἱ λατῖνοι καταλιπεῖν τὰς περὶ τῆς προσθήκης διαλέξεις, καὶ μετα-
βαίνειν εἰς τὰς περὶ τῆς δόξης μεγάλως, πρὸς τοῦτο ἀντηγωνίσαντο οἱ ἡμέτεροι 30
λέγοντες, καὶ τί συνεπεράναμεν ἐν ταῖς περὶ τῆς προσθήκης διαλέξεσι, καὶ
βούλονται οἱ λατῖνοι μεταχωρεῖν ἡμᾶς εἰς τὰ περὶ τῆς δόξης. οἱ δὲ μηδὲν ἄ-
λλο εἰπεῖν ἔχοντες, ἀρκούντως (μόνον ἔλεγον) εἰρήκαμεν περὶ τούτου, καὶ
ἀρκεῖ. ἀλλὰ καὶ μεταβάντες εἰς τὸ περὶ τῆς δόξης ζήτημα ἐν δυσὶ μόνοις
ῥητοῖς ἁγίων, πάσας τὰς διαλέξεις καὶ τὸν καιρὸν κατηνάλωσαν, ἔπειτα ἰ- 35
δίᾳ Πάπας καὶ Βασιλεύς, Πατριάρχης, καὶ οἱ ἐνδόντες λατίνοις τῶν ἡμε-
τέρων, μόνοι δίχα τῶν λοιπῶν συνεβουλεύοντο, ζητοῦντες μεσότητα,
δι' ἧς ἑνωθήσονται, ἀλλ' οὔτε μεσότης εὕρηται, οὔτε συμπέρασμά τι γέ-
γονεν, ἀλλ' ὁ μὲν βασιλεὺς ἐνδοὺς ὑπὸ τῆς ἀνάγκης τῶν καθ' αὑτὸν
πραγμάτων, οἱ δὲ λοιποὶ τῷ λιμῷ ἀγχόμενοι μὴ διδομένης αὐτοῖς τρο- 40
φῆς, ἄκοντες ὑπέκλιναν στένοντες καὶ ὀδυρόμενοι. ὅθεν καὶ κυρωθεῖσα

τῆς τούτων.

ταῖς τούτων ὑπογραφαῖς· ὅμως ὑποστρέψαντες τὴν βίαν, οὐκ ἑκού-
σιον ὡμολόγουν, ὡς εἴπομεν, ὀνειδιζόμενοι τὴν προδοσίαν. οἱ μὲν τούτων
παρακινησάμενοι ὡς ἀνωτέρω, προσκλαύσαντες ἦσαν μέχρι τέλους ζωῆς· οἱ δὲ καὶ
βιβλία συνεγράψαντο, ὧν εἷς καὶ Γεώργιος ὁ σχολάριος. ὁ καὶ Γεννάδιος
5 ὕστερον Πατριάρχης, ὃς θεολογικὸν ἐξέθετο σύνταγμα κατὰ τοῦ λατινικοῦ δόγ-
ματος. ὁ Ἐφέσου Μάρκος ὁ εὐγενικὸς ὁ καὶ δύο θρόνων ἀποστολικῶν τοπο-
τηρητὴς, τοῦ ἀντιοχείας φημὶ καὶ Ἱεροσολύμων. ὁ καὶ τὸν καύσωνα τῆς ἡμέρας
ὅλον ὑποστὰς, καὶ τὸν παγετὸν τῆς νυκτὸς, ὁ εἷς ἀντὶ πάντων καὶ ἀγωνισάμενος
καὶ ὑπεραπολογησάμενος, καὶ ἀκλινὴς ἄχρι τέλους διαμείνας, κρεῖττον ἁ-
10 πάσης μηχανῆς γενόμενος, τὸ εὐγενὲς (κατὰ τὴν οἰκείαν κλῆσιν) τῆς κοινῆς
ὁμολογίας τηρήσας, ἔργῳ καὶ λόγῳ, νέος Ἀθανάσιος, διεσώσατο, καὶ τὸ
ὑγιὲς φρόνημα. κἀυτοὺς τοὺς νοσήσαντας λατινισμὸν, ἀνεκάλεσέ τε καὶ ἀ-
νέρρωσεν. ὁ Μονεμβασίας Δοσίθεος, κἀυτὸς τοῦ Ἱεροσολύμων τοποτηρητὴς,
πρὸς τοὺς παραινοῦντας τὴν ἕνωσιν, τὸν νικαίας, καὶ τὸν ῥωσίας, ἀνδρικῶς
15 ἀπεκρίνατο. ὡς ἐν πράξει : κέ : γέγραπται οὑτωσίπως εἰπών. καὶ τί βούλε-
σθε διὰ τὸ ἀπελθεῖν ἡμᾶς ἐν τῇ Πατρίδι μετὰ τῶν ἐξόδων τοῦ Πάπα, θέλετε ἵνα
προδώσωμεν τὸ δόγμα ὑμῶν, ἐγὼ βούλομαι ἀποθανεῖν, ἢ λατινίσαι ποτε.
ἀλλὰ καὶ ὁ τὸν Ἀλεξανδρείας ἐπέχων τόπον ἡρακλείας Ἀντώνιος, εἰ καὶ ἐν
λόγοις οὐκ ἐφαίνετο περιφανὴς, ἀλλ' ἑδραῖος τῇ πίστει ἐκ διαμέτρου, ἀεί-
20 πως ἀντίστατο κατὰ συρόπουλον. ὅθεν προσέκρουσε καὶ τῷ βασιλεῖ ὑπ' αὐτοῦ τε
κατελοιδορήθη, καὶ ἑκὼν τῆς λειτουργίας παυσάμενος, καὶ προσκαλούμενος
ὕστερον εἰς τὸν Πατριαρχικὸν Κωνσταντινουπόλεως θρόνον παρῃτεῖτο, λατινί-
ζοντός τινὸς ζητουμένου παρὰ τοῦ Βασιλέως εἰς τοῦτο. οἳ καὶ τοιάδε πρὸς τὸν προ-
τρέποντα εἰς τὴν τῶν λατίνων, δόξαν ῥωσίας, ἐν τῇ αὐτῇ συνελεύσει ἀπελο-
25 γήσατο. καὶ τίνες εἰσὶ πλείους οἱ τῶν Συνόδων Πατέρες, οἱ ἡμέτεροι πάντες
ἅγιοι, ἢ οἱ δυτικοί; λοιπὸν τοῖς πλείοσι δεῖ ἕπεσθαι. τοῖς λέγουσιν ὅτι ἐκ τοῦ Πα-
τρὸς ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον, καὶ οὐκ ἐκ τοῦ υἱοῦ. καὶ καλωτέρῳ ἐν τῷ
ψηφίζειν περὶ τῆς ἀποδοχῆς τοῦ δόγματος, μετὰ τὴν τοῦ νικαίας ὑπογραφὴν, γέ-
γραπται. ὅτι αἱ γνῶμαι κατὰ τάξιν ἐπερχόμεναι οὐκ ἐδίδοντο ἐν μιᾷ γνώμῃ.
30 ἀλλ' ὁ ἡρακλείας Ἀντώνιος, καὶ ὁ Ἐφέσου Μάρκος, καὶ ὁ Μονεμβασίας Δοσί-
θεος, οἱ Πατριαρχικοὶ ἐπίτροποι, καὶ ὁ ἀγχιάλου Σωφρόνιος, ἀντεῖπον
τῇ γνώμῃ ταύτης τῆς ἑνώσεως κατὰ πάντα. ἔλεγον γὰρ ὅτι οὐ πείθονται ἔχειν αἰ-
τίαν τὸν υἱὸν τοῦ ἁγίου πνεύματος, ἀλλ' οὐδ' ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον
ὡς ἀπὸ μιᾶς ἀρχῆς ἐκ τοῦ Πατρὸς καὶ τοῦ υἱοῦ. καὶ ὁ Κορυφαῖος τῆς Συνόδου,
35 ὁ οἰκουμενικὸς Πατριάρχης, καίτοι πολλὰ συναρπαγεὶς καὶ ὑποκλαπεὶς, καὶ
τοῦ καιροῦ δουλεύων, ἐν ταῖς τελευταίαις ψήφοις, εἰ καὶ σκαιῶς καὶ ὡσανεὶ ἀν-
τιφατικῶς (δῆλον ὅτι καὶ θεολογίας ἢ ἀληθείας ἀμέτοχος) πῶς ἄλλως
εἶπεν, οἴεσθε, στέργειν τὴν ἐκπόρευσιν διὰ τοῦ υἱοῦ, ὡσανεὶ καὶ αἰτίου. [εἰ μὴ
προοιμιάσας οὕτως; ἐγὼ τὸ πατροπαράδοτον δόγμα ἡμῶν οὐδέποτε παραμεί-
40 ψω, ἢ παραλλάξομαι, ἀλλὰ μενῶ ἕως ἐσχάτης μου ἀναπνοῆς ἐν αὐτῷ. ὥστε
τοσοῦτον ἐδέξατο, ὅσον καὶ μὴ δέξασθαι. οὐ τί μᾶλλον ἂν εἴη καταφανέστερον;

ὅτι στενοχωρούμενοι ταῦτα ἐποίουν οἱ καλοὶ πατέρες. παρέτω μάρτυς καὶ
ἐπὶ πάντα διαθετικὸς τῆς ἑνώσεως βασιλεύς, ἀπέστειλεν ἀποκρινόμενος
τῷ Πάπα. οὐκ εἰσὶ πάντες οἱ τῆς ἀνατολικῆς ἐκκλησίας (τῆς ἐν φλωρεντίᾳ
δηλαδὴ ἑπτὰ καὶ δέκα ὄντων ἀρχιερέων) ἵνα δώσωμεν καθαρὰν τὴν γρα-
φὴν ἡμῶν. (ἤτοι ὁμολογίαν τῆς ἐκπορεύσεως) οἱ πλείους γὰρ ἀμφιβάλλουσιν 5
αὐτὴν εἰς τὸ παρ' ἡμῶν ζητηθὲν ἢ ἀγνοοῦντες τὰ λεγόμενα, ἢ καὶ μὴ δυνά-
μενοι τὴν πατρῴαν δόξαν ἀποβάλλειν εὐθύς. τὸ τούτου λαμπρότερον ἐν τοῖς τε-
λευταίοις τῆς συνόδου, ἢ ὅτι βίαν ἔπαθον ὑπογράψαντες. καὶ πρότερον ἀ-
πεστάλκει τινὰς πρὸς τὸν Πάπαν τοιαῦτα διαγορεύσοντας, ἡμεῖς ἔχομεν τὸ
ἅγιον σύμβολον ὑπὸ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων. καὶ οὔτε προστιθέ- 10
μεν, οὔτε ἀφαιροῦμεν, ἀλλ' ἀρκούμεθα τῇ διαγνώσει τῶν πατέρων ἡμῶν. ὑ-
μεῖς δὲ καὶ ὅσον προστεθείκατε ἐν τῷ ἱερῷ συμβόλῳ, ἐδείξατε ἁγίους λέγον-
τας τοῦτο, καὶ ἔχετε ἀπαρασάλευτον. καὶ λοιπὸν οὔτε ἡμεῖς μέλλομεν δέξασθαι
ἁπλῶς τὸ προστεθὲν οὔτε ὑμεῖς μέλλετε ἐξελάσαι αὐτὸ ἐκ τοῦ συμβόλου. ἵνα
τί αἱ φιλονεικίαι καὶ αἱ διαλέξεις καὶ αἱ παραστάσεις καὶ οἱ ὅρκοι. ἀλλὰ σκεψά- 15
σθω ἡ σὴ μακαριότης. καὶ ἐὰν ἐστί τις ἄλλος τρόπος ἑνώσεως ἑνωθησόμε-
θα, εἰ δ' οὔ, ἀπελευσόμεθα μετὰ φιλίας εἰς τὰ ἴδια. τί οὖν φήσεις τὸ κατε-
πεῖγον τὸν βασιλέα, καὶ τοὺς ἀρχιερεῖς δι' αὐτοῦ εἰς τὴν ἕνωσιν ὁπωσδήποτε
γενέσθαι. αὐτὸς εἰς τὸ τέλος τῆς εἰκοστῆς τετάρτης συνελεύσεως δημηγορῶν
παριστάνει. φησὶ δὲ πλημμελεῖ ὁ καιρὸς καὶ οὐδέν τι ἀνῆκον ἐποιήσαμεν τῷ πράγ- 20
ματι. μνήσθητε τοίνυν τοῦ ἡμετέρου οἴκου ὅπως κινδυνεύει ἐν μέσῳ τῶν ἀσε-
βῶν. καὶ ἂν συμβῇ τι, οἴμοι πόσον τὸ δεινόν, ἔχω, ὅτι ὁ διωγμὸς μέλλει
γενέσθαι πολλῷ χείρων τοῦ ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ. διὸ ὀφείλομεν κα-
ταλεῖψαι τὰς διαλέξεις, καὶ τὰς φιλονεικίας, καὶ εὑρεῖν τὸ μέσον καὶ χωρῆ-
σαι εἰς αὐτό. καὶ κατωτέρω κατὰ τὴν εἰκοστὴν πέμπτην συνέλευσιν, ἔλεγε. 25
δότε γνώμας μήτε βλαπτούσας κατὰ ψυχήν, μήτε κατὰ σῶμα. πλὴν εὐσεβῶς
καὶ ἀπροσκομματίστως. καὶ ἀπεκρίθησαν πάντες, εἴ τις οὐκ ἀγαπᾷ τὴν ἕνω-
σιν τῶν ἐκκλησιῶν, ἤτω ἀνάθεμα, πλὴν μετὰ εὐσεβείας. τέλος κατὰ τὸ ἐκ-
τιμόρειον τῆς :κέ: συνελεύσεως, ὅτι κατηναγκασμένος ἰδίαν ὁμολογίαν πρὸς
τὴν τῶν λατίνων ἔγραψαν καὶ αὐτοί, λέγεται ὅτι οὐδ' ὅλως ἤθελον ἀκούειν αἰ- 30
τίαν τὸν υἱὸν τοῦ ἁγίου πνεύματος. πῶς οὖν συνεπεράνθη τὸ μετὰ κοινῆς ἀρ-
νήσεως μέχρι τῆς τελευταίας συνελεύσεως, ἀκοῦσαι μὴ ἀνεχόμενοι. ἄρα
οὐκ ἐπείσθησαν. ἄρα πρὸς τοὺς λόγους ἀνθίζοντο. ἄρα οὐ συνεπεράνθη.
εἰ γὰρ συνεπεράνθη, καὶ ἐστέρχθη ἄν. ἀλλ' ὅμως ἐδέξαντο, φήσεις, καὶ
ὑπέγραψαν. λάβε πῶς ἀπεδέξαντο, καὶ οἵα ἐτύγχανε μετὰ τὴν ὁπωσ- 35
δήποτε συμφωνίαν ἡ ὑπογραφὴ καὶ ἡ κύρωσις. ἀποστέλλει. φησὶ ῥητῶς
τὸν ῥωσίας (τὸν καὶ ὄργανον τῆς ἑνώσεως μεθ' ὧν καὶ κατωτέρω ἐροῦμεν)
ζητήσων, τὸ ὁρίζει ὁ Μακαριώτατος πατὴρ ποιῆσαι βοήθειαν τοῖς Χριστι-
ανοῖς, καὶ ἀπεκρίθη διὰ τριῶν καρδιναλέων, δοῦναι ἔξοδον καὶ κάτεργα εἰς
τὴν ἐπάνοδον, δεύτερον, τριακοσίους στρατιώτας, ἵνα ἵστανται ἀεὶ εἰς φυλα- 40
κὴν τῆς πόλεως δι' ἐξόδων τοῦ Πάπα. τρίτον, καὶ δύο κάτεργα ἐμπαρατηροῦντα
αὐτήν.

αὐτὴν. δ'. καὶ τὸ προσκύνημα τῆς Ἱερουσαλὴμ ἵνα γίνηται ἐν τῇ πόλει. ὁ- δ'
μοίως ἀγαλλιάτζαι εἰ εἰς προσκύνησιν ἀπερχόμενοι τοῦ ζωοδόχου τά-
φου. ε'. ἵνα δώσῃ κάτεργα εἴκοσι ἀρματωμένα μετὰ ἀρόδων αὐτοῦ ε'
μῆνας ἕξ. ἢ δέκα κάτεργα ἔτος ἕν. ἕκτον. ὅταν χρήζῃ φουσάτον ς'
5 διὰ ξηρᾶς, ἵνα σπουδάσῃ ἐνώπιον τοῦ Χριστοῦ, ἵνα ἔλθωσι τὰ γένη τῶν χρι-
στιανῶν εἰς τὴν συμμαχίαν αὐτοῦ. ὅρα τὰ κατεπείγοντα καὶ βιάζοντα τὸν βα-
σιλέα κατενεχθῆναι εἰς ἅπερ οὐκ ἂν βουληθείη.

Ὅπως δ' ἔκλιναν ὑπογράψαι, πλὴν τοῦ γενναίου Ἐφέσου, οἱ λοιποί, ἔχεις
καὶ τοῦτο μάλιστα περὶ τὸ τέλος ἐν τῇ αὐτῆς εἰκοστῇ πέμπτῃ συνελεύσει.
10 ὄργανα τέσσαρα εἰς τὸ περιτρέπειν καὶ ἐξαπατᾶν τοὺς ἁπλουστέρους. φησὶ γὰρ
ἡ ἱστορία οὕτως, ἡμεῖς ἐλυπούμεθα ὅτι οὐκ ἦν ἐλπὶς ἑνώσεως. ἀλλ' ὁ τῶν ἁ-
πάντων προνοητὴς Θεὸς οὐκ ἐγκατέλιπεν ἡμᾶς. ἀλλὰ διήγειρε τόν τε ῥωσίας,
τὸν νικαίας, τὸν μιτυλήνης, καὶ ἄλλους τινὰς μεσιτεύσοντας, καὶ οἱ μὲν
ἐθαρσοποίησαν τὸν Πάπαν, οἱ δὲ τὸν βασιλέα. καὶ ἁπλῶς ἐποίησαν τρόπον τινά.
15 οὗτοι οὖν εἰσὶν, ὁ νικαίας Βησσαρίων, ὁ ῥωσίας Ἰσίδωρος (οἱ καὶ ἆθλον ἀ-
πηνέγκαντο τῆς συνεργίας τὸ καρδινάλεις προβληθῆναι, ἤτοι κληρικοὶ ἐξάρ-
χοντες τῆς ῥωμαϊκῆς ἐκκλησίας) Γρηγόριός τε ὁ μέγας πρωτοσύγκελλος
ὃν καὶ πατριάρχην προσεβίβασεν ὑπὲρ τῆς ἑνώσεως ὁ βασιλεύς. καὶ ὁ μιτυ-
λήνης Δοσίθεος. οἱ καὶ λόγοις μάλιστα, τοῖς ἐκ τῶν δυτικῶν διδασκάλων, καὶ
20 τοῖς ἡμετέροις ἀγνώστων. καὶ δόλοις δὲ τὰ πολλὰ διϊσχυρίζοντο πείθειν καὶ ἔ-
πεισαν, ὥστε εἰπεῖν ποτὲ τοὺς πολλοὺς πρὸς τὰ τοῦ μιτυλήνης προτεινόμενα χε-
διάρια ἀπὸ κόλπου, ἡμεῖς οὐδέποτε εἴδομεν τοὺς δυτικοὺς ἁγίους, οὐδέποτε
ἀνέγνωμεν αὐτούς, νῦν οὖν εἴδομεν αὐτούς, καὶ ἀνέγνωμεν, καὶ στέργομεν αὐ-
τούς. ἄθλιοι, οἱ τὰ οἰκεῖα μόλις συνιέντες καίτοι λαμπρὰ καὶ τὰ ἑτερόγ-
25 λωσσα δι' ἑρμηνέως ἐν προχείροις καὶ τεμμαχίοις, καὶ ταῦτα παρερμηνευομέ-
νοις πιστεύσαντες, οὗτοι μὲν καὶ τῆς λακεδαιμονίας, οὕτως ἦσαν συνηγοροῦντες
λατίνοις, ὥστε καὶ τολμῆσαί ποτε πρὸς τὸν βασιλέα μεγαλοπρεπέστερον δια-
θέντα τὸ δυνατὸν, ὑπὲρ τιμῆς τῶν ἡμετέρων ληρῆσαι. ἐὰν ἡ βασιλεία
σου οὐ θέλει ἑνωθῆναι, ἡμεῖς ἑνούμεθα. τί οὖν αὐθαδέστερον τούτου ἦν ἄλλο ῥῆ-
30 μα; ἢ ὅτι συνεφωνήθη αὐτοῖς ἐμμένειν τοῖς λατίνοις; ὃ καὶ τοῖς δυσὶν ἐκεί-
νοις προὔβη εἰς καρδιναλικίου σκιάδιον πορφυροῦν. ὁ δὲ μιτυλήνης καὶ κοινω-
νῆσαι ἀζύμων διὰ χειρὸς τοῦ Πάπα συνέθετο, κατὰ τὸν συρόπουλον. ὃ καὶ ὀνειδι-
σθεὶς ὑπὸ τῶν οἰκείων, ᾐσχύνθη καὶ ἀπέσχετο. ὁποῖον ἦν ἄρα τὸ συμπέ-
ρασμα. ἔχεις ἐν τῷ ψηφίζειν ὡς ἄνω τοιάδε ἱστορούμενα κατὰ τὴν αὐτὴν εἰκοστὴν
35 πέμπτην συνέλευσιν. ἐρωτώμενοι οὖν οἱ ἀρχιερεῖς τὰς γνώμας αὐτῶν, οἱ μὲν ἔλε-
γον καθαρῶς τὴν γνώμην αὐτῶν, οἱ δὲ ἔλεγον ἄλλως πως. ἀλλ' ὅμως ὁμονο-
ήσαμεν ἀρχιερεῖς δέκα τὸν ἀριθμὸν (ἐκ τούτου συνίες τὰ ἱστορούμενα ὑπό τινος
τῶν λατινοφρόνων συντεθειμένα) καὶ ὁ μέγας πρωτοσύγκελλος κύριος Γρη-
γόριος, καὶ ἐκ τῶν ἡγουμένων (τέσσαρες δὲ ἦσαν) ὁ κὺρ Παχώμιος. ὕ-
40 στερον δὲ προσετέθησαν ὁ Τραπεζούντιος, ὁ κυζίκου καὶ δύο τοποτηρηταὶ ὁ ἡρα-
κλείας ὁ μονεμβασίας. πῶς δὲ προσετέθησαν ῥᾴδιον ἐξ ὧν πολιτευόμεθα

πραγματευόμενοι τὸ πεπληρῶσθαι. ἰδὲ οὖν ἐν εἴκοσιν ἀρχιερεῦσιν ἀριθμουμέ-
νου, καὶ τοῦ Πατριάρχου, καὶ σταυροφόροις ἓξ κληρικοῖς, καὶ ἡγουμένοις τέσσαρ-
σι, τὰς συμφωνίας καὶ διαφωνίας. καὶ ὅπως μὲν ὑπέγραψαν ταῦτα δηλοῦσιν
ἐξ ὧν ὑμεῖς ἐκδεδώκατε τύπων. ἃ δ' ἡμεῖς ἐγχειρογράφοις ἔχομεν πολλῷ ὑ-
πὲρ ἡμῶν ἐστὶ καὶ καθ' ὑμῶν. ὅμως ἵν' εἰδῇς ταὐτὸν ἀπατώμενον, ἐν τῷ κρί-
νειν, ὡς νομίμως συνεπεράνθη, καὶ ἐκυρώθη, ὀλίγα τινὰ προσκομίσομεν.
λέγει οὖν ὅτι μὴ κλινόντων τῶν πολλῶν ἐν τῇ τοῦ λατινικοῦ δόγματος συμφω-
νίᾳ ἀρχιερέων μάλιστα καὶ κληρικῶν σταυροφόρων, καὶ ἡγουμένων, τοὺς μὲν ἀρ-
χιερεῖς ὁ Βασιλεὺς καὶ ὁ Πατριάρχης πείθειν λόγῳ συγκαταβάσεως διὰ τὴν
ἐνεστῶσαν ἀνάγκην ἐπεχείρησεν. ὥστ' οὐκ ἦσαν αἱ ψῆφοι πολλῷ πλείους τὸν
ἀριθμὸν, καὶ τοὺς γραμματικοὺς ἤτοι νοταρίους προσέθεντο. καὶ γεγόνασι τῶν μὲν
στεργόντων ψῆφοι εἴκοσι καὶ τέσσαρες. τῶν δὲ μὴ δώδεκα, καὶ συγκατάθεσιν ἔτι
διαφανῆς ἀπήτησε πάντας οὐ μόνον ἄρχοντας, ἀλλὰ καὶ ἰατροὺς, καὶ ὑποδεε-
στέρους μέχρι καὶ ῥουχαρίων. οἱ δὲ σταυροφόροι καὶ ἡγούμενοι ἀξιωματικοί γε ὄν-
τες διὰ τὸ ἀντίγνωμον ἀπεκλείοντο μὲν πρότερον, εἶτα καὶ τούτους, ὑπογρα-
ψάντων τῶν λοιπῶν μετ' ἀπειλῆς καὶ βίας ἠνάγκασαν ὑπογράψαι. ἀλλὰ
τὸν μάρτυρα οὐκ ἦν δυνατὸν μεταστρέψαι, οὐ δὲ τὸν δεσπότην Δημήτριον, ἀδελ-
φὸν τοῦ Βασιλέως, ὃς καὶ πρὸ τῶν ὑπογραφῶν ἀπεδήμησεν εἰς Βενετίαν, ἑ-
πομένων αὐτῷ τῶν σοφῶν ἐν λαϊκοῖς γεμιστοῦ καὶ σχολαρίου. μᾶλλον δ' ἔλε-
γεν ὁ δεσπότης, εἰ καὶ ἰδιώτης τις προφασιζόμενος εἶναι, καὶ δογμάτων τοιού-
των μὴ λαβεῖν πεῖραν, ὅμως οὐ συνεώρα εἰς τί ὠφελήσει ἡ τοιαύτη ἕνωσις ἡ
μετὰ βίας τοσαύτης, εἰ μήπου εἴς τι τέλος πολιτικώτερον. ἔχει τοίνυν ὡς
συνεπεράνθη, καὶ ἐκυρώθη τότε δήπουθεν ἡ σύνοδος. ὅση δ' ἐπηκολούθησεν
ἡ μεταμέλεια πολυμερῶς πολυτρόπως εὐθὺς, ἐδηλοῦτο μὴ θελόντων συλλει-
τουργεῖν, ἄλλον ἄλλῃ ἐν ποικίλαις προφάσεσι, καὶ αὐτίκα καταγνόντων ἑαυτῶν
ἐν τῇ ἐπανόδῳ. ὃ δὲ, τῶν Ἰβήρων οἱ πρέσβεις διεπράξαντο, ἑλληνικῆς ἄξιος
ἐγκωμιάζετο ἐλευθερίας. ὁ μὲν γὰρ τούτων ἀρχιερεὺς ὢν, ἵνα μὴ συμφωνῆσαι
προσβιασθῇ, μωρίαν προσποιήσατο κατὰ τὸν προφητάνακτά ποτε πρὸς τὸν γε-
θαῖον ἀγχοῦς, καὶ γυμνὸς περιάγων οὐκ ᾐσχύνετο παραπλήκτῳ προσεοικὼς
καὶ διερχόμενος πόλεις καὶ χώρας, οὕτω πλανώμενος ἕως τῆς ἐπανόδου.
ὁ δὲ τῶν κοσμικῶν τυγχάνων ἀρχόντων, ὑπότε τοῦ Πάπα κολακευόμενος,
καὶ τὸ τῆς οἰκείας καθέδρας διδασκόμενος μεγαλεῖον ὑπὲρ πᾶσαν ἀρ-
χὴν λέγων εἶναι, ἀπεκρίνατο πρὸς αὐτὸν θεοσόφως ὁ Βάρβαρος. ὅτι
ταῦτα εἶχεν οὗτος ὀθρόος πρὸ τοῦ καινοτομῆσαι, καὶ ἦν ἐθέλῃς τοιοῦτος
ὑπὸ τῶν Ἰβήρων πιστεύεσθαι, ὀφείλεις τὴν προσθήκην περιελεῖν καὶ τὰς και-
νοτομίας ἁπάσας. καὶ τότε τοῖς πᾶσι προσκυνητὸς ἐπαξίως γενήσεσθαι. τοι-
αῦτα μὲν ὁ ἰδιώτης. εἰς ἅπερ ἄφωνος διετέθη ὁ Πάπας εὐθύς, καὶ ὁ
σοφὸς ὑπὸ τοῦ δοκοῦντος μωροῦ κατῃσχύνθη. καὶ ἄλλοτε συνεχῶς ἀκού-
ων διδασκάλου τινὸς, τὸν Ἀριστοτέλη ἐν τοῖς περὶ πίστεως προσφωνοῦντος.
ἔφη πρὸς τὸν παρακαθήμενον, ὑποβαρβαρίζων συμμίκτῳ φωνῇ. τί
ἀριστοτέλης, τί ἀριστοτέλης; Βασίλειος Γρηγόριος, χρυσόστομος. Ἀθα-
νάσιος.

νάστιος. τοιαύτην ἀρχὰς κύρωσιν ἔσχε, καὶ τοιοῦτον τέλος ἐδέξατο, ἡ παρὰ σοῦ φημιζομένη σύνοδος. προσθήσω καὶ τοῦτο, λόγου ἄξιον ὄν· ὅπως συνεπεράνθη νομίμως τὰ τῆς συνόδου καὶ ἐκυρώθη, ἀναγκαῖον ἦν πάντως βεβαιωθέντος τοῦ τῆς ἐκπορεύσεως δόγματος, ἀναθεματίζεσθαι ἅμα καὶ τοὺς οὕτω μὴ φρονοῦντας, ὡς οἱ Φλωρεντίας διισχυρίζοντο, ἀντιλέγοντος ὅτι μάλιστα μετὰ μέμψεως (ὡς παρὰ Συροπούλῳ φέρεται) τοῦ Τραπεζοῦντος. προστεθῆναι δ' ἔτι καὶ ἐν τῷ συμβόλῳ, παρ' οἷς μάλιστα πρότερον ἀπεβάλλετο. ἐπειδὴ καὶ ὁ Νικαίας ἐν τῷ ψηφίζειν ἐδογμάτιζεν, ἀδύνατον σωθῆναι τοὺς μὴ οὕτω πιστεύοντας. ὧν οὐδὲν ἐθεσπίσθη τοιοῦτον. ἔτι πρὸς τούτοις καὶ κοινωνῆσαι ἀλλήλων τοῖς μυστηρίοις ἀζύμοις τε καὶ ἐνζύμοις, ἐπειδήπερ καὶ περὶ τούτου πολὺς ἀναμεταξὺ πάλαι ἀγὼν προηγήσατο, ὧν οὐδὲν τοιοῦτον ἐγένετο, ὅθεν καὶ ματαίαν ἔκριναν τὴν ἕνωσιν ταύτην, καὶ οὐδ' ἕνωσιν ὀνομασίαν ἠνέσχοντο οἱ ἀπὸ τῆς Ἀγγλίας πρέσβεις. ἐν τινὶ γὰρ πανδοχείῳ ὑποστρέψασι τῶν ἡμετέρων τισὶ συναντήσαντες, καὶ περιέργως περὶ πάντων τούτων ἀνερωτήσαντες, καὶ μάλιστα καταμαθόντες παρὰ Φιλίππου τινὸς διακόνου, ἄνευ τινὸς συμβόλου γεγράφθαι τὸν ὅρον, καὶ διηλλάχθαι, ἑκάτερα δὲ τὰ μέρη τοῖς προτέροις ἐμμένοντα οὐδὲν ἔφασαν συνεπεράνθη. καὶ ταῦτα μὲν ὁ Συρόπουλος.

Ὅτι δὲ μόνος ὁ Ἐφέσου οὐ συνεφώνησε, δῆλον ὅτι μὴ ὑπογράψας. ἐκ δὲ τῶν ὑπογραψάντων (πλὴν τῶν εἰρημένων τεσσάρων, ἢ πέντε) τῇ γνώμῃ καὶ τῷ σκοπῷ, καὶ τῇ σφῶν ἐξομολογήσει, καὶ μεταμέλῳ, οἱ λοιποὶ πάντες ὁμοίως τῷ Ἐφέσου οὐ συνεφώνησαν, ὁπόσος δὲ καὶ ὁποῖος ἦν ὁ Μάρκος, τὰ πρακτικὰ παρίστησιν ὅτι μόνος ὡς ἄλλος Σαμψὼν τὰς χιλιάδας ταῖς διαλέξεσιν ἐκλόνει, καὶ ἐτροποῦτο. ἀρκεῖ οὗτος ἡμῖν ἀντὶ πάντων, ὅτι καὶ μόνος ἀντὶ πάντων διηγωνίζετο. καὶ ἐν αὐτῷ διεσώζετο τῶν δύο ἀποστολικῶν θρόνων, μᾶλλον δὲ καὶ τῶν πάντων ἡ τιμὴ, συνημμένων ἀλλήλοις ὄντων. καὶ Λιβέριος Πάπας ὁ περιώνυμος τὸ πρότερον ὁμολογητὴς, ὀνειδιζόμενος ὑπὸ Κωνσταντίνου τοῦ βασιλέως κατὰ Θεοδώρητον, πολλοστημόριον ἂν εἴη τοῦ κόσμου παντὸς, ὅτι μόνος τῷ βασιλεῖ ἀντετάσσετο, εἶπε γενναίως, ὅτι εἰ καὶ μόνος αὐτὸς εἴη, ἡ ὑπόθεσις οὐκ ἐλαττοῦτο τῆς πίστεως. ὅτι καὶ τρεῖς πάλαι παῖδες τῷ βασιλεῖ ἀνθίσταντο. περὶ τούτου, φημὶ τοῦ Μάρκου, πολλὴν ἔθετο σπουδὴν ὁ βασιλεὺς ἐν ἰδίῳ συλλόγῳ μεταπεῖσαι. ἀλλ' οὐκ ἦν δυνατὸν τὸν στερρὸν καὶ ἀνίκητον ὁμολογητὴν τῆς ἀληθείας, μετατρέψαι. μᾶλλον δὲ οὗτος ἐκ τῶν ἄλλων πολλοὺς ὕστερον εἰς τὴν ὀρθὴν ὁμολογίαν ὡδήγησεν. ὧν ἦν καὶ ὁ περιβόητος Σχολάριος, ὁ καὶ πρὸ τῆς ὑπογραφῆς, ὡς εἴρηται, μετὰ καὶ τοῦ σοφοῦ Γεμιστοῦ, καὶ τοῦ δεσπότου Δημητρίου, προαποδημήσας. ἐγίνωσκε δὲ καὐτὸς ὁ Πάπας ὅσος ἦν ὁ Μάρκος ἔν τε τῇ ἀξίᾳ καὶ τῇ τοῦ λόγου ὀρθότητι, διὸ καὶ ὅτε ἠρώτα περὶ τούτου, εἰ ὑπέγραψεν, ἀκούσας ὅτι οὔ, οὐδὲν ἔφη ἐποιήσαμεν. καὶ καλέσας αὐτὸν ἠπείλει τὰ ὑπὸ τῶν συνόδων ἐπιτίμια. ἀλλ' οὐδὲν ἔπειθεν ἀνδρείως τὸν γεννάδα ἀπολογούμενον. τίνι οὖν προσέξομεν, τῷ μηδέποτε ἀπατηθέντι, οὐδὲ ὑποκλίναντι, ἢ τοῖς μετὰ τὴν ἀπάτην μεταγνοῦσι καὶ τὰ τοῦ Μάρκου πρεσβεύουσι; μὴ οὖν εἴπῃς ὅτι μόνος ὁ Μάρκος οὐκ ἐνέδωσεν. ἀλλὰ μετὰ

Μάρκου

Μάρκου ἡ ἐκκλησία πᾶσα, καίτοι οἱ ὁπωσδήποτε λατινοφρονήσαντες.

Ὅτι δὲ πολὺ ἐζητήθη ἐνταῦθα, ὑπὲρ πάσας τὰς πρὸ αὐτῆς συνόδους.
ὅσον μὲν ἐν συνελεύσεσι καὶ φωναῖς, καὶ λίαν ἀληθὲς τοῦτόγε

Ἀλλ' εἰς ἀηδίαν ὡς φῂς, αὐτὸς ἔληγε τὰ πάντα, καὶ οὐδέν τι συνήνεγκε.
ὅτι καίρια μὲν καὶ ἀναγκαῖα πάνυ ὀλίγα προὐβάλλοντο. οὐ δὲ γὰρ ὧν ἠδύναντο 5
οἱ ἡμέτεροι, τὸ ἑκατοστημόριον εἶπον, ὡς ἔχομεν ἐν ταῖς παρ' ἡμῖν βίβλοις.

Πάντη προβάλλειν ἐξῆν κατὰ σὲ, ὅμως γε κατὰ τοὺς ὅρους τῆς ἀριστοτελικῆς δια-
λέξεως, πλὴν προτεθέντος διὰ συλλογισμῶν οὐδὲν ἕτερον ἀπεδέχοντο.
καὶ τοῦτο εἰς ἄπειρον ἀγῶνα ἐξετείνετο, καὶ ἀηδίαν ὡς ἀληθῶς ἐνεποίει, τοῖς
ἀκούουσί τε τῶν πλείστων καὶ λέγουσι, καὶ οὐδὲν συνεπεραίνετο, ἐπεισοδίων πο- 10
λλῶν ἐμπιπτόντων, καὶ τὸ χεῖρον, ὅτι μεταβαίνειν εἰς τὸ κυριώτατον τῆς
ὑποθέσεως διεκωλύετο, ἥτις ἦν ἡ περὶ τῆς προσθήκης ζήτησις. ὅθεν ἀπαι-
τουμένων αὖθις τῶν πεπαυμένων διαλέξεων, οὐδαμῶς ἐνεδίδου ὁ βασιλεὺς.
ὑφορώμενος τε μᾶλλον τὴν, εἰς ἣν ἔσπευδεν ἕνωσιν, διχόρροιαν, ἑτέρους τε
ἑνώσεως ἐντεῦθεν τρόπους παρὰ τὰς διαλέξεις διαμηχανώμενος. ἀνάγ- 15
νωθι καὶ τὴν τετάρτην ἐν φερραρίᾳ συνέλευσιν, ὅπου ἔτι εἶχον τοὺς ἡμετέρους
ἀποδεικνύειν τὰ προτεινόμενα.

Οὐδὲν ἀνεξέταστον φῂς, εἴαθη. πῶς τοῦτο λέγεις; ὅτι οὐδὲν ἔμεινεν ἀνεξέ-
ταστον; ὅπουγε πᾶν τὸ προβαλλόμενον, ἐν τῷ ἐξετάζεσθαι εὐθὺς ἐκω-
λύετο, καὶ ὅπουγε ῥήσεις δύο μόναι διδασκάλων ἁγίων Ἐπιφανίου καὶ Βασι- 20
λείου προβληθεῖσαι, τὰς ἐν φλωρεντίᾳ ἐννέα ὅλας συνελεύσεις κατηνάλω-
σαν, ὅπουγε ἀπὸ μόνων τῶν ἑῴων πατέρων ὑπὲρ τὰς ἑκατὸν μαρτυρίας
παραγαγεῖν δέον ἦν, καὶ συμβαλεῖν πάσας τὰς τῶν ἑσπερίων πρὸς τὰς τῶν
ἀνατολικῶν γνώμας, εἴπερ ἀληθείας ἐφρόντιζεν ὁ σύλλογος ἐκεῖνος.

Τοῦτο καὶ ὄντως ἀηδίαν ἐνέβαλλεν καὶ εἰς ἀχρείας λογομαχίας τὴν διά- 25
λεξιν κατήγαγε, ὅπουγε κατὰ τὸ εἰωθὸς τῶν προλαβουσῶν ἁγίων συνό-
δων εἰλικρινῶς αἱρέσεις πᾶσαι προὐβάλλοντο, καὶ ἀκάκῳ καὶ καθαρᾷ τῇ ψυ-
χῇ καὶ τῇ συνειδήσει συνεστέργοντο. καὶ πῶς ἀνεξέταστον οὐδὲν, ὅπουγε περὶ προ-
σθήκης μόνης καὶ τοῦ δόγματος ἐν εἴκοσι καὶ πέντε ὅλαις συνελεύσεσιν ἐβα-
σανίζετο, περὶ δὲ τῆς ἀρχῆς τοῦ Πάπα τοῦ ἀναγκαιοτάτου πάντων, οὐδὲν ἐ- 30
λαλήθη. παρῃτήσαντο γὰρ τοῦτο καὶ ἄκοντες τοῖς τοῦ Πάπα ποσὶ προσκυλινδού-
μενοι, καὶ κατ' αὐτοῦ μὴ τολμῶντες ἀποφαίνεσθαι. περὶ δὲ καθαρτηρίου πυ-
ρὸς ὀλίγ' ἄττα, καὶ κατ' ἰδίαν ἐκινήθη, πρὶν ἢ τὴν σύνοδον ἀρχὴν λαβεῖν.
ἐκδεχομένων ἐλθεῖν τοὺς ἐκ τῆς ἐν Βασιλείᾳ συνόδου καὶ τοὺς τῶν ῥηγῶν πρέσ-
βεις, ὧν οὐδεὶς ἐντὸς διωρίας μηνῶν τεσσάρων παρεγίγνετο, ὁμοίως δὲ καὶ 35
περὶ ἀζύμου καὶ ἐνζύμου, καὶ περὶ τῆς τῶν ἁγίων ἀπολαύσεως. ἃ τέτταρα
κεφάλαια ἰδίᾳ μετέπιπτον ὑπὸ τοῦ βασιλέως ὡς ἔδοξεν ἐστέρχθησαν. καὶ οὐ-
δὲν ἐν συνόδῳ ἢ κοινῇ ἢ ἰδίᾳ προὐτέθη ἢ ἐξετάσθη καθὰ Συρόπουλος ἱστορεῖ.

Προσεκαλοῦντο πάλιν φῂς εἰς διάλεξιν καὶ προσηρεθίζοντο. ἀποκρί-
νεται ὑμῖν πολλάκις ὁ βασιλεὺς πρὸς τὸν ἀποσταλέντα καρδινάλιν Ἰ- 40
ουλιανὸν, ἡμεῖς πλέον οὐ διαλεγόμεθα, οὐ δὲ γὰρ ἀπορεῖτε ἐφευρεσιλογιῶν.

ἔχετε καὶ

ἔχετε καὶ συνήθειαν διαλεκτικὴν μὴ πείθεσθαι. ἀλλὰ πάντοτε ἀπολογεῖσθαι.
καὶ ὕστερον δημηγορεῖν, καθὼς πολλάκις ἐποιήσατε. καὶ ἐν τῇ δεκάτῃ πέμπτῃ
συνελεύσει ἐμβριθέστερον δημηγορήσαντος τοῦ Ἐφέσου περὶ τῆς ἀφαιρέσεως,
περὶ τῶν ἄλλων ἀμφισβητήσεων, τῆς προσθήκης, ὡς πρωταιτίου ὄντος σκαν-
δάλου καὶ αἰτίου τῆς διαιρέσεως, ἀπελογήσατο διὰ πλειόνων ὁ Ἰουλιανὸς εἰπ-
πὼν ἐὰν δέκα κεφάλαια προτείνῃς μύρια μέλλουσιν ἀπολογήσασθαι (ὅρα πει-
σμονὴν σατανικὴν) ὥστε ἀγανακτῆσαι πάντας τοὺς ἐξ ἡμῶν λέγοντας, ὅσα
ἄνω εἴρηται. ἔλεγον δὲ αὐτόθι καὶ περὶ τῆς προσθήκης οἱ λατῖνοι. ἡμεῖς οὐ περὶ
ἀναπτύξεως θέλομεν ἐρευνᾶν. οὐ δὲ πῶς προσετέθη ἐν τῷ συμβόλῳ ἡ ἐκ τοῦ υἱοῦ
φωνή. ἅπαξ γὰρ ἐτέθη, καὶ ἀδυνάτως ἔχει ἀφαιρεθῆναι. ὁ γὰρ Ἐφέσου ἔλε-
γεν, (ὡς ἐπιτροπῆς τοιαύτης οὔσης τῶν ἀνατολικῶν καὶ ὡς διεβεβαιοῦντο οἱ πρέσ-
βεις τῶν ἰβήρων, ὅτι τοιαύτην ὑπὸ τοῦ ἁγιωτάτου ἀντιοχείας εἶχον καὶ ἔλεγον
ἐν τέλει) ἐξαιρεθήτω ἡ προσθήκη ὑπὸ τοῦ συμβόλου (εἴγε ἀποδειχθῇ εὐσε-
βής) καὶ τεθήτω ἐν ἰδίῳ ὅρῳ. καὶ μάλα μὲν προθύμως εἰς τὴν ἐξέτασιν ἀπε-
δύοντο οἱ φιλαλήθεις Πατέρες τῆς ἀνατολῆς, καὶ τὸν καβάσιλαν ὁ ἡρακλείας
προήνεγκεν, ἐξηκριβωμένον τὰ μάλιστα, ὁδηγὸν εἰς τὰς διαλέξεις. ἀλλὰ
τίνος ἕνεκεν ὁ ὑποκλαπεὶς παρ' ὑμῶν Γρηγόριος ὁ πρωτοσύγκελλος ἀπε-
βάλλετο, ἐξυβρίζων εἰς τὸν ἄνδρα τὰ ἀεικέστατα, σχισματικὸν αὐτὸν ἀποκα-
λῶν καὶ ἀναθέματι τὸν ὀρθοδοξότατον διδάσκαλον καθυποβάλλων ὁ προδότης
καὶ γλωσσαλγος; πῶς προσεκαλεῖτε μὲν εἰς διαλέξεις, λόγους δὲ οὐ παρα-
δέχεσθε πρὸς διάλεξιν; διὰ τοῦτο καὶ ὁ Βασιλεὺς ἀπεκώλυε. τὸ μὲν αἰσθό-
μενος ὅτι οὐ διὰ φιλαλήθειαν, πρὸς ἔνδειξιν δὲ μᾶλλον αἱ διαλέξεις ἐξητοῦντο
παρ' ἡμῶν, καὶ φιλοτιμίαν, καὶ τὸ τέλος λογομαχίαν. τὸ δὲ ὅτι κατὰ μέθοδον
συλλογιστικὴν οὐδέποτε συνεπεραίνετο. χρῆμα τοῦτο καὶ τοῖς ἁγίοις ἡμῶν Πα-
τράσιν οὐ μόνον ἀσυνήθες καὶ δυσαπόδεκτον, ἀλλὰ καὶ ὡς ἀπάτης γέμον καὶ
σοφισμάτων ἀπόβλητον: τὸ γὰρ κήρυγμα ἡμῶν (φησὶ) Παῦλος οὐκ ἐν σοφίᾳ
ἀνθρώπων. καὶ ὁ πρωταπόστολος οὐκ ἐν σεσοφισμένοις μύθοις ἔφασκε καταγ-
γέλλειν τὴν παρουσίαν τοῦ θεοῦ. τρίτον ὅτι ἀνταγωνιζομένων ἑκατέρων οὐ πρὸς ζῆ-
λον, ἀλλὰ πρὸς θυμὸν ἐξηρεθίζοντο, καὶ τέλος ὅτι, τὸ ἀναγκαιότατον, κατα
χρήσεις ἁγίων προβαίνειν οὐκ ἀπεδέχοντο. Καὶ σὺ μὲν οὖν φὴς ὅτι προσεκα-
λοῦντο, προσερεθίζοντό τε καὶ ἠναγκάζοντο, εἰς διάλεξιν, τοὐναντίον δὲ
μᾶλλον δέδεικται. ἐκωλύοντο, ἀπεστομίζοντο, καὶ παρελογίζοντο.

β΄: κορινθ: ά:
πέτρος: β΄: ά:

Πρὸς δὲ τὸ κατεπεῖγον προτρέπεις ἡμᾶς, ἀνερευνῆσαι τὰς πράξεις καὶ τοὺς
λόγους, καὶ εἴ τι βίαιον καὶ παράλογον εὕρωμεν, ὅπως ἀποδοκιμάσωμεν,
καὶ λίαν σοι ἐπείσθημεν, καὶ χάριτας ὁμολογοῦμεν τῆς παραινέσεως. ἤδη γὰρ
καὶ πάλαι ἀνέγνωμεν καὶ ἔκτοπα πάντα τὰ ἐκεῖ γινόμενα διαγνόντες, ἀπε-
σκορακίσαμεν, εἴθε καὶ αὐτός. ἔοικας γὰρ μὴ ἐπιστῆσαι συνεχῶς τοῖς λεγομέ-
νοις ἐν ἐκείνοις, ἢ δρομαῖον σε ταῦτα παρεληλυθέναι, διὸ καὶ τοιαῦτα παρῄ-
νεσας ἡμᾶς. ἀντιπαραινοῦμεν δέ σοι καὶ ἡμεῖς, καὶ τοὺς κατὰ σε, ὅπως ἀκριβῶς
διεξερχόμενοι τὰ τῶν συνόδων, ἂν ὑπείκειν τούτοις μὴ βούλησθε, κἂν ἀδί-
κως μὴ λοιδορεῖν ἐπιχειρῆτε, καὶ παρενοχλεῖν τοῖς ὀρθὰ φρονοῦσι καὶ ἀσπαζο-
μένοις ταῦτα.

μένας ταῦτα, καὶ ἀπαράτρωτα διαφυλάττουσι. ἐπειδήπερ εἰς μνήμην ἡ-
μῖν τὸν βασιλέα προτίθεσθε, ἰδού σοι καὶ τοῦτο, καὶ τῶν ἐκείνου λόγων ἀ-
κροασάμενοι, πειθόμεθα καὶ δεχόμεθα. ὥσπερ ζητήσας παρὰ τοῦ Πάπα μετὰ
τὴν ἕνωσιν, καὶ τὴν ἐκείνου τῆς ἐπὶ τῇ ἑνώσει λειτουργίαν, τοῦ ἐπιτελεσθῆναι καὶ
τὴν κατὰ τοὺς ἀνατολικοὺς ἱερὰν μετὰ παρρησίας μυσταγωγίαν οὐκ ἔτυχε τῆς   5
αἰτήσεως, πολλὰ πολλάκις προφασιζομένου τοῦ ἀρχιερέως, ὡς οὐκ ἤδει πῶς τε-
λεῖται ἥ τῆς ἀνατολικῆς ἱερουργία (καὶ πῶς οὖν ἀγνοουμένου τοῦ μεγίστου μυ-
στηρίου συνεπεράνθη τὰ πρὸς τὴν ἕνωσιν, εἴποι τις ἂν πρὸς αὐτόν;) τὸ δ' ἀ-
ληθὲς εἰπεῖν αἰσχυνομένου τὰς τῶν ἀνατολικῶν ἱεροτελεστίας παρρησιάζεσθαι,
σεμνοτέρας καὶ ἱεροπρεπεστέρας οὔσας. τῶν παρὰ λατίνοις τελουμένων, καὶ   10
μᾶλλον πρὸς τὸν ἀκριβῆ τοῦ μυστηρίου σκοπὸν συντεινούσας. ὅθεν μὴ φέρων τὸν
φθόνον ὁ Ἰωάννης, πρὸς τοὺς ἄλλους ἔφη καὶ τοῦτο. ἡμεῖς ἐθαρροῦμεν διορ-
θῶσαι πολλὰ σφάλματα τῶν λατίνων. νυνὶ δ' ὁρῶμεν ὅτι ἐκεῖνοι οἱ καινοτο-
μήσαντες καὶ ἁμαρτόντες εἰς πολλὰ, βούλονται διορθοῦν ἡμᾶς, τοὺς μηδὲν τι
μεταποιήσαντας. κἀντεῦθεν παρῃτήσατο ὁ βασιλεὺς τὴν αἴτησιν τῆς λειτουρ-   15
γίας, καὶ ταῦτα μὲν αὐτολεξεὶ παρὰ συροπούλῳ. εἴπερ οὖν τὴν ἐν φλωρεντίᾳ
σύνοδον ἀποβάλλομεν ὡς φῂς ἀδίκως, ἐκ τῶν περὶ αὐτῆς ἱστορουμένων, εἰς
ἅπερ ἀποβλέπειν προτρέπεις, οὐδαμῶς δικάζεσθαι παραιτούμεθα.

Σωτηρίας ἐπείγεις ἐστὶ τοῦτο πραγματεία, καὶ λόγον ἀποδώσετε τῷ ἀδε-
κάστῳ κριτῇ. ναὶ μὴν καὶ μάλιστα εἰκότως. διὰ τοῦτο οὐκ αἰσχυνόμε-   20
θα, τὴν καλὴν ὁμολογίαν μετὰ τῶν πατέρων ἡμῶν, καὶ ἐν δεσμοῖς καὶ ἐν αἰ-
χμαλωσίᾳ, οὐ γὰρ ὑμᾶς τὰ πρὸς κόσμον εὖ ἔχοντας, κολακεύομεν, οὔτε φθο-
νοῦμεν, οὔτε παραζηλοῦμεν. μᾶλλον γὰρ καὶ ὑβριζόμενοι ἀνεχόμεθα. μεμνη-
μένοι τοῦ προφητεύοντος, ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ
μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν, καὶ οἱ πρὸ ἡμῶν, εἰ καὶ   25
προφανῆ τὸν τῆς ἁλώσεως κίνδυνον εἶχον πρὸ ὀφθαλμῶν ἐπικείμενον, προεί-
λοντο μᾶλλον τὴν σωματικὴν ὑπὸ ἀλλοεθνῶν δουλείαν, ἢ τὰς ἐξ ὑμῶν συ-
μμαχίας μετὰ δουλοπρεποῦς ἑτεροδόξων φρονήματος καὶ χάρις τῇ ἀνωτάτῳ
προνοίᾳ. ἔκτοτε γὰρ μετὰ τὴν κατὰ κόσμον ὑποταγὴν, εἰρήνης ἀπολαύει βα-
θείας τὰ τῆς πίστεως παρ' ἡμῖν. καὶ προβιβάζεται τὰ τῆς ἐκκλησίας, νῦν μᾶ-   30
λλον ὑπὸ τὸν ἀλλότριον, ἢ τὸ πρότερον ἐφ' ὑμᾶς. τότε γὰρ ὄντως ἐδουλεύομε-
θα ἐκκλησιῶν ὑστερούμενοι, καὶ ποιμένων, τὸ χεῖριστον, ἢ βασιλέων, ἀλλὰ χαι-
ρέτω ταῦτα. τὸ προτεθὲν ἐπαναλάβωμεν.

Τίνι λόγῳ (προσφωνεῖς) τῆς κοινῆς συνόδου ἀπέστητε.

Καὶ τὸν ἄρραφον τοῦ Χριστοῦ χιτῶνα αἰσχρᾷ διαιρέσει διερρήξατε. λέγομεν   35
μᾶλλον ὑμεῖς, ὅτι οἱ λατῖνοι τῶν κοινῶν συνόδων ἀπέστησαν ἑαυτοὺς,
τὰ μέγιστα καινοτομήσαντες περὶ πίστιν, καὶ παραδόσεις. ἡμεῖς ἑστήκαμεν
Θεοῦ χάριτι ἐν ὑπακοῇ τῶν συνόδων. κοινὴν σύνοδον, οὐ τὴν ἀπατη-
λὴν τὴν ἐν φερραρείᾳ καὶ φλωρεντίᾳ ἡγούμεθα, ἀλλὰ τῶν ἁγιωτάτων Πα-
τριαρχῶν τῶν κατ' αὐτῆς ἀποφηναμένων, καὶ τὰς προηγησαμένας ἑπτὰ   40
οἰκουμενικάς. εἰ μὴ σύνοδον τὰς μηχανουργίας τοῦ ἀρχιερέως, καὶ βησσαρίωνος,

καὶ ἰσιδώρου

καὶ Ἰσιδώρου φαίης καὶ τοῦ Μιτυλήνης, οὓς ἀπατεῶνας καλεῖν εἰκὸς μᾶλλον
καὶ προδότας τῆς ἐκκλησίας, καὶ οὐχὶ Πατέρας, οὗτοι γὰρ ὄντως ταῖς οἰκείαις
δολοῤῥαφίαις τὸν ἄῤῥαφον τοῦ Χριστοῦ χιτῶνα διέῤῥηξαν, ἤτοι τὴν ἀχειροποίη-
τον πίστιν αὐχηρᾷ διαιρέσει τοὺς οἰκείους ἀδελφοὺς εἰς διαφωνίας διελόντες. Καὶ
5 περὶ τούτων οἱ εὑρεταὶ τῆς προσθήκης καὶ κακοὶ διορθωταὶ τοῦ συμβόλου.

Ἐπὶ δὲ τὸ λέγειν διεφθάρθαι τοὺς ἐκ τῶν ἀνατολικῶν χρυσίῳ.

Ἐσχάτης ἐστὶ τοῦτο πονηρίας. ἀλλὰ μὴν διεφθάρησαν ὡς ἀνωτέρω διεξι-
όντες ἐγράφομεν περὶ τοῦ, ὅπως συνεπεράνθη. καὶ ἄνευ τοῦ σκοποῦ τούτου οὐ-
δὲν ἐγένετο, οὐδ' ἂν ἐκ τῆς πόλεως ὡρμήσαμεν, μὴ γὰρ διὰ ζῆλον ὀρθοδοξίας.
10 περὶ ἧς καὶ συνελθόντες ἐκινδυνεύομεν, ἢ διὰ πόθον ἑνώσεως, ἥτις δουλείαν
ὑπεμηχανᾶτο; ἄκουσον ὁμολογοῦντος τοῦ βασιλέως αὐτοῦ παρὰ Συροπούλῳ,
πρὸς τὸν Πάπαν αὐτολεξεί. ἐγὼ συνισταμένης τῆς πόλεως ἐν τῇ τάξει αὐ-
τῆς, οὕτως ἀποδέχομαι καὶ τὴν ἕνωσιν. εἰδ' ἕτερον τι συμβῇ εἰς αὐτὴν, περισ-
σὸν ἡγήσομαι τὴν ἕνωσιν, ὥστε ὑπὲρ συμμαχίας ἦν τοῖς κινδυνεύουσιν ἡ ἕνωσις
15 αὕτη καὶ βοηθείας, μᾶλλον δὲ τῆς ἐσχάτης πανωλεθρίας. τὸ μὲν τὰ ἴδια πα-
ραλιπόντων ἐνιαυτοὺς δύο καὶ ἐπέκεινα. ὅθεν εἰς μηχανὰς καὶ ὑποψίας τὸν
πολέμιον ἐξηρέθισαν. τὸ δὲ ἀρωγοὺς ἀξιολόγους τῆς ἑνώσεως μηδαμῶς κληρω-
μένων. καὶ οὐ μόνον σκοπῷ τοιούτῳ ἐφέρετο ὁ κρατῶν, ἀλλὰ καὶ τὸ ἀναξιώτατος
οἱ ἀρχιερεῖς αὐτοὶ χρυσίῳ δελεαζόμενοι συνεπήγοντο. δότω μοι ἔλεγεν ὁ
20 Μιτυλήνης (παρὰ τῷ Συροπούλῳ) δότω μοι ὁ Πάπας φλωρία διανεῖμαι οἷς ἐγὼ
γινώσκω, ἢ μὴν συμβιβάσω εἰς ἕνωσιν. καὶ λαβὼν καὶ χορηγήσας τοῖς ἀνε-
λευθέροις, τὰς ψήφους ὑπὲρ Λατίνων ἐπλήθυνε. καὶ τὸ χεῖρον λιμαγχο-
νουμένων τῶν ἐνδεεστέρων ἐλλείψει τῶν μηνιαίων τροφείων (παρῆλθον γὰρ πολ-
λάκις καὶ τέσσαρες καὶ πέντε μῆνες μὴ δοθὲν τι σιτηρέσιον) τέλος ἐδόθη πολὺ
25 χειροφόρῳ τῷ Κορώνης Λατίνῳ ἐπισκόπῳ τῷ καὶ τὸ ἔργον ἀρχῆθεν τῆς πραγ-
ματείας ταύτης ἐγχειρισθέντι, ἐδόθη φημὶ ὑπὸ τοῦ καμεραρίου καρ-
διναλέως ἀνεψιοῦ τοῦ Πάπα, ἀντὶ τετραμηνιαίου διμηνιαῖον παρελθὸν σιτηρέ-
σιον ἀπενέγκασθε τοῖς ἀνατολικοῖς. ἔφη δὲ ὁ χορηγῶν καρδινάλις. δοθήτω
καὶ τὸ ψυχικὸν τοῦτο τοῦ Πάπα ὡσανεὶ ἔῤῥιπτας εἰς τὴν θάλασσαν. ἄρα φιλο-
30 ξενίας ἀπόφθεγμα, ἢ μᾶλλον ἀπογνώσεως. ὁ δὲ κομιζόμενος καὶ παραδοὺς
εἰς διανομὴν τοῖς ἐπιτρόποις, προσέθηκεν ἐν τελάμωνι, ἐκ τούτων μη-
δὲν τῷ Ἐφέσου μεταδοῦναι Μάρκῳ, ὅτι ἤθετε τὸν ἄρτον τοῦ Πάπα ὡς ὁ Ἰούδας.
ἢ ἄρα χρυσίον οὐδιενέμετο εἰς τὸ ὑποκλέψαι τὰς τῶν ἀνθρώπων διανοίας;
ἢ ἄρα οὐκ ὤνια ταῖς λάθρα διδομέναις δωροδοκίαις τὰ τῶν διαλεγομένων καὶ
35 ψηφιζόντων στόματα ἦσαν, καὶ χεῖρες ἐμισθοῦντο χρυσίῳ πρὸς τὸ ὑπογράφειν;
καὶ πάνυ μενοῦν. καὶ γὰρ ἐπεὶ ἀπράκτους ἑώρων παρερχομένους τοὺς μῆνας,
ἔλεγον εἰς θάλασσαν ἀποῤῥίπτειν τὸ τῶν τροφείων χρυσίον. εἰ γοῦν ὁ Μάρκος
μὴ συγκαταβαίνων εἰς τὰ ἄτοπα ἐκεῖνα καινοτομήματα, Ἰούδας ἐπωνομάζετο,
πῶς ἄραγε οἱ Μάρκου τὸ πρότερον σύμφωνες, καὶ εἰς τέλος μὴ διαμείναντες, ἢ
40 χρυσίῳ διαφθαρέντες, ἢ προσπαθῶς ὑποκλαπέντες, οὐ νομισθεῖεν μᾶλλον προ-
δόται κατὰ τὸν Ἰσκαριώτην Ἰούδαν; μᾶλλον δὲ τοῦτο ἐσχάτης ἦν πονηρίας τοῦ

ἀγγείων, τοῖς ἱεροσύλοις συλλόγοις, οὐ μόνον ἔστησαν τὰς πάλαι καινοτομίας, ἀλλὰ καὶ αὐτὸς ἂν ἐπεπίστευε σύνοδον τὴν ἐν βασιλεία. αὐτὰ ποδύεται τῇ σκέψει τῶν ῥωμαίων, καὶ δελεασθέντας χρυσαῖς ὑποσχέσεσιν. ἀφ' ἧς συνεπεφανήκεισαν συνελθεῖν σύνοδον ἀπαγαγεῖν, ὑπὸ συροπούλου ἱερέως νῦν, ἄγνωστε ὑμῖν ὄντα. ἀλλ' ἀπὸ τῆς ι' ιέ: καὶ τελευταίας τῆς ἐν φερραρίᾳ συνελεύσεως. ἐπεὶ μὴ βουλομένοις τοῖς ἡμετέροις ἀρχιερεῦσι μεταθέσθαι εἰς φλωρεντίαν τὴν σύνοδον, ὁ βασιλεὺς ἔλεγε, καὶ πῶς ἔχομεν ζητῆσαι ἔξοδον καὶ τριήρεις παρ' αὐτῶν, ἐὰν μὴ ἀκολουθήσωμεν αὐτοῖς ἔνθα εἰσὶν αἱ ἔξοδοι καὶ τὰ ἀναλώματα; καὶ κατωτέρω ἔλεγεν αὐτοῖς ὁ πάπας ταῦτα. ἐπίστασθε ἀκριβῶς ὅτι οὐδὲν ἔχω δώσειν ὑμῖν ἐν φερραρίᾳ ἐπειδὴ ὅσα ἠλπίζομεν οὐκ ἦν ἐν ἐκδόσει. λοιπὸν οἱ φλωρεντῖνοι δανείζουσιν ἡμῖν τεσσαράκοντα χρυσίων χιλιάδας, ὅπως μεταθήσωμεν ἐκεῖσε τὴν σύνοδον. ἀκολουθήσατέ μοι εἰς φλωρεντίαν, καὶ ὑπόσχομαι δώσειν ἐν τῇ κωνσταντινουπόλει ὑπὲρ βοηθείας χρυσίον χιλιάδας δώδεκα, καὶ τριήρεις δύο, ὑμῖν δὲ ὅσα φλωρία χρεωστῶ (ταῦτα δ' ἦσαν πέντε μηνῶν προφεῖα, ὧν ὑστεροῦντο ὡς κατωτέρω, καὶ ἐστενοχωροῦντο οἱ ἐπὶ ξένης, ὥστε διαπιπράσκειν τὰ ἴδια ἐπίπλα) καὶ πάγγην ἀνελλιπῶς λαμβάνειν καὶ μηνα τὸ διατεταγμένον ὑμῖν. καὶ κατωτέρω ὁ βασιλεύς. δότε γνώμην ἢ ἵνα λάβωμεν τὴν δόσιν ταύτην τοῦ πάπα, καὶ ἀπέλθωμεν εἰς φλωρεντίαν ἢ ἵνα παραιτησώμεθα αὐτόν, καὶ ἐπιστρέψωμεν εἰς τὴν πατρίδα ἡμῶν. πλὴν σκέψασθε πῶς μέλλομεν ἀπελθεῖν. καὶ ἐὰν ἔχωμεν ἔξοδον, καὶ ἐὰν ἔχῃ βοήθειαν ἡ κωνσταντινούπολις. ὁρᾷς τοίνυν ἐπιπεπραμένοι ἦσαν χρυσίῳ τὴν γνώμην διὰ πενίαν.

Καὶ εἰ ἀπίθανον, ὃ λέγεις καὶ ἀνάξιον, λατίνοις καὶ γραικοῖς χρυσίῳ τὴν πίστιν πραγματεύεσθαι; καὶ ὅτι μὲν ἀνάξιον ἦν τοῦτο γενέσθαι, μεταξὺ δύο λαμπροτάτων γενῶν ἑλλήνων τε καὶ λατίνων, καὶ ταῦτα χριστιανῶν, καὶ ὀρθοδοξίαν ἀμφοτέρων αὐχούντων καὶ ἡμεῖς λέγομεν. ὅτι δὲ, ὡς φῂς, καὶ ἀπίθανον, παραλογίζῃ ἐν ταύτῃ τῶν πραγμάτων αὐτῶν πειθόντων, καὶ τῶν παρ' ὑμῖν καὶ ἡμῖν πρακτικῶν ἀριδήλως μαρτυρούντων. εἰ οὖν τολμηθείησοι ἀντιλέγειν τῷ παρ' ἡμῖν τοῦ συροπούλου πείθηται κἂν γοῦν τῷ ὑμετέρῳ, καὶ πεπιστωμένῳ ἐνρώμῃ λέγοντι ὅσα ἀνωτέρω;

Ὁ δὲ θαυμάζεις πῶς τοῦτο παραχωρεῖ ὁ Θεὸς καὶ οὐκ ἀποκωλύει, εὐχερὲς καὶ τοῖς μικρὸν εἰσαγωγικοῖς περὶ τὴν γραφὴν διαλύειν τὴν ἔκπληξιν. εἴπερ καὶ παραχωρεῖ τοιαῦτα, ὡς καὶ τὰ ἐν τῇ λῃστρικῇ τῇ τοῦ διοσκόρου ἐν ἐφέσῳ, ἀλλ' οἰκονομεῖ καὶ κρείττω διόρθωσιν. οὕτω κἀνταῦθα ὅσον ἐπονηρεύσαντο ἄνθρωποι, οὐδὲν τῆς ἀνατολικῆς ἐκκλησίας ἐλυμήναντο τὴν ἀσφάλειαν, μᾶλλον δὲ καὶ εἰς κρεῖττον αὕτη ἠχυρώθη γνοῦσα ἔκτοτε τὰς τῶν δυτικῶν διαθέσεις, προείλοντο γὰρ καταισχῦναι τὸν πόλεμον τῆς βασιλείας ῥωμαίων ἢ τῆς ἐκκλησίας κατακρατῆσαι τὴν αἵρεσιν.

Ὁ δὲ τελευταῖον ἐπάγεις ἀκόλουθον ἐσφάλθαι τῆς τοῦ Θεοῦ ἐπαγγελίας τὴν οἰκουμενικὴν σύνοδον ἐκ τούτου μᾶλλον ἔπεισι δείκνυσθαι, μὴ νόμιμον εἶναι, μὴ δὲ ἐν ἁγίῳ πνεύματι συναγηγέρθαι, μὴ δὲ εἰς ὄνομα

κυρίου.

κύριοι, ἤτοι τῆς εἰρήνης, καὶ δικαιοσύνης, καὶ ἀληθείας, ἀλλ' ὑπὲρ θρη-
σκείας ἀνθρώπων, καὶ ἑπομένους οἴχεσθαί σου καὶ ματαιοῦσθαι τὴν πρότασιν. οὐ
γὰρ ἄδικος καὶ ἀναπολόγητος, ὡς φῄς, ἀλλὰ δικαία καὶ ἀπροσκλιμάτιστος
ἡ τῶν κακῶς συμφρονησάντων, εἶτα καλῶς μεταγνοούντων, καὶ ἡμῶν τῶν οὐδέ-
ποτε ἀποδεξαμένων τῆς ἀπατηλῆς καὶ σιμωνιακῆς συνόδου, ἀπόστασις.

Πρὸς τὰ τοῦ μεγάλου Ἀθανασίου καὶ τῆς ἐν Νικαίᾳ συνόδου ἀραρότως ἔχουσι
πρὸς ὁμοίας συνόδους θεοσπουδάστους, οὐ πρὸς τὴν ὑμετέραν τὴν ἐν Φλω-
ρεντίᾳ, περὶ ἧς τὸ Ἱερεμίου μᾶλλον ἂν ἐφαρμόσειε· ψευδῆ οἱ προφῆται προ-
φητεύουσιν ἐπὶ τῷ ὀνόματί μου· οὐκ ἀπέστειλα αὐτούς, καὶ οὐκ ἐνετειλάμην
αὐτοῖς, καὶ οὐκ ἐλάλησα πρὸς αὐτούς, ὅτι ὁράσεις ψευδεῖς, καὶ μαντείας,
καὶ οἰωνίσματα, καὶ προαιρέσεις καρδίας αὐτῶν αὐτοὶ προφητεύουσιν ὑμῖν.
Ταῦτα μὲν οὖν τοιαύτῃ προσήκουσι συνόδῳ, οὐ τῇ ἀποστολικῇ ἀποφαινομένης
οὕτως· ἔδοξεν ἡμῖν καὶ τῷ ἁγίῳ πνεύματι. ὥστε οἱ ἀνανεύσαντες καὶ παλινῳδή-
σαντες εὐλογίας ἄξιοι καὶ εὐχῆς εἰσί. κατάρας δ' οἱ τῇ ἀπάτῃ ἐπιμείναντες,
στεργόμενοι δὲ καὶ ὡς ἐξεφώνησας τὰ ἀπὸ τῆς ἁγίας πρώτης συνόδου λεγόμενα,
ἀνάθεμα τοῖς ἐπὶ τούτοις ζηλοῦσι, καὶ τὰ ἀπὸ τῆς γ': καὶ ἑβδόμης ὁμοίως,
ἀνάθεμα τοῖς προστιθεμένοις, ἀνακηρυξάσης, ἢ ἀφαιροῦσι τοὺς ὅρους τῶν Πα-
τέρων. οἱ ἀμφότερα τοίνυν τετολμηκότες καὶ ζηλοῦντες ἐπὶ τοὺς ἀνεκφρά-
στους τῆς κρυφιομύστου θεαρχίας τὸν ἀκατάληπτον τρόπον τῆς γεννήσεως, καὶ
μᾶλλον ἔτι τῆς ἐκπορεύσεως, καὶ τὴν κοινὴν τῆς πίστεως ὁμολογίαν καινοτομή-
σαντες, ὑπεύθυνοι ἔστωσαν.

ΤΜΗ͂ΜΑ Θʹ

Ἐκνευροῦται ἡ αὐθεντεία τῶν ἀντιμαχομένων τῇ Λατίνων ἐκκλησίᾳ, καὶ τῇ κοινωνίᾳ αὐτῆς.

Καὶ τοῦτο σοι μάλιστα ἀποθαυμάσει εἰς ἀντέλεγχον σὸν περιίστασθαι. βουλό-
μενος γὰρ δεῖξαι τοὺς πρώτους ἀντιστάντας τοῖς Πάπαις μὴ γεγονέναι ἄν-
δρας θεοφιλεῖς, ὅτι καὶ δυστυχῶς ἐν ἐξορίαις τὸν βίον μετήλλαξαν, καὶ
ὅτι ἀσύμφωνοι πρὸς ἑαυτοὺς οἱ περὶ ὑμῶν ἀνακρίνοντες, καὶ ἑπομένους μηδὲν
αὐτοῖς προσέχειν, ἔλαθες εἰς ἀρχιερεῖς ἐμπεσὼν τῷ ὄντι θεοσεβεστάτους, ἁ-
γιότητι (τοὺς πρώτους μάλιστα) καὶ ποιμαντικῇ διακρίσει θείας ἐκφάναντας,
οἷς ἑπόμεθα καὶ ἡμεῖς ὁλοψύχως τὰς σὰς φλυαρίας, ὡς ἀμαθῶν ἀπάτας
ἀπορραπίσαντες. Πρῶτον, εὐφήμιον δεύτερον καλλινίκιον παράγεις, ὡς τὰ α´ β´
τοῦ σχίσματος σπέρματα δῆθεν τὴν ἀρχὴν καταβαλόντας. ἀμφοτέρους
ἐξωσθέντας, καὶ τὸν μὲν συνοδικῶς κατακριθέντα, καὶ ἀφορισθέντα, χάριν
Ἀναστασίου τοῦ βασιλέως. τὸν δὲ καὶ ἐκτυφλωθέντα. Τρίτον ὁμοίως καὶ Φώ- γ´
τιον, καὶ τέταρτον τὸν κηρουλάριον Μιχαήλ, τὸν μὲν ὑπὸ λέοντος τοῦ σοφοῦ, δ´
τὸν δὲ ὑπὸ Ἰσαακίου κομνηνοῦ ἐκβληθέντας. πέμπτον, ἐκ τῶν ἀνατολικῶν ε´
διδασκάλων εὑρίσκεις περὶ ὑμῶν πρὸς ἀλλήλους διαμαχομένους. τὸν μὲν
χωματηνὸν Δημήτριον καὶ θεοφύλακτον τοὺς Βουλγαρίας ἀρχιεπισκόπους, καὶ
Ἰωάννην τὸν κύπρου ἐπίσκοπον, τῶν μὲν τὰ ἄζυμα τοὺς λατίνους ἀποδεχο-

μένους, καὶ δὲ τὸ δόγμα τῆς ἐκπορεύσεως κατακρίνοντας. ὅμως οὐδαμῶς
ἀποβάλλοντας τῆς συναναστροφῆς καὶ προσδοχῆς τοὺς λατίνους, ἐπειδήπερ οὔ-
ς' πω δόγμα ἐξηνέχθη συνοδικὸν ὡς αἱρετικὸν ἀποβάλλων αὐτούς. Ἕκτον ἐξ ἐ-
ναντίας Νικηφόρον τὸν Ξανθόπουλον ἐν ὑπομνήματι (τῆς ἁγίας δῆθεν καὶ με-
γάλης πέμπτης) διαγράφοντα καὶ ὀνειδίζοντα τοὺς λατίνους τῷ ψαλμικῷ
ζ' ῥητῷ αἰσχυνθήτωσαν πάντες οἱ τὰ ἄζυμα λατρεύοντες. Ἕβδομον καὶ ἄλλοι
δὲ ἄλλα προστρίψαι λατίνοις ἐγκλήματα, οἱ καβάσιλας, παλαμᾶς, καὶ
ἄλλοι μετὰ κηρουλαρίου, ὃς καὶ τῷ ξυρεῖν αὐτοῖς τὸν πώγωνα ἐνεκάλεσεν, ὥστε
συνάγεις ἐντεῦθεν ὅτι οἱ μὲν τῶν ἀνατολικῶν ἀποστρέφονται λατίνους, οἱ δὲ ὡς
η' ἀδελφοὺς προσίενται διδάσκουσιν, ἀσύμφωνα πάντη λέγοντες ἑαυτοῖς. ὄγδοον,
παρακαπῶν δ' εἰς τὸν Ἐφέσιον Μάρκον, καὶ αὐτὸν ἑαυτῷ ἀσύμφωνον παρει-
σάγεις. ἐν μὲν ἄλλοις (ἃ διαλέλυται ὄντα διὰ συντομίαν ἐῶμεν) καὶ ἐν τούτῳ,
ὅτι μετὰ τὰς προτεθειμένας ἰδίᾳ διαλέξεις, ὅπου περὶ καθαρτηρίου πυρὸς, περὶ
ἀζύμου καὶ ἄλλων τινῶν διεπραγματεύοντο, καλῶς ἔχειν ὡμολόγησε πάντα
πλὴν τῆς προσθήκης, ἣν ἐκ τοῦ συμβόλου περιαιρεῖσθαι διηγόρευε, καὶ ἐν ἄλλῳ
τεθῆναι ὅρῳ. ὅθεν καὶ ὀρθόδοξον συνάγεται συγχωρεῖσθαι τὸ δόγμα. μετὰ δὲ ταῦ-
τα, τὰ πάντα ἐνεγκληματεύειν. εἶτα βλασφημεῖν τὸν ἄνδρα, ἀποφραγί-
ζεις, ὅτι τὸ διπλοῦν ἐκεῖνο στόμα καὶ βλάσφημον, ἅμα καὶ νόσον καὶ ψυ-
θ' χὴν ἀκάθαρτον ἀπέρρηξεν ὡς ἡ Κωνσταντινούπολις ἔγνω σύμπασα. ἔνατον.
τέλος συνάγεις τῶν ἐκκλησιῶν τὴν μὲν λατινίδα παρρησιάζειν Χριστῷ, καθ'
ἧς οὐ δὲ τῶν συκοφαντούντων ἴσαι αἱ μαρτυρίαι. τὴν δ' ἀνατολικὴν τὰς χεί-
ρονας ἀναγορεύων ἔχειν νῦν περὶ τῆς λατινίδος ὑπολήψεις, οὐ μόνον ὁ-
λοκλήρων συνόδων ἀθετούσας τὰ δόγματα, ἀλλὰ καὶ πολλῶν ἐν αὐτῇ διδασκά-
λων τὰς ψήφους ὡσαύτως τὰ ἐκείνης ἀποδοκιμαζόντων.

ἈΠΌΚΡΙΣΙΣ

Ὄντως θεαρχικῆς σοφίας ἀψευδέστατη φωνὴ, ἐκ τοῦ περισσεύοντος τῆς
καρδίας ἡ γλῶσσα λαλεῖ. καὶ δένδρον σαπρὸν οὐ δύναται καρποὺς κα-
λοὺς ποιεῖν. ἤτοι ἡ καρδία τῇ πικρίᾳ τοῦ μίσους καὶ τοῦ πάθους ἐκτε-
τηκυῖα, λογισμοὺς καὶ λόγους οὐ δύναται, εἰ μὴ πικροὺς καὶ λυσσώδεις ἐπιφέ-
ρειν. εὐφήμιον ὁμολογοῦμεν ἀντιστάντα Γελασίῳ περὶ τοῦ ἐν διπτύχοις ἀκακίου,
ὃν ἐκβαλεῖν ὁ Πάπας διεκελεύετο, ὁ δὲ τὸν περὶ αὐτοῦ τιμῶν, ὡς ἀδίκως κα-
τακρινόμενον, οὐκ ἠνείχετο. ἔδει προσθεῖναί σε εἴπερ τὰς ἱστορίας ᾔδεις, καὶ
μακεδόνιον πρὸς σύμμαχον ὁμοίως Πάπαν διαμαχόμενον περὶ ἀμφοτέρων, ἀ-
λλὰ δὴ καὶ πολύκαρπον σμύρνης γράψαι σχίσματος καὶ κυπριανὸν, τὸν μὲν ἀνι-
κήτῳ, μὴ πειθόμενον, τὸν δὲ κορνηλίῳ καὶ ἀντιφερόμενον, πρὸς τούτοις καὶ αὐγου-
στῖνον τὸν πάνυ, τῷ ἀρχιποιμένι ἄφρων εἰ καὶ οὐ τῇ δόξῃ, τῇ ἐξουσίᾳ ὅμως προσ-
κείμενον, καὶ τῇ συνόδῳ τῆς οἰκουμένης τὸ πᾶν ἀνατιθέμενον. καὶ σὺ μὲν εὐφή-
μιον, καλλίνικον, καὶ περὶ τούτου Μακεδόνιον ἀποφαίνῃ πρωταιτίους εἶναι τοῦ σχίσ-
ματος. ἐγὼ δὲ τοὺς Πάπας ἐκείνους πρωταιτίους καὶ χορηγοὺς τῶν σκανδάλων
μᾶλλον εἴποιμι πολλάκις. ἀποφηνάσθω δὲ κοινὴ καὶ μεγάλη σύνοδος ἡ

ἐπὶ πολὺ

ἐπὶ πολὺ νομισθεῖσα πέμπτη οἰκουμενική. λέγω δὴ ἡ ἐπὶ Μηνᾶ τοῦ ἁγι-
ωτάτου Κωνσταντινουπόλεως, συνεδρευόντων αὐτῷ καὶ ληγάτων περίπου
δέκα τῆς ἀποστολικῆς ῥωμαίων καθέδρας, Ἀγαπητοῦ, καὶ τῶν μετ' αὐτὸν Σιλ-
βερίου καὶ Βιγιλίου ῥωμαϊκῶν ἀρχιερέων, καὶ τοῦ Ἀντιοχείας Εὐφραιμίου καὶ τοῦ
Ἱεροσολύμων Πέτρου, ἰνδικτιῶνος : ιδ΄ : ὅπη καὶ ἀνεγνώσθη καὶ ἐκυρώθη τὰ
ἐπὶ Ἰωάννου τοῦ ἁγιωτάτου Κωνσταντινουπόλεως συνοδικὰ ἰνδικτιῶνος : ια΄. ἔνθα
καὶ αἰτητικαὶ ἐν στήλαις ἐκβοήσεις τῶν μυριάδων τοῦ λαοῦ, καὶ οἱ λίβελλοι τῶν
μοναστηρίων ὑπερέχουσαν, ὥστε ἀνακαλεῖσθαι τῆς ἀδίκου ἐξορίας, καὶ μετὰ
τὴν ὁσίαν κοίμησιν, Εὐφήμιον καὶ Μακεδόνιον, καὶ τὰ λείψανα αὐτῶν τιμη-
θῆναι, καὶ τὴν μνήμην αὐτῶν. ἔστι δ' ἡ ψῆφος ἡ συνοδικὴ αὕτη. Ἡμεῖς
τὰ πεπραγμένα ἐπ' αὐτοῖς ζητήσαντες καὶ γνόντες, ὡς τὰ πλεῖστα τούτων, οὔτε
συνακριβείᾳ προῆλθον, οὔτε πίστεως ἕνεκα δικαίως τὴν ἐκβολὴν ὑπέμει-
ναν οἱ προμνημονευθέντες Πατέρες, Εὐφήμιος καὶ Μακεδόνιος, οὔτε ὡς πα-
ραχαλάσαντές τι τῶν προτέρων τῇ ὀρθοδοξίᾳ πεφυλαγμένων (συνέστη ὅτι τὸ
παραχαλάσειν τὰ πεφυλαγμένα περὶ πίστιν, ἄξιον καθαιρέσεως) ἀναγκαῖον
ἐλογισάμεθα τὰς αἰτήσεις παντὸς τοῦ λαοῦ σὺν γυναιξὶ καὶ παισί, καὶ πάσης
ἀξίας καὶ στρατείας, ἀλλὰ μὴν καὶ τοῦ μοναχικοῦ τάγματος, ἐπιμόνως ἐκ
βοησάντων καὶ τοὺς προσδοθέντας λιβέλλους, τὸ ἱκανὸν μετὰ τῆς ἀληθείας ποιῆ-
σαι, ἵνα καθὼς καὶ οἱ ἐν ἁγίᾳ τῇ μνήμῃ Παῦλος, καὶ Ἰωάννης καὶ Φλαυι-
ανὸς, Πατέρες ταύτης τῆς βασιλίδος πόλεως γενόμενοι, ἀνεκλήθησαν, οὕτω
καὶ αὐτοί, (Εὐφήμιος καὶ Μακεδόνιος) τῆς αὐτῆς τιμῆς καὶ τῆς ἐν ταῖς ἱεραῖς
δέλτοις μνήμης ἀξιωθῶσι, καὶ ἀνωτέρω πάντων ἀργῶν μενόντων τῶν κατ'
αὐτῶν ὁπωσοῦν γενομένων, καὶ κατωτέρω ὥστε καὶ τοὺς διὰ τὴν αἰτίαν τῶν εἰ-
ρημένων Πατέρων, Εὐφημίου φαμὲν καὶ Μακεδονίου, ἐξορισθέντας καὶ φυγα-
δευθέντας, ἐπανελθόντας ἀποδοθῆναι τοῖς ἰδίοις βαθμοῖς. Ὁρᾷς οἵους ἄν-
δρας ἐπὶ σχίσματι κατακρίνεις, οἷς καὶ μετὰ θάνατον ἀθωωθεῖσι, καὶ ὡς ἁγίοις
τιμηθεῖσιν, ἴσα Παύλῳ καὶ Φλαυιανῷ τοῖς περιωνύμοις ὁμολογηταῖς, καὶ Ἰ-
ωάννῃ τῷ τὰ πάντα χρυσαυγεστάτῳ, ἑνοῦται καὶ συνάπτεται ἡ καθολικὴ ἐκκλη-
σία. οὐ μόνον οὗτοι πρωταίτιοι τοῦ σχίσματος, ἀλλὰ σὺ καὶ οἱ κατὰ σὲ σχίσμα-
τος ἔνοχοι καὶ βλασφημίας, ὡς τοῖς ἀδίκως κριθεῖσι, μετὰ τῶν ἀνόμως
κρινάντων συνεπιψηφίζοντες, καὶ συνεπιτιθέμενοι.

Συνάπτεις τοῖς πρωταιτίοις τοῦ σχίσματος καὶ Καλλίνικον, ὡς ἀρχηγὸν τῆς
ἐντεῦθεν πεπλανημένης, οὕτως ὑπὸ σοῦ βλασφημουμένης ἀμαθῶς καὶ μετ'
ἐπαχθείας, συνόδου. ἡμεῖς ἀνωτέρω σε πλανώμενον ἀπεδείξαμεν περὶ Καλλινί-
κου, οὐ γὰρ αὐτός, ἀλλ' ὁ πρὸ αὐτοῦ Παῦλος ἐξῆρχε τῆς ἁγίας ἐκείνης καὶ οἰ-
κουμενικῆς συνόδου μετὰ καὶ τῶν λοιπῶν ἁγιωτάτων Πατριαρχῶν, ἀλλὰ δὴ καὶ
οὗτος ὁ Παῦλος ἐν τοῖς ἁγίοις ἐγγέγραπται. δύο γὰρ μετὰ τὸν μέγαν ὁμο-
λογητὴν καὶ μάρτυρα, νέων τῇ προσηγορίᾳ μνημονευομένων, τούτου δὴ καὶ τοῦ
κυπρίου τοῦ ἐπὶ τῶν πρώτων εἰκονομάχων, ἄμφω κατὰ τὸν αὔγουστον ἑορτάζονται.
ὁ μὲν πρῶτος εἰκοστῇ, ὁ δὲ τριακοστῇ τοῦ μηνός. ἄγε δὴ τὰ εἴη ἂν καὶ Καλλί-
νικος. εἰ γὰρ μὴ προήδρευε τότε, ἀλλά γε παρῆν, ὡς ἐν κλήρῳ τεταγμένος
σκευοφύλαξ.

Ψῆφος συνοδικὴ περὶ Εὐφημίου, καὶ Μακεδονίου τῶν ὀρθοδόξων Πατριαρχῶν.

σκευοφύλαξ, καὶ συνευδόκει, καὶ μετὰ δύο ἔτη Πατριάρχης διέπρεπε, καὶ τὰ τῆς συνόδου προυβίβαζεν. ὁποῖον ἄρα δ' ἦν, καὶ διὰ τοῦτο καλλίνικον; Θεομισῆ δῆθεν ἔφης, καθὰ καὶ δυσφήμιος, ὅτι δίκην ἔτισαν ἄμφω ἤδεσθεν τοῦ σχίσματος. οὗτος δὲ μάλιστα τῶν ὀφθαλμῶν πηρωθεὶς καὶ ἐξορισθεὶς, ὦ παύτολμε τῶν τοῦ Θεοῦ κριμάτων διαγνῶστα, καὶ μὴν ἐνάθλου καὶ μάρτυσι· καὶ ὁμολογηταῖς ἐπισκίρτησον, ταῦτα καὶ χείρω ὑπὸ τυράννων πεπονθόσι. καὶ δίκην θεομηνίας ἀνακήρυττε, τοὺς ὑπὲρ ἀθανάτου δόξης ἀγῶνας. εἰς ῥύ-μην τὸν ἀθῷον ὑπερώρισε τὴν βασιλείαν ἀνακτησάμενος ὁ ῥινότμητος Ἰουστινιανὸς, καὶ μάτην τοῖς ἐπιβούλοις συμπνεύσαντα ὑπονοήσας ἐξετύφλωσε, προσθήσω καί τι τυραννικώτερον. εἰς τεῖχον ἐνέκτισε λιμαγχονήσων. ἄκουε τὰ μετὰ ταῦτα θαυμάσια. μεθ' ἡμέρας τεσσαράκοντα ἀνοιχθέντος τοῦ τοίχου, ζῶν ἔτι καὶ ἐμπνέων εὑρέθη, καὶ μεθ' ἡμέρας τέσσαρας πρὸς κύριον ἐκδημήσαντα, ὁπότε ῥώμης ἀρχιερεὺς (Ἰωάννης δ' οὗτος ἐξ ἑλλήνων, ὃν καὶ ἀποδοκιμάσαντα τὴν ἄνω σύνοδον προνομίζεις) οἰκείαις χερσὶν ἐν τῷ τῶν κορυφαίων ἀποστόλων τεμένει κατέθετο. οὐκ ἀθεεὶ καὶ τοῦτο, ἀλλὰ κατὰ πρόσταξιν τῶν ὀφθέντων τῷ Πάπᾳ ἁγίων ἀποστόλων. ἔστι δ' ἡ μνήμη τοῦ ἁγίου τούτου ἅμα καὶ τὸ ὑπόμνημα παρ' ἡμῖν εἰκοστῇ τρίτῃ αὐγούστου μηνός. ἐσιγήσω σὺν χάριν, καὶ ὅπερ σε λέληθεν, Ἰωάννην τουτέστι, τὸν νηστευτὴν, ὕβρεσι καὶ βλασφημίαν ὑπὸ τῶν καθ' ὑμᾶς ῥωμαϊκῶν ἀρχιερέων περιχεόμενον, μάλιστα δ' ὑπὸ Λέοντος ἐννάτου, τὰς ἀφορμὰς λαβόντος παρὰ Πελαγίου, καὶ Γρηγορίου τῶν συγχρόνων αὐτῷ, οὓς καὶ βαρέως ἐπιλαμβάνονται, τῷ οἰκουμενικὸν ἐπιγράφεσθαι. καὶ οὗτος διὰ βίου παντὸς ἀνεπίληπτος, καὶ ἀγγέλου ὀπτασίᾳ ἀναγκασθεὶς καὶ ἀπειληθεὶς, εἰς ἣν ἀπέφυγε προεδρίαν, καὶ ζῶν καὶ μετὰ κοίμησιν θαυματουργῶν, δευτέρᾳ σεπτεμβρίου μετὰ τῶν Θεῷ εὐαρεστησάντων ἑορτάζεται. ὅρα σεαυτὸν λόγον, ὃς πέφηνεν αὐτεξέλεγκτος, ἐπεὶ τοιούτους θαυμασίους, καὶ ἀξιοπρεπεστάτους ἄνδρας κατηπάσω.

γ' καὶ δ'

Τρίτον, καὶ τέταρτον, τὸν Φώτιον αἰτιᾶσθε καὶ τὸν κηρουλλάριον Μιχαήλ· ἀλλ' ἐπειδὴ τοὺς περὶ αὐτῶν παρεστήσαμεν εὐλόγως καὶ ἐννόμως τοῖς παραλόγως ἐξουσιάζειν ἐθέλουσιν ἀνθεστηκότας, ταῦτα καὶ ἐπὶ τοῖς προκειμένοις εἰρήσθω. εἰ γὰρ καὶ ἐμβριθέστερον τοῖς Πάπαις ἀντηγωνίσαντο, ἀλλά γε καὶ ὁ λόγος ὁ περὶ πίστεως ἐπ' αὐτῶν ἐπικινδυνότερον ἀνακάμψας, κατήπειγε· καὶ οὐ μόνον αὐτὴν, ἀλλὰ καὶ μετ' αὐτοὺς καθ' εἱρμὸν ἅπαντες μέχρις ἡμῶν, καὶ εἰς τὸ μετὰ ταῦτα διηνεκῶς. τὸ δ' ὀνειδίζειν αὐτοὺς ἐξορίαν, οὐκ ἔγκλημα τοῦτο πίστεως ἦν αὐτοῖς, ἀλλὰ μῆνις βασιλέων περὶ πολιτικῶν ὑποθέσεων, τῷ δοκεῖν ἐνεχομένοις. ἅπερ οὐ πρὸς ἡμᾶς.

ε'

Ἐκ τοῦ ἀσυμφώνως περὶ ὑμῶν ἀποφαίνεσθαι τοὺς παρ' ἡμῖν διδασκάλους, ἐπάγεις τὸ ἀσθενὲς τῶν ἀνατολικῶν δογμάτων. ἀλλὰ τί τὸ καὶ ἐν ὑμῖν συμβαῖνον μάλιστα, κατὰ δόξας δῆθεν διαφωνεῖν τοὺς θεολογοῦντας· εἰς ὀνειδισμὸν τοῖς ἀνατολικοῖς περιτρέπεις; ἄλλο δόγμα καὶ ἄλλο δόξα· κατὰ μὲν τὰ κοινὰ δόγματα συμφωνοῦσι πάντες. κατὰ δόξας δὲ τί θαυμαστόν; εἴ τινες περὶ ὑμῶν φιλανθρωπότερον κρίνουσι, συνετωτέροις καὶ θεοσεβεστέροις

ἐξ ὑμῶν

ἐξ ὑμῶν ἐντυχόντες. οἱ δέ τινες καὶ ἀμειλικτότερον, σκληρογνώμοσιν ἄλλοις, ἀφρονεστέροις τε προσδιαλεξάμενοι, καὶ ἡμεῖς πρὸς τὸ προσηνέστερον ὑμῖν ἀεὶ διετέθημεν ὡς καὶ γραφὴ μαρτυρεῖτε. τί δ' αὖ ὠνάμην, ἡ γραφὴ πάλιν ἢ ἐξ ὑμῶν ὁμολογείτω, καθ' ἣν ἐμὲ καὶ τοὺς κατ' ἐμέ, οἱονεὶ τὴν ἀποστολικὴν ἐκκλησίαν πᾶσαν, σχίσματος ἐνάγει τε καὶ αἱρέσεως. ἤδη κἀγὼ καὶ μετ' ἐμοῦ οἱ ὁμόφρονες ἀπονομώτερον ὑμῖν προσφερόμεθα, καὶ ὁμοσταγῶς ἰσοπαλῆ παλαίστραν ἐγγυμναζόμεθα θέατρον γινόμενοι ἀγγέλοις καὶ ἀνθρώποις ὑπὸ κριτῇ Θεῷ, μάρτυσί γε καὶ θεόφροσι πᾶσιν.

ς' Ὃ δὲ ἐξανθέστατον συκοφαντεῖς, πάντως ὑπάρχει ψευδές. οὐ γὰρ τοῖς τὴν ἄζυμον ἐκείνου θυσίαν λατρεύουσι, τὸ ψαλμικὸν ἐφαρμόζει, ἀλλὰ τοῖς τοῖς ἰουδαϊκοῖς ἐπηκολουθοῦσι ἐθίμοις τε καὶ νομίμοις τὴν ἱερὰν μυσταγωγίαν δι' ἀζύμων προσφέρουσι. φησὶ γὰρ ἐπὶ λέξεως οὕτως: ὅρα ὅτι ἄρτον λέγει τὸ σῶμα αὐτοῦ, οὐ μὴν ἄζυμον. αἰσχυνέσθωσαν οὖν οἱ τῇ θυσίᾳ ἄζυμα προσφέροντες. σὺ δὲ καὶ τὴν ῥῆσιν ταύτην ἐνόθευσας, ὡς καὶ ἄλλας πολλάς.

ζ' Καθεξῆς ἐν τοῖς συκοφαντοῦσιν ὑμᾶς ἀριθμεῖς καὶ καβάσιλαν, παλαμᾶντε καὶ κηρουλλάριον. ἃ δ' ὑμᾶς μέμφονται σιωπῇ παρέρχῃ. ἡμεῖς τὸν πρῶτον μετριωτάτους εἰς λατίνους οἴδαμεν, ὡς ὄφελόν γε τοιοῦτοι πρὸς ὑμᾶς οἱ ἑσπέριοι γενηθείητε, περὶ τὰ ὄντα εἴπερ ἔχετε κατηγοροῦντες, καὶ μὴ περὶ ἀποπλάσματα. τὸν δεύτερον ὁμολογῶ κατὰ τῆς ἡμῶν μεγίστης τοῦ δόγματος καινοτομίας ἰσχυροῖς λόγοις τὸ ἀληθὲς ἀποδείξαντα. οὐ μέντοι καὶ συκοφαντοῦντα ὡς τὸ ὑμέτερον ἡμεῖς θωμᾶν ἴσμεν τῶν ἀνατολικῶν μάτην περὶ πολλῶν καταψάμενον. εἰ δὲ καὶ Κηρουλλάριος τὸ τὸν πώγωνα ξηρᾶν ὑμᾶς ὀνειδίζει, καὶ λίαν εἰκότως ἐκ τῶν ἀποστόλων λαβὼν, καὶ τῆς ἐκκλησιαστικῆς τῆς πάλαι καὶ νῦν παραδόσεως, ῥωμαίων ἐθνικῶν ἦν τοῦτο πάλαι καὶ τῶν ἑσπερίων ἔθιμον, ὧν ἔθεσιν, ἑπόμενοι, ἐν τοῖς ἄλλοις μαυρίκιος καὶ Ἡράκλειος εἰς βασιλείαν ἀναχθέντες ξηρῷ τὸν πώγωνα περιεῖλον κατὰ κεδρινόν. οὐ μὴν δὲ καὶ φιλοσόφων. ἵνα μὴ εἴπω σεμνοπρεπεστέρων καὶ χριστομιμήτων ἀνδρῶν, οὐ πολλὰ περὶ τούτου φιλοσοφήσω. ὅτι καὶ τοῖς ἔθνεσι τοῖς βαρβαρωτέροις οἱ ἔντιμοι τὸν πώγωνα τρέφουσιν. οὐδ' εἰς μίμησιν τοῦ παρ' ὑμῶν ὧν διεδέξασθε τὸ ἀξίωμα. οὐδ' ὅτι θηλυπρεπὲς τὸ εἶδος τοῦτο, καὶ τοῖς ἐρῶσι καὶ ἐρωμένοις προσφυέστερον ἀλλὰ νόμον θεῖον διάταξιν ἀποστολικὴν βεβαιοῦσαν παρεισάγουσι ἐκ τῶν κλήμεντος τοῦ ἰσαποστόλου διατάξεων. χρὴ δὲ, φησιν, οὐδὲ γενείου τρίχα διαφθείρειν, καὶ τὴν μορφὴν τοῦ ἀνθρώπου παρὰ φύσιν ἐξαλλάσσειν. οὐκ ἀπομαδαρώσετε γάρ φησιν ὁ νόμος τοὺς πώγωνας ὑμῶν. τοῦτο γὰρ εὐπρεπὲς, ὁ κτίσας ἐποίησε Θεὸς, ἀνδράσι δὲ ἐνάρμοσον ἐδικαίωσε. σὺ δὲ ταῦτα ποιῶν δι' ἀρέσκειαν ἐναντιούμενος τῷ νόμῳ, βδελυκτὸς γένηση Θεῷ, τῷ κτήσαντί σε κατ' εἰκόνα ἑαυτοῦ. τὰ αὐτὰ μαρτυρεῖ καὶ ὁ θεῖος Ἐπιφάνιος ἐν τῷ κατὰ αἱρέσεων, φησὶ δὲ: τί χεῖρον καὶ ἐναντίον, οἱ μὲν τὸ γένειον τὴν μορφὴν τοῦ ἀνδρὸς ἀποτέμνουσι, τρίχας δὲ τῆς κεφαλῆς κομῶσι. καὶ περὶ μὲν τοῦ γενείου ἐν ταῖς διατάξεσι τῶν ἀποστόλων φάσκει ὁ θεῖος λόγος καὶ ἡ διδασκαλία, μὴ φθείρειν τουτέστι μὴ τέμνειν τρίχα γενείου, μηδὲ ἑταιρισμῷ κατακοσμεῖσθαι. Καὶ ταῦτα μὲν πρὸς

τα μὲν πρὸς τοὺς ἐκ τοῦ λαοῦ καὶ ἀνιέρους διακελεύονται τινὲς οἱ πανδυματο-
κήρυκες. πολλῷ οὖν πρεπωδέστερον ἱερωμένοις ὑμῖν φυλάττειν τὸ καὶ ἐν ὑμῖν
πολλοῖς πωγωνίαις μοναχοῖς σεμνὸν καὶ αἰδέσιμον. μᾶλλον δὲ τοῖς προ-
κρίταις τοῖς ἐν τῇ συγκλήτῳ ἑώρακα, νέος ὢν ἐνετίησιν, ἔθιμον καὶ σεβάσ-
μιον. ἆρ' οὐ προσέσπιμον καὶ πηδάλιον τοῖς νόμοις πρὸς ὑπαθυμίας ξυρεῖν τὸ
γένειον; ἆρ' οὐκ εἰς ὕβριν καὶ ἀτιμίαν ἐξήνεγκεν ὁ βασιλεὺς Ἀμμὼν τὸν ἡμι-
συν πώγωνα τῶν διαπρεσβευσάντων παρὰ Δαβὶδ πρὸς αὐτόν; τί δήποτε
μηδὲν ὑμεῖς ἐνεχόμενοι τὴν δίκην περιαρπάζετε; εἰώθασι δ' ἐν ὑμῖν καὶ οἱ
ἐντιμότεροι, τὸ λοιπὸν περικείροντες, ἀποκρεμᾶν τοῦ πώγωνος πολυποίκι-
λον σύνδεσμον ἐκπεριχῶν, οἱ μὲν ὀξὺν, οἱ δὲ ἀγκύλον, οἱ συμνότεροι μικρῷ
πλατύτερον, ἄλλοι βραχὺν, ἕτεροι καθειμένον. ἆρ' οὐκ ἐλέγχεσθε καὶ
ὑποκαγχαζόντων βαρβάρων τὴν ἀνδρόμορφον εὐπρέπειαν ἀπογυμνούμενοι,
καὶ τὴν οἷον εἰπεῖν γυναικομορφίαν ζηλοῦντές τε καὶ θηρεύοντες. ἅτινα
ἀλόγως τὸ παραλόγως ὑμῖν καὶ παράνομον διαπραττόμενον, εἰς ἔλεγχον ἱ-
ερωμένοις μάλιστα μοναχοῖς τε ὑπὸ τοῦ Πατριάρχου προτείνεται.

Πρὸς τὰ τῷ Ἐφέσου Μάρκῳ προστριβόμενα, διὰ βραχέων ἀπολογοῦμαι·
οὐδέποτε ἔφη ὁ ἀοίδιμος ἐκεῖνος, καλῶς ἔχειν πάντα, τὰ ὑφ' ὑμῶν
προβαλλόμενα, ἀλλὰ φιλικῶς προσφερόμενος, εἶπε, στέργεσθαι ὑπὸ τῆς
ἐκκλησίας ἡμῶν τὰς μαρτυρίας, τῶν ἁγίων, ἃς οἱ λατῖνοι παρῆγον εἰς τὴν
τῶν ἀζύμων σύστασιν, καὶ τοῦ καθαρτηρίου πυρὸς, καὶ τῆς ἀπολαύσεως τῶν
ἁγίων, ἐπαγαγὼν, ὡς ὀλίγη περὶ τούτου ἐστὶν ἡ διαφορά. καὶ γὰρ τυφόν τι πρὸς
τὰ ὑπερμέγιστα τῶν πραγμάτων κἀν τὰ μεγάλα μικρὰ φαίνεται. πρὸς
ἄλλο γὰρ καὶ ἄλλο παραβαλλόμενα, μικρὰ καὶ μεγάλα τὰ αὐτὰ λέγονται. οὕτω
καὶ πρὸς τὴν ἐν τῷ συμβόλῳ προσθήκην καὶ τὸ καινοτομηθὲν δόγμα, προσέτι
δὲ καὶ τὴν εἰσαχθεῖσαν μοναρχίαν τοῦ Πάπα, ὑπέρμετρα ὄντα τολμήματα,
τὰ λοιπὰ τῶν λατίνων παρέστησι μικρὰ καὶ εὐκαταφρόνητα.

Τὸ δ' ὃ φὴς, ὅτι τὴν τῆς προσθήκης τὸ δόγμα συνεχώρησεν, οὐκ ἀκρι-
βῶς ἐπιστῆσαι δοκεῖς τοῖς γεγραμμένοις ἐν συνελεύσει μάλιστα τῇ τρίτῃ
καὶ δωδεκάτῃ, περὶ τὸ τέλος. ὁ γὰρ Ἐφέσου ὅσον ἄτοπον τὸ τῆς προσθήκης
τόλμημα παραστῆσαι προθέμενος, πάντως τὴν ἐκβολὴν ἀναγκαίαν ἐκ τοῦ
συμβόλου διϊσχυρίζετο. τινὶ δὲ σκοπῷ ταύτην ἀπὸ τοῦ συμβόλου ἐκβληθῆναι
διϊσχυρίζετο, εὕρηται ἐν τῷ παρ' ἡμῖν ἱστορικῷ τοῦ συροπούλου. ὅπου ὁ λειποτά-
κτης γραικοῖς, καὶ λατίνοις αὐτόμολος Βησσαρίων, καὶ ὑπὲρ λατίνων δια-
μαχόμενος τῷ Ἐφέσου ταῦτά σοι κἀκεῖνος ἐγκαλεῖ τῷ γενναίῳ ἐκείνῳ τῆς
ἀληθείας ἀγωνιστῇ, λέγων ἔν τινι ἰδίᾳ συνελεύσει οὕτως. παράδοξόν ἐστιν ὃ ποιοῦ-
μεν καὶ φιλονεικοῦμεν μετὰ τοῦ Ἐφέσου. αὐτὸς συνεχώρησε τοῖς λατίνοις τὴν
δόξαν. ἐρωτηθεὶς δὲ παρ' ἁπάντων, πότε τοῦτο ἐγένετο; ὅτε μετὰ τοῦ Βασιλέως
εἴρηκεν, ἰδίᾳ εἰς τὸν Πάπαν συνηρχόμεθα. ἦν γὰρ καὶ τότε τοῦτο ζητήσας
ὁ Ἐφέσου, ἵνα δηλαδὴ ἐκβάλλωσιν οἱ λατῖνοι τὴν προσθήκην καὶ οὕτως ἑνω-
θῶσιν. ἐζητεῖτο γὰρ κατὰ πᾶσαν ἀνάγκην τρόπος ἑνώσεως, καὶ ἐνέκειτο
πᾶσι βαρέως ὁ Βασιλεὺς βιάζων καὶ καταναγκάζων πρὸς τοῦτο. ἀλλ' ὁ Ἐφέσου
καιροῦ δραξά-

κηρῦ δ' ὀρεξάμενος τὴν ἐπὶ τοῦτο συκοφαντίαν διέλυσεν. ἀνέστη γὰρ εὐθὺς ἐνώ-
πιον τοῦ βασιλέως καὶ ἀπελογήσατο λέγων ὧδέ πη. ἐζήτησα ἐκβληθῆναι τὴν
προσθήκην ἐκ τοῦ ἁγίου συμβόλου, εἰδὼς ὡς ἀδύνατον τοῦτο γενέσθαι παρὰ τῶν λα-
τίνων. εἰ δὲ καὶ ἐγένετο οὐκ ἄλλως ἐγένετο ἄν, εἰ μὴ πρότερον καταγνόντων
5 τὴν ἑαυτῶν δόξαν. αὕτη γάρ ἐστιν ἡ κηρυττομένη διὰ τῆς προσθήκης ἐν τῷ συμ-
βόλῳ. ἧς ἐκβληθείσης, συναπόλοιτο ἂν καὶ ἡ δόξα. καὶ οὕτως καλὸν ἂν εἰ
ἠνούμεθα μετὰ τούτου τοῦ τρόπου. εἰ δὲ καὶ ὑπολείποιντο τινὲς δοξάζοντες ταύτην
τὴν δόξαν, τοῦτο οὐδὲν ἂν ἦν πρὸς τὸ καθόλου πλήρωμα τῆς ἐκκλησίας. μὴ
κηρυττούσης γὰρ αὐτῆς αὐτὴν διὰ τοῦ συμβόλου, ἐσβέννυτο ἂν κατὰ μικρὸν καὶ ἀπὸ
10 τῆς πάντων διανοίας. ἣ καὶ μετ' ὀλίγου χρόνου ἡ ἐκκλησία καθῄρει ἂν αὐτήν.
καὶ ταῦτα μὲν αὐτολεξεὶ παρὰ συροπούλῳ ἀπελογήσατο ὁ Ἐφέσου. ἵνα οὖν ἄλλην
ἡμεῖς ὑπὲρ ἐκείνου ἀπολογίαν κρείττονα ταύτης παρενέγκωμεν, πρὸς τὴν
σὴν νῦν, καὶ πρώτην τοῦ νικαίας συκοφαντίαν κατ' ἐκείνου. ἢ οὐκ οἶσθα ὅτι πολ-
λῶν ἀμφοτέρωθεν περὶ τῆς ἐκβολῆς λαληθέντων ἐν πάσαις σχεδὸν ταῖς κατὰ
15 φερραρίαν συνελεύσεσιν, οὐκ εἴασαν τὴν περὶ τούτου ἀκραιφνῆ συμπερανθῆναι
διάλεξιν. ἀλλ' ἠνάγκασαν εἰς τὸ τῆς ἐκπορεύσεως ζήτημα, μεταβῆναι κατὰ
τὴν πρώτην ἐν φλωρεντίᾳ συνέλευσιν πρὸς ὃ δὲ βλάσφημον ἀποκαλεῖς τὸν
ἄνδρα, καὶ τὴν ψυχὴν αἰσχρῶς θεηλάτῳ δίκῃ, φῄς, ἀπορρήξαντα, καὶ τὴν
σύμπασαν πόλιν τοῦτ' ἐγνωκέναι, ἀθυροστομίαν ἐθέλων ἐνδείκνυσθαι. οὐδείς
20 σου κύριος τῶν χειλέων. φημώσει δὲ ταῦτα μᾶλλον ἡ ἀλήθεια. Ἡμεῖς τὸν ἄν-
δρα καὶ πρότερον μὲν θεοσεβέστατον ἔγνωμεν μαρτυρούμενον. μετὰ δὲ τοὺς πρὸς
ὑμᾶς ἀγῶνας καὶ ὁμολογητήν. ᾐδέσθη κἀυτὸς ὁ βασιλεὺς καίτοι τῷ αὐτῷ
θελήματι κατὰ τοὺς ἄλλους μηδέποτε συνυπαχθέντα. καὶ ἀντὶ τοῦ ἐχθρὸν ἡγεῖσθαι,
μεθ' ἑαυτοῦ διεσώσατο τῶν τοῦ Πάπα χειρῶν, καὶ Πατριάρχην προὐβάλλετο (εἴ γε
25 κἀκεῖνος κατεδέξατο) καίπερ ἀντίγνωμον ὄντα τῷ βασιλεῖ, τοιοῦτος ὁ ἀνὴρ
καὶ βασιλεῦσιν ἀντιδίκοις αἰδέσιμος· οἶδε γὰρ καὶ πολέμιος ἀρετὴν θαυμά-
ζειν. εἰ δὲ καὶ οἱ βιασθέντες ὑπογράψαι, συγγνώμην ὕστερον αἰτήσαντες πάσης
τιμῆς καὶ στεφάνων ἐκρίθησαν ἄξιοι, πόσῳ μᾶλλον ὁ τὴν οἰκείαν καὶ τὴν κοι-
νὴν διατηρήσας ἀπαράτρωτον ὁμολογίαν; ὃ δὲ μυθολογῆται σοι παράπνος ἐχ-
30 θροῦ ἐπίπλαστος τῷ θεοφιλεστάτῳ θάνατος, καὶ μαρτυροῦσα ἡ πόλις πᾶσα.
ὀνείρων ταῦτα ματαιότερα, καὶ γελοῖα πρὸς τὸ ἐκφοβεῖν τοὺς ἁπλοϊκοὺς μορ-
μολύκεια. εἴπερ γὰρ τοσοῦτον ἥμαρτεν ὁ Ἐφέσιος, μὴ ὑπογράψας, μη-
δὲ ὀμόσας. μᾶλλον ἂν ἐξήμαρτον οἱ τὰς ὑπογραφὰς ἀρνησάμενοι, καὶ τοὺς
ὅρκους ἀθετήσαντες. τίνος οὖν ἕνεκεν τοὺς τοιούτους, τὸν ἡρακλείας φημὶ,
35 τὸν καὶ ἐπὶ συνόδου ἐξομολογησάμενον, τὸν τραπεζοῦντος, τὸν μονεμβασίας,
τὸν ἀγχιάλου καὶ ἄλλους, θεία οὐκ ἐπεξῆλθε δίκη, εἰ μὴ τὸν ἐφέσιον μόνον; ἀ-
μέλει μόνος αὐτὸς ἐξεπολέμει λατίνους. μόνον αὐτὸν συκοφαντεῖν ἐπ'
αἰσχίστοις εἶχον καὶ οἱ λατινόφρονες. Ὃ δὲ εἰπέ μοι τίς τῶν ἡμετέρων ἱερομο-
νάχων, οὐ σιωπήσω εἰς ἔπαινον τοῦ δικαίου. ὅτε γὰρ οὗτος νεώτερος ἦν (τὰ νῦν
40 πρεσβύτης ὑπάρχων) παρ' ἑτέρου τινὸς ἱερομονάχου ἀρσενίου κυπρίου ὑπερ-
βεβηκότος τὴν κατὰ φύσιν ἡλικίαν (δὴ γε γὰρ ἐφ' ἑκατοστῷ εἰκοστὸν ἔτος)

ἀκήκοε διηγουμένου, ὅτι κἀκεῖνος νεώτερος ὤν, ἐμέμνητο ἐν τῷ γαλατᾷ ἐνιαύσιον μνήμην ἑορτὴν εἰς τὴν Μάρκου τιμὴν τελουμένην ὑπὸ τῶν εὐγενικῶν (ἀπόγονοι δ' οὗτοι τῶν Μάρκου προγόνων) ὅπερ ἐν Κωνσταντινουπόλει γενόμενον, δῆλον κατ' ἀνάγκην, ὅτι ἀποφάσει συνοδικῇ (οὐ γὰρ παρ' ἡμῖν καινοτομεῖν περὶ τοιαῦτα φίλον, ἄνευ συνοδικῆς μεγίστης ἀκριβείας καὶ διαγνώσεως) πῶς ἔλαθεν οὖν τοὺς τηλικαῦτα, μάλιστα καὶ τὸν ἄνδρα πολλοὺς ἐκ τῶν τότε ἐκπεφευκότας, ὅτι θεηλάτῳ πληγεὶς ὁ Μάρκος ὀργῇ, κατὰ τοὺς θεομισεῖς ἄνδρας ἐτελεύτησεν; καὶ ὅμως ἑορτάζετο κατὰ τὰς τῶν ἁγίων τὰς μνήμας, ληρείτωσαν οἱ ἐθέλοντες. Μάρκον ἡμεῖς διὰ θαύματος ἄγομεν, ὡς ὑπέρμαχον τῆς ἀληθείας, καὶ στῦλον τῆς ἐκκλησίας ἀκράδαντον, καὶ βίου λαμπρότητι διαπρέψαντα, καὶ διαγωγαῖς ἀσκητικαῖς προκαθαρθέντα, καὶ παντοίαις ὅσαις ἀρεταῖς κοσμηθέντα, καὶ οὐδὲν τῶν εἰς ἁγιστείαν ἀναγόντων ἀπολειπόμενον, τοῖς πάλαι διδασκάλοις ἐφάμιλλον, καὶ τοῖς ἀθληταῖς συναρίθμιον. εἰ δ' ἐν κοινῇ τῷ παναξίῳ ἐντέτακται πρὸς τοῖς ἄλλοις. ἐτήσιος μνήμη, οὐθ' ἡμῖν περιεργάζεσθαι ταῦτα, χωρὶς ὑπομνημάτων ἔξεστιν, ἀλλὰ Θεῷ πιστεύομεν εὐαρεστήσαντα τὸν ἀληθῶς χριστομίμητον, τὸν δὲ παρ' ἀνθρώποις εὐδοκιμήσαντα.

Καὶ τέλος συνάγεις ψυχρῶς ἄγαν καὶ νηπιωδῶς, τὴν λαμπάδα παρεικάζων τῷ νυμφίῳ Χριστῷ. εἴθε διετήρησεν ἡ νύμφη αὕτη τὰ ἑαυτῆς προτερήματα, καὶ τὸν νυμφικὸν αὐτῆς κόσμον μὴ ἐξεδύσατο ἀναιδῶς. φημὶ δὴ τὰς διὰ τῶν γραφῶν καὶ ἀποστόλων καὶ πατέρων νομοθεσίας μὴ ἀθετήσασα, καὶ μηδέν τι καινοτομήσασα. οὕτως ἂν ὄντως ἄμωμος εἴη καὶ ἄμεμπτος, μὴ ἔχουσα σπῖλον ἢ ῥυτίδα. τοιαύτη πάντως ἡ ἀνατολική, ἣν ἀθετοῦσαν ἐλήρησας, εἰπὼν ὁλοκλήρων συνόδων τὰ δόγματα, οὗπερ τοὐναντίον μᾶλλον δείκνυται. ἡ γὰρ ἀνατολικὴ ἐκκλησία γενναίως ἀνθίστατο πάντοτε τοῖς αἱρετικοῖς, καὶ τὸν καλὸν ἀγῶνα ἠγωνίσατο, τὴν πίστιν ἀεὶ διατηροῦσα ἀπαράτρωτον, καὶ σχεδὸν μόνη ἐν ταῖς συνόδοις τοὺς αἱρετικοὺς ἔτρεπε, καὶ λαμπρὰ τὰ νικητήρια ἐνεδύετο. εἰ μήπου φαίης συνόδους αὐτὸς τὰς ψευδωνύμους τὰς παρ' ὑμῖν γενομένας τὰς τὸ εἰλικρινὲς μᾶλλον διαλυούσας τῆς ἀποστολικῆς διδασκαλίας. ἀλλὰ ταύτας ἡμεῖς ἀνάπαλιν καταργοῦμεν καὶ ἀποβάλλομεν. ἔτι χείρονας ἔχειν λέγεις τὴν ἀνατολικὴν ταυτηνὶ ἐκκλησίαν περὶ τῆς λαμπάδος τὰς ὑπολήψεις, ἣ ὡς ἐκ τῶν οἰκείων πρώτην διδασκάλων παρέλαβεν. ἀλλ' ὁρᾶστε τὸ τῆς ἐκκλησίας ὄνομα λανθανόντως ἀγνοοῦντα. εἰ γάρ τινες ἰδίᾳ πρός τινας ἔγραψαν, τοῦτο ὡς ἀπὸ πάσης τῆς ἀνατολικῆς ἐκκλησίας ἐκλαμβάνεις. ἀλλ' ἴσθι καὶ τοῦτο ἄνθρωπε. ὡς οὐδέν πω συνοδικῶς ἡμῖν ῥητῶς καθ' ὑμῶν ἐκφωνεῖται, καθὰ καὶ κατὰ τῶν ἄλλων κατ' ἔτος αἱρέσεων, τὴν ἐπανόρθωσιν, οἶμαι, μακροθύμως καραδοκοῦσι. πλὴν ὅτι τὸ καθόλου τὰς καινοτομίας ἀποῤῥαπίζομεν. τὰς δ' ἄλλας ψήφους ὑμεῖς καθ' ὑμῶν αὐτῶν παραβάντες ἐκφέρετε, ὑπεύθυνοι ταῖς ἀποφηναμέναις κατὰ τῶν περὶ τὴν πίστιν καινοφανούντων οἰκουμενικαῖς συνόδοις γενόμενοι.

ΤΜΗΜΑ Ι΄

Ἱστορικὴ ἑκατέρας ἐκκλησίας ἀντιπαράθεσις πέρας ἐπιτίθησι τῷ ἐπιχειρήματι.

Πρὸς τὸ τέλος χωρῶν, οἷα τοῦ συμπεράσματος κορωνίδα, σύγκρισιν ἐπινοήσας ἑτέρας πρὸς ἑτέραν ἐκκλησίαν, ἵνα τῇ ἐλεεινῇ καταστάσει τῆς ἡμετέρας, τῇ δὲ περιφανεῖ τῆς λατινίδος, γνώρισμά τι ἀναλάμψῃ σαφέστατον ἀληθοῦς ἐκκλησίας.

Καὶ πρῶτον μὲν ἐκτὸς ζήλου παντὸς τὰ πρεσβεῖα τῆς ἀρχαιότητος ὑποχωρεῖς τοῖς ἀνατολικοῖς.

Τῆς συγκρίσεως μετὰ τὸν χωρισμὸν ἁπτόμενος, δεκάκις μυριάκις ἐπαυξηθεῖσαν ὑπὲρ τὴν ἡμῶν, τὴν δυτικὴν ἐκκλησίαν ἀποφαίνῃ ὁλοκλήρου οἰκουμένης προσκλίσει τοῦ λουθηριανικοῦ ἤδη καὶ καλβινιακοῦ ὀνόματος, πῆ μὲν ἀφανισθέντος ὡς ἐν γαλλίαις, πῆ δὲ καταισχυνομένου ὡς ἐν γερμανίᾳ, πανταχοῦ δὲ μαραινομένου.

Ἡ αὐτὴ καὶ ἀναριθμήτους ἁγίους ἐκαρποφόρησε μάρτυρας· ταύτῃ ἐπλούτησαν αἱ δύο ἰνδίαι, αἱ ἀνατολικαὶ, καὶ ἑσπέριοι, καὶ οὐκ ἔστιν οἰκουμένης χώρα, ἐν ᾗ λατινικῶν ὑπὲρ πίστεως αἱμάτων οὐκ ἐγένετο πρόσχυσις. ἐξαιρέτως ὀνομάζεις ἄνσελμον Γρηγόριον, βέναρδον, δομίνικον, Φραγγίσκον, τὸν τοῖς χριστοῦ τραύμασιν ἐστιγμένον, ἱστάμενον ὡς ἔμπνουν ἐν τῷ μνημείῳ. θωμᾶν τε, καὶ βοναβεντοῦραν, μετὰ καὶ ἄλλων, ὡς φὴς, ἀπείρων, οἵτινες θαύμασι καὶ βίου τελειότητι ἀναντίρρητον ἀποδιδόασι τῆς καθ᾽ ὑμᾶς πίστεως μαρτυρίαν.

Ἡ αὐτὴ καὶ θρησκειῶν, ἤτοι κοινοβιαρχιῶν ὑπὸ νόμους ἁγιωτάτους ἀνεγέρσει, διδασκάλων πλήθει καὶ διδασκαλιῶν, καὶ βιβλίων ἐκδόσεσιν ἀπειραφεστέρα τε καὶ ὡραιοτέρα. μόνη ἡ τετραπλῆ θεολογία, σχολαστικὴ, ἐκθετικὴ, μυστικὴ, καὶ ἠθικὴ τελείως προσήνεγκε πάσης τῆς ἀρχαιότητος βίβλους. κἀκ τούτων τὴν μυστικὴν ἀνατολικῶν, τίς εἴποτ᾽ ἀνέγνω μοναχὸς, ἀδυνάτως ἂν ἔχειν ὁμολογήσειε, χωρεῖν ἀπὸ τὴν ἐν τοιαύτῃ διδασκαλίᾳ.

Ἀνάπαλιν δὲ ἡ ἀνατολικὴ ἐκκλησία, καὶ τὸ ἑλλήνων ἔθνος, ἡ μετὰ φιλοσόφους ἀθήνησι, καὶ Ἀλεξάνδρους ἐν πολέμοις, ἀποδοῦσα τῇ πίστει τὰς συνόδους, τῇ θεολογίᾳ βασιλείους, Γρηγορίους, ἑκάτερον Ἰωάννην τοῖς μοναστοῖς κανόνα, παιδείαν τοῖς ἤθεσιν, ἀπὸ τοῦ χωρισμοῦ τοὐντεῦθεν ἐκμειωθεῖσα, ὠνήσατο βασιλείας δουλείαν, σκότος, πανωλεθρίαν, ὀδύνας, καὶ ταῦτα μὲν σωματικὰ, πνευματικῶν δὲ (τὸ χεῖρον) ἐστέρηται διδασκαλίας θαυμάτων καὶ ἁγίων ἀνδρῶν, ὥστε τὸν μοναχὸν Ζωναρᾶν πλάσιν πρότερον ἐν ταῖς ἱστορίαις ἁγίους ἀριθμήσαντα, μετὰ τὸν Ἰγνάτιον τὸν ὑμῖν τοῖς λατίνοις ὁμοφρονήσαντα, οὐδένα μετὰ ταῦτα κατονομάσαι, καίπερ ὑπὲρ τὰ διακόσια καὶ εἴκοσι ἔτη ἐπιτείνει ἀπὸ φωτίου τὴν ἱστορίαν.

Περὶ δὲ τῆς διδασκαλίας, πνευματικῆς καὶ ταύτης οὔσης ζημίας, ὅση τε καὶ οἵας, δῆλον, ὅτι καὶ ἐν τῇ βαβυλῶνι συναγωγῇ προφήτης οὐκ ἀπελείπετο, καὶ ἡ ὑπὸ διωγμοὺς ἐκκλησία, τότε μᾶλλον ηὐπόρει καὶ μαρτύρων καὶ διδασκάλων.

ἐξ ὅτου δ' ἡ ἑλλὰς (ταὐτὸν δὲ ἡ ἀνατολὶς) ἀπέστη τοῦ ἄκρου ἀρχιερέως, ἅμα καὶ μετὰ τῆς αἰγυπτιακῆς αἰχμαλωσίας ἐπῆλθεν αὐτῇ καὶ τὸ σκότος. ὅπερ διαφυγὼν ὁ θέλων εἰς ῥώμην ἀνελθέτω.

α' Καὶ ταῦτα δὲ προηγόρευον ἄνωθεν πλείονες. πρῶτον λέων ὁ μέγας ὁπηνίκα ἐν χαλκηδόνι διηγωνίζετο ἀνατόλιος, τὸν τῆς βασιλίδος θρόνον τῷ ἀντιοχείας καὶ ἀλεξανδρείας προτάττεσθαι, μέλλειν προεῖπε περιέσεσθαι τὸν θρόνον ἐκεῖνον διὰ τοιαύτην ἔπαρσιν ταπεινωθῆναι καὶ εἰς προφανῆ περιπεσεῖν ἀπώλειαν.

β' δεύτερον, ταὐτὸ κατηπείλησε καὶ Γρηγόριος ὁ μέγας, ὅτε τὴν

γ' οἰκουμενικὴν προσηγορίαν Ἰωάννης ἐσφετερίζετο. τρίτον Νικόλαος ὁ μέγας (ὅτε κατ' αὐτοῦ ἐθρασύνετο φώτιος) Μιχαὴλ ἐπιστέλλων τῷ βασιλεῖ, προείρηκε μέλλειν τοὺς ῥωμαίους τοὺς ἐξ ἑλλήνων αἰχμαλωτίζεσθαι εἰς πάντα τὰ

δ' ἔθνη ὥσπερ οἱ ἰουδαῖοι. τέταρτον, Νικόλαος ὁ :ε': (παρὰ Γενναδίῳ τῷ Κωνσταντινουπόλεως) μαθὼν τὰς ὑπὸ ῥωμαίων ἀναισχύντους ὕβρεις τε καὶ ὀνείδη, τοιαῦτα ἐπερρωμένος ἅμα, καὶ χρησμῳδῶν διὰ τῶν πρεσβευόντων τῷ βασιλεῖ Κωνσταντίνῳ ἐπέστειλε. τὰ ἔθνη πάντα τὸν ὅρον τὸν ἐπὶ συμφωνίᾳ τε καὶ ἑνώσει θεσπισθέντα, ἀπεδέξαντο. οἱ ῥωμαῖοι οὔτ' ἀπεδέξαντο, οὔτε ἀποδέξασθαι τούτων ἐλπίς ἐστιν. ἀλλ' ὑπομένομεν εἰς τὸν αἰώνιον ἱερέα ἰησοῦν ἀποβλέποντες, τὸν τὴν ἄκαρπον συκῆν ἕως τρίτου ἔτους ἐάσαντα. ὦ τῆς μεγίστης συμφορᾶς. τρία φησὶν ἔτι προσδοκῶμεν εἴποτε ἀπὸ τοῦ σχίσματος καὶ τῆς διαστάσεως ἐπιστρέψητε, καὶ τῷ ὅρῳ κατ' ἀλήθειαν προστεθῆτε. εἰ δὲ μὴ ἐκριζωθήσεσθε, ἵνα μὴ καὶ τὴν γῆν καταργῆτε. ἔτους: αυνά: ἐγράφετο ἡ ἐπιστολή. καὶ πεντηκοστῷ τρίτῳ ἑάλω Κωνσταντινούπολις. τοῦτο θαῦμα θαυμάτων μέγιστον, καὶ ὅσα ἑξῆς διεξέρχεται Γεννάδιος.

η' Εἰσάγεις ἐκ τῶν ἡμετέρων τινὰ μετὰ τὴν ἅλωσιν τῆς βασιλίδος αἰχμάλωτον, τοὺς οἰκείους τοῦ ἔθνους στηλιτεύοντα, ὡς παραβάτας τῆς συνόδου.

α' θ' Τεκμήρια δύο λέγεις θεομηνίας καὶ ἐκδικήσεως. α': τὸ τὴν πόλιν ἁλῶναι δευτέρᾳ τῆς πεντηκοστῆς ἡμέρᾳ τῷ μονογενεῖ υἱῷ ἀνατεθειμένῃ, καθότι τὴν ἐν φλωρεντίᾳ διέῤῥηξαν ἕνωσιν, ἥτις καὶ ἐξ υἱοῦ τὴν ἐκπόρευσιν τοῦ ἁγίου πνεύματος ἐδογμάτισε.

β' :β': τὸ μετὰ τετρακόσια ἔτη τοῦτο συμβῆναι ἀφ' οὗ οἱ τῆς ἑῴας ἐπὶ Μιχαὴλ τοῦ πατριάρχου τοὺς λατίνους ἀφώρισαν, καὶ αἱρετικοὺς ἀπεφήναντο. ὁ δὲ τετρακοσιοστὸς ἀριθμὸς ἐν ταῖς γραφαῖς ἱλασμῷ καὶ ἀφέσει ἁμαρτιῶν ἐφαρμόζεται. τί θαυμαστὸν οὖν εἰ παρελθόντος τοσούτου χρόνου τὴν φιλανθρωπίαν ὀργὴ διεδέξατο.

ι' Ἡ μακαρία (παρὰ λατίνοις) βεργίττα εἰς Ἱεροσόλυμα τὴν πορείαν ἔχουσα, τοιαῦτα ὑπὸ τοῦ σωτῆρος Χριστοῦ ἐν κύπρῳ ἐχρηματίσθη, πρὸ πολλῶν ἐτῶν τὴν τῆς Κωνσταντινουπόλεως ἅλωσιν. ἴστωσαν οἱ γραικοί, ὅτι ἡ βασιλεία αὐτῶν, καὶ αἱ δεσποτεῖαι, καὶ αἱ ἀρχαὶ οὐδέποτε σταθήσονται ἐν ἀσφαλείᾳ, οὔτε ἐν εἰρήνῃ, καὶ ἠρεμίᾳ. ἀλλὰ καὶ τοῖς ἐχθροῖς αὐτῶν ὑποκείσονται. ὑφ' ὧν ὑποστήσονται βαρυτάτας ζημίας καὶ συμφορὰς χρονίας, ἕως ὅτου μετ' ἀληθοῦς ταπεινότητος καὶ ἀγάπης, τῇ ῥωμαϊκῇ ἐκκλησίᾳ καὶ πίστει ὑποταγῶσιν.

ια' Ἐπισφραγίζεις λατίνοις διδασκάλοις (αὐτὸς δ' ἂν εἴης) θρήνῳ δήθεν ὀνειδισμοῦ γέμοντι, καὶ τέλος εὐχῇ καὐτῇ μηδὲν ἧττον ὑβριστικῇ, ἅτε πόῤῥω διδασκαλίας ὄντα παραλιμπάνοντι.

ιβ' Ἐπιλόγῳ δ' ὕστερον καὶ παραινέσει πρὸς ἡμᾶς χρώμενος περαίνεις τὸ ἐπιχείρημα, πρὸς ὃ μὲν τὸ ἀπαντῆσαι τοῖς ἄνω ἕνδεκα κεφαλαίοις, ἀπολογούμεθα.

ΑΠΟΚΡΙΣΙΣ

α' Πρὸς τὸ πρῶτον, ὑποχωρῶν τοῖς ἀνατολικοῖς τὰ πρεσβεῖα τῆς ἀρχαιότητος, πολλὰ ἡμῖν ἔλαθες ἄκων χαριζόμενος περιττεύματα. εἰ γὰρ ἔχομεν τὰ πρεσβεῖα ταῦτα δῆλον ὅτι πρωτότοκος τοῦ Χριστοῦ ἡ ἐκκλησία ἡμῶν. εἰ δὲ πρωτότοκος, δεῖ πλὴν ἄρα πλουτεῖ καὶ τὴν κληρονομίαν κατὰ νόμον. ἀρχὴ γάρ φησι τῶν τέκνων αὐτοῦ. καὶ οὕτως ἡ λατινὶς ἓν ἐκληρονόμησε Πατριαρχεῖον, ἡ δὲ ἀνατολικὴ πλείω. καὶ ἡμῶν δόσις ἀποστόλους δύο γεωργήσαντας κέκτηται, ἡ δὲ ἀνατολικὴ καὶ αὐτοὺς, καὶ τοὺς λοιποὺς, καὶ σχεδὸν εἰπεῖν τοὺς μαθητὰς ἅπαντας. κἀκείνη ἐξουσίαν μίαν τὴν τῆς ἱερωσύνης, αὕτη δὲ πρὸς τῇ ἱεραρχικῇ καὶ μετατεθεῖσαν εἰς ἑαυτὴν τὴν βασιλείαν ἐκληρώσατο, εἰ καὶ ὑποκλέψαι μετὰ ἔτη πολλὰ τὴν προστασίαν ἡ λατινὶς ἐπεχείρησε. παρ' ἡμῖν οἱ μέγιστοι τῆς πίστεως ἀγῶνες, αἱ νῖκαι, οἱ θρίαμβοι, τὰ ἐξαιρέσιμα τρόπαια, αἱ ζ' σύνοδοι πᾶσαι, ὁ νυμφικὸς τῆς ἐκκλησίας καλλωπισμὸς, αἱ παρακαταθῆκαι τῶν Πατέρων, τὰ τοῦ πνεύματος τὰ χαρίσματα, ἡ ἱερὰ διακόσμησις, ἀμείωτα πάντα ἀνακαινούμενα, παρ' ἡμῖν οἱ ἐνδοξότατοι μάρτυρες, πλείους ἤπερ οἱ ἐκ ῥωμαίων διῶκται. παρ' ἡμῖν οἱ πλεῖστοι ὁμολογηταί, οἱ φωταυγέστεροι τῶν διδασκάλων, αἱ πολυάστεροι τῶν μοναστῶν, τῶν ἀναχωρητῶν ἡ πληθὺς, τῶν στυλιτῶν τὸ καύχημα, τῶν θαυματουργῶν ἡ χάρις, τῶν ἱερῶν λειψάνων ἡ μυροβλυσία, καὶ νῦν ἐνδιωγμοῖς ἡ ἐν τῇ τῆς πίστεως ὀρθοδόξῳ ὁμολογίᾳ καρτερία ταύτης. χάριν οὖν ὁμολογοῦμεν τῶν πρεσβείων, ὧν οὐκ ἠρνήσασθε, καίτοι πρὸς τὴν τῶν ἀνατολικῶν ἀεὶ δόξαν ἀνθαμιλλώμενοι. ἔχομεν οὖν ὁμολογουμένως τὰ πρωτοτόκια. τοιουτόθεν, οὐδενὸς, ὧν ὑμεῖς ὑπεραίρεσθε ἐνδεόμεθα.

β' Πρὸς τὸ δεύτερον, ὅτι δεκάκις μυριάκις ὑπερβάλλετε ἡμᾶς τῷ τῶν πιστῶν πλήθει, ἤδη φθάσαντες ἀπημειψάμεθα, μόνον τῷ τῶν ῥώσσων πολυπληθεστάτῳ ἔθνει ἀντιπαλαίσαντες τοῖς καταφρονοῦσιν ὑμῖν, εἰ μὴ καὶ ὑπερελάσειεν. οὓς δ' ὑμεῖς ἀποβάλλετε διὰ λουθήρου καὶ καλβίνου, ἀλλὰ δὴ καὶ τὰς αἱρέσεις πάσας, ἐπερωτήσατε. πότερον ἐπιστρέψαντες προείλαντο, τὰ τῶν ἀνατολικῶν, ἢ τὰ τῶν λατίνων; πάντως τὰ ἡμέτερα περιμήσουσι, τὰ τῆς ῥωμαϊκῆς ἀρχῆς καὶ διδασκαλίας ἐκ διαμέτρου ὡς καινοτομίας ἀποστρεφόμενοι. καὶ οἱ ἐξ ἐθνῶν ταὐτὸ λέγουσιν οἱ ἀμφοτέρων εἰδότες τὰς διαφορὰς. καίτοι ἐχρῆν λατίνοις προστεθῆναι μᾶλλον ἅτε πρὸς τὰ ἐκείνων ἤδη τούτους προσπαθεστέρους ὄντες ὁμοιότερον διατεθειμένους, τά τε πρὸς τρυφὴν καὶ τὰς τοῦ σώματος θεραπείας, ἀσκητικώτερον διακειμένων τῶν ἀνατολικῶν, πρός τε νηστείας, καὶ ἀγρυπνίας, καὶ προσευχὰς, καὶ λοιπὰς σκληραγωγίας. ἀλλὰ

καὶ πρὸς

καὶ πρὸς τούτου τὴν ἀπολογίαν ἤδη ἐποιησάμεθα καὶ ἀλλαχόθι, ἐκ τῶν τοῦ θεο-
λόγου Γρηγορίου λόγων, πρὸς ἀρειανοὺς ἐν προοιμίοις: ποῦ ποτέ φησιν εἰ-
σὶν οἱ τὴν πενίαν ἡμῖν ὀνειδίζοντες, καὶ τὸν πλοῦτον κομπάζοντες; οἱ πλήθει
τὴν ἐκκλησίαν ὁρίζοντες, καὶ τὸ βραχὺ διαπτύοντες ποίμνιον; (ξυνῳδὰ τού-
τῳ καὶ ὁ θεῖος ἱερώνυμος: οὐκ ἐν πλήθει λαοῦ τὴν ἐκκλησίαν ὁρίζεται),
ἀλλὰ τῇ πίστει. φησὶ δὲ καὶ αὐτὸς: ἡ ἐκκλησία ἐκεῖ ἐστὶν, ὅπου ἡ ἀληθής ἐστι
πίστις. τοῦτο δ' ἔλεγεν οὗτος ὁ μέγας διδάσκαλος ὅτι οἱ αἱρετικοὶ τότε κα-
τεῖχον πάσας τὰς ἐκκλησίας, ὅμως ἐν ὀλίγοις ἐσώζετο φυλαττομένη ἡ ἀλη-
θὴς πίστις, καὶ ἐν καιρῷ διωγμοῦ δὲ εἴτε ἐξ ἐθνῶν, εἴτε ἐξ αἱρετικῶν, εἴτε
ἐκ τοῦ αὐτοῦ Ἀντιχρίστου, δῆλον, ὅτι πολλῷ τῷ μέτρῳ ἥσσω καὶ ἔσονται οἱ τὴν
ἐκκλησίαν διώκοντες, ὥσπερ οἱ διωκόμενοι διὰ Χριστὸν. ποῦ τότε τὸ ἀνέκαθεν ἡ ἀλη-
θὴς ἦν ἐκκλησία; ἐν τοῖς ὀλίγοις. τοιγαροῦν καὶ τῶν ἀνατολικῶν ὀρθοδόξων
ἡμῶν, ἐν πειρασμοῖς δοκιμαζομένων, καὶ ἐν διωγμοῖς ἀγωνιζομένων, μὴ
μεγαλαυχεῖτε ὑμεῖς οἱ λατῖνοι τοῖς πλήθεσι, μὴ δὲ τὴν σπάνιν ἡμῖν ὀνειδί-
ζετε. πάντως γὰρ τὸ Γρηγορίου καὶ ἱερωνύμου ὑμῖν ἀπολογησόμεθα. καὶ κατὰ τὸ
τοῦ ἁγιωτάτου Πάπα Λιβερίου ὡς ἄνωθι, οὐχ ὅτι ὀλίγοι ἐσμὲν διὰ τοῦτο ἡ ὑπό-
θεσις τῆς πίστεως ἐλαττοῦται. παραμυθεῖται δὲ καὶ ἡμᾶς ὁ ἐν ἀσθενείᾳ σαρκὸς
Λουκ: ιβ' φανεὶς παντοδύναμος Κύριος λέγων: μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον, ὅτι εὐ-
δόκησεν ὁ Πατὴρ δοῦναι ὑμῖν τὴν Βασιλείαν. καὶ ἐρωτηθεὶς εἰ ὀλίγοι οἱ σω-
Λουκ: ιγ' ζόμενοι; ἀγωνίζεσθε ἔφη, εἰσελθεῖν διὰ τῆς στενῆς πύλης, ὅτι πολλοὶ λέγω
ὑμῖν ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσιν. εἰ οὖν ὑμεῖς ὀλίγοι καὶ διὰ στε-
νῆς βαδίζομεν, ἀλλὰ καὶ χαίρομεν τῇ ἐλπίδι τῷ μετὰ τῶν ἐκλεκτῶν ὁδεύειν.
σὺ δὲ ὦ εὐαγγελικὲ κῆρυξ καὶ θεολόγε, ἔδει τοῖς εὐαγγελικοῖς ῥήμασιν ἐρεί-
δειν τὸν νοῦν, καὶ μὴ τὰς ἐναλλαγὰς τῶν καιρῶν ἀνερευνᾶν, αἳ μόναι τῇ τοῦ
Θεοῦ προνοίᾳ συγκλείονται ὡς ἀπόκρυφοι. τίνα οὖν εἰσὶ τὰ χαρακτηρίζοντα τὸν
εὐαγγελικὸν μαθητὴν, ὦ σχολαστικὲ σύ; ἢ οὐχὶ ὀνειδισμοί, διωγμοί, καὶ
ὕβρεις, ἕνεκεν τοῦ ὀνόματος τοῦ Χριστοῦ; οὐχὶ οἱ τοιοῦτοι μακαρίζονται; οὐχὶ
τῶν τοιούτων πολὺς ὁ μισθὸς ἐν τοῖς οὐρανοῖς; τί οὖν αὐτὸς μεγαλαυχεῖς ἐπὶ
πλούτῳ, καὶ δόξῃ, καὶ βασιλείᾳ, ἦν ποτὲ ταῦτα καὶ ἡμῖν λαμπρότερα πε-
ριφανέστερα καὶ κραταιότερα τῶν παρ' ὑμῖν. ἀλλ' ἴσως ἐν τούτοις οὐκ εὐ-
δοκεῖ Κύριος, διὸ καὶ κρίμασιν οἷς αὐτὸς οἶδεν ἀφείλετο ταῦτα ἀφ' ἡμῶν.
λοιπὸν ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ. ἔλεγε γὰρ μεγαλαυχῶν καὶ ὁ Δα-
βὶδ, εἶπα ἐν τῇ εὐθηνίᾳ μου οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. λέγε δὲ σὺ
αὐτὸς τὸ ἐφεξῆς.

γ'. καὶ δ'

Πρὸς τὸ: γ': καὶ δ': ἐνοῖς ὑπερυψοῖς τὴν καθ' ὑμᾶς λατινίδα ἐπὶ
ἁγίων πλήθει, μοναχῶν τάγμασι, διδασκάλων ὑπεροχῇ ἀπο-
λογούμεθα. ἔδει μέν σε καὶ ταῦτα καὶ πλέον γε μὴν ὑπεραυχοῦντα εἰς οἰ-
κείαν προσθῆναι διακόσμησιν καὶ ἡδέως ἂν ἴσως ἠκούσαμεν καὶ ἀδελφικῶς.
ἀλλ' ἐπεὶ ταῦτα καυχώμενος, εἰς ὀνειδισμὸν ἡμῖν καὶ αἰσχύνην ἔτρεψας.
καὶ προσέτρεψας παραβάλλων (ὥστε δῆθεν τῶν ἐπαίνων ἡμᾶς τούτων ἀμοι-
ροίημεν, καὶ τῶν ἐξ ἀντιθέσεως ψόγων μετέχοιμεν) ἤδη καὶ παρώξυνας εἰς
ἀνατροπὴν

ἀνατρεπόντων τῶν ἄλλως ἡμελημένων. ἁγίους μὲν πρῶτον ἀναριθμήτους, ἔφης,
προήγαγεν ἡ λατινὶς καὶ μάρτυρας. εἰπέ μοι ἐπὶ τίνι θεμελίῳ καὶ ὁμολογίᾳ;
πότερον τῷ τῶν ἀποστόλων καὶ προφητῶν κατὰ Παῦλον, καὶ τῇ τοῦ Χριστοῦ, ἢ τῇ τοῦ
Πάπα ὡς μονάρχου, καὶ τῆς λατινίδος ὡς μόνης ἀληθοῦς ἐκκλησίας. εἰ-
μὲν καταφήσεις τὸ πρῶτον ἐνδέχεται. εἰ δὲ τὸ δεύτερον, θάτερον εἴπω κἀ-
γώ, ἢ καταψεύδη τῶν ὧν κηρύττεις ἁγίων, ἢ ἀληθῶς ἐκεῖνοι οὐχ ἅγιοι. τρία
γὰρ θεωροῦνται μαρτυροῦντα τὴν ἀληθῆ ἐν ἀνθρώποις ἁγιότητα. α΄, ὀρθοδοξία
ἄμωμος. β΄, ἀρετῶν κατόρθωσις ἁπασῶν, ἐναῖς ἔπεται ἡ περὶ πίστιν μέχ-
ρις αἵματος ἀντικατάστασις. καὶ τέλος ἡ παρὰ Θεοῦ ἐπίδειξις σημείων ὑπερ-
φυῶν, καὶ θαυμάτων. τὸ: α΄: ἐστὶ καὶ εἰς σωτηρίαν ἀναγκαιότατον. τὸ: β΄:
εἰς ἁγιωσύνης χαρακτῆρα. ἀλλὰ καὶ τὸ: γ΄: ἀναγκαιότατον κατὰ τὸ εἰς ἀπό-
δειξιν. λέγομεν οὖν τῶν φημιζομένων παρ' ὑμῖν ἁγίων, ἐπάναγκες εἶναι,
ὅτι μάλιστα, ὥστε: α΄: ὀρθοδοξίᾳ καὶ ὁμολογίᾳ τῇ τῶν κοινῶν πρῶτον ἡμῶν
τούτους καὶ βεβιωκέναι, καὶ τετελευτηκέναι. εἰ δ' ὑφ' ἁπλότητος (ἰδιῶται
μάλιστα ὄντες) καὶ μὴ ταῖς ἱεραῖς ἐπιστήμαις ἐγγεγυμνασμένοι, συναπήχ-
θησαν τοῖς οἰκείοις ποιμέσιν εἰς καινοτομίας, ἀρκεῖ αὐτοῖς εἰς δικαίωσιν τῷ
προβάτῳ ἐν ὑπακοῇ γεγενῆσθαι, τοῦ οἰκείως μήποτε (δι' ἁπλότητος) ποί-
μνης ἀποσκιρτήσαντα. πλὴν ἀλλ' εἰ καὶ τῆς διδασκάλων ἥσσων μερίδος, ἢ ποι-
μένων, καὶ ταῦτα ἐκ μελέτης φρονοῦντες, ἐπρέσβευον, καὶ ἐκήρυττον, ἡμεῖς
τοὺς τοιούτους ἐν τῷ χορῷ τῶν ἁγίων οὐ καταλέγομεν. μᾶλλον δὲ οὐδὲ τῶν σωζο-
μένων αὖ ἀρχὴν καὶ ἀφορμὴν προὐξένησαν τοῖς σκανδάλοις καὶ τῷ μεγίστῳ του-
τῳῒ χωρισμῷ. τίνες δ' ἂν οὗτοι. ἀποιχομένους ὄντας, ἡμεῖς οὐ κρίνομεν
ἄνθρωποι ὄντες, τῷ κοινῷ δὲ κριτηρίῳ, καὶ τῇ δικαίᾳ φρικτῇ τοῦ Θεοῦ κρίσει
μᾶλλον παραπέμπομεν. περὶ δὲ μαρτυρικῶν (ὧν αὐχεῖτε) καὶ λατινικῶν
αἱμάτων ἐκχυθέντων πανταχοῦ τῆς οἰκουμένης. ἡμεῖς μὲν πάνυ ὀλίγα εἴ-
δομεν ἐν τοῖς δε τοῖς μέρεσιν ἡμῶν. (εἰ μήπου ἔξω τῆς οἰκουμένης ἡμεῖς θεί-
ητε) εἰ δ' ἐν ἄλλοις μακράν που τόποις, ἐμαρτύρησαν, ὡς λέγεις, περὶ τούτων
ἡμεῖς οὕτω γνώμης ἔχομεν. (οὐκ οἶδ' εἰ καὶ ἄλλοι) ὅτι εἰ μὲν ἐπὶ τῇ ὁμολογίᾳ
τῆς ἁγίας τριάδος ἐξεχύθησαν ταῦτα τὰ αἵματα, καὶ ὑπὲρ τοῦ ἐκχυθέν-
τος ὑπὲρ ἡμῶν αἵματος τοῦ Χριστοῦ, δεκτὰ ταῦτα ἡγοῦμαι παρὰ Χριστῷ.
εἰ δ' ἐπὶ τῇ ὁμολογίᾳ τοῦ Πάπα, καὶ τῆς αὐτοῦ κατὰ πάσης τῆς ἐκκλησίας παρ' ὑμῶν
κηρυττομένης ἐξουσίας, ἄλλοι λεγέτωσαν. ἐμοὶ γὰρ οὐ δοκεῖ. πολλοὶ γὰρ καὶ πρὸ
ὑμῶν καὶ καθ' ὑμᾶς μαρτυρικῶς τὰ ἑαυτῶν ἐξέχεαν αἵματα, ἀλλ' οὐχ ὑπὲρ
ἀνθρώπου θνητοῦ καὶ ὁμοιοπαθοῦς, ὑπὲρ τοῦ θεανθρώπου δὲ μᾶλλον Ἰησοῦ Χριστοῦ
τοῦ σωτῆρος ἡμῶν, καὶ ταῦτα μὲν πρὸς τὸ πρῶτον τῆς ἐν ἀνθρώποις ἁγιότητος
γνώρισμα. τὸ δὲ δεύτερον ἦν ἐπ' ἀρεταῖς ἐξεταζόμενον, καὶ λίαν γε ὤφελον
εὐδοκιμεῖν τῇ φιλαδελφίᾳ πρὸ τῶν ἄλλων ἁπασῶν ἀρετῶν. εἴπατε νῦν ἡ-
μῖν περὶ τοῦ ἁγιωνύμου τοῖς λατίνοις ὑμῖν Θωμᾶ τοῦ Ἀκίνα εἰ πρὸς ἀνατολικοὺς
φιλάδελφος, ὁ κατὰ γραικῶν ὀρθοδόξων ἐπιγράφων ἀναισχύντως τὰς βίβλους
αὐτοῦ, καὶ θεατρίζων ὡς ὑπολαμβάνειν σφάλματα, ὁ πολύγε σφαλόμενος.
τοιοῦτος ἡμῖν ὁ τῶν καινοτομιῶν προστάτης, ὃν ἐπὶ τῇ ἐπιδείξει τῶν ἐν αὐτῷ
γεγραμ-

γεγραμμένων καθηγιάσατε, καὶ μονονουχὶ κατὰ τὸ πάλαι ῥωμαίων ἔθος ἀπεθε-
ώσατε. χρησμολογήσαντος δὲ τότε Πάπα ἀντὶ θαυμάτων αὐτῷ, εἰς τὴν τῆς
ἁγιωσύνης ἀπόδειξιν, ἐπαρκεῖν τὸν ἀριθμὸν τῶν πολλῶν συγγραμμάτων,
καίγε εἰκότως. οὐ γὰρ πρὸς ἀλήθειαν ἔγραφεν, ἀλλὰ πρὸς χάριν τοῖς Πά-
παις παρ' ὧν καὶ ζῶν μεγάλα τετίμηται καὶ ἀποθανὼν ἅγιος κεχειροτόνηται. 5
ἀλλ' εἴπερ καί τινα ἐστ' ἀρετῆς εἰς ἄκρον ἀποσεμνύνετε, εἴπατε πρὸς τῆς
ἀληθείας, ἡμῖν αὐτοὺς ἀπεικάζετε, ἢ ὑμῖν. πότερον ἐτρύφων κατὰ λατίνους;
ἢ κατ' ἀνατολικοὺς ἐνεκρατεύοντο; ἡδυπαθείαις ἐχρῶντο, ἢ σκληραγωγίαις.
ὕπνοις καὶ ἀναπαύσεσιν, ἢ ἀγρυπνίαις καὶ χαμευνίαις; ζωδιωτίσει πολιτικῶν
θορύβων, ἢ ἀναχωρήσει; ἀνέγνωμεν πολλὰς τῶν καθ' ὑμᾶς τοιούτων ἁγίων 10
διαγωγάς, ἀλλὰ τῇ πρὸς τοὺς ἀνατολικοὺς ἐκμιμήσει εὐδοκιμήσαντα. ἔγνω-
μεν, τοιγαροῦν εἰ καὶ μετὰ τὸν χωρισμὸν ἅγιοι παρὰ λατίνοις διέπρεψαν ἡμῶν
ὁμοῖον οὐκ ἀντίπαλοι πάντως, ἀλλὰ μᾶλλον καὶ μιμηταὶ καὶ ὁμότροποι. ὃ
δὲ τρίτον ζητοῦμεν ἐν τοῖς κανονισθεῖσιν ἁγίοις. τὴν τῶν σημείων ἀπόδειξιν,
καίτοι τοῖς πάλαι εἰλικρινέστερον κατὰ Θεὸν πολιτευομένοις, οὐ πάνυ τοῦτο ἀν- 15
τεξητάζετο, ἀλλὰ τοῖς καθ' ἡμᾶς χρόνοις, τῆς πονηρίας ἤδη καὶ τὰ θαύμα-
τα παραπλαττούσης καὶ τὰς ἀρετὰς τῇ ὑποκρίσει μᾶλλον κιβδηλευούσης, καὶ
λίαν θηρευόμενα καὶ ἀπαιτοῦμεν, καὶ εἰς κρίσιν καλοῦμεν, καὶ ἃ μὲν ὑπὸ
τῶν ἀλλοτρίων ὑμῶν συγγέγραπται, ὑποπτεύοντες, ἀπαιτοῦμεν ἡμεῖς παρ' ὑ-
μῶν, ὃ καὶ προφανῶς ἀποδώσομεν. δείξατε ὑμῖν τὰς τῶν Μακαρίων πνευ- 20
μάτων καταλειφθείσας ἐν γῇ ἀποθήκας, ἤτοι τὰ λείψανα. κἂν μὲν ἄφθαρ-
τα, καὶ εὐώδη καὶ μυρίπνοα ἢ καὶ μυροβλύτα καὶ τερατουργὰ διασώζονται,
ὡς δείκνυνται τὰ τῶν ἀνατολικῶν, ἀποδεξόμεθα καὶ τῶν δυτικῶν. ὑμῶν εἰδ'
ἀποκρύπτετε ταῦτα ὡς δῆθεν ἀόρατα δεῖν εἶναι, ἐν ὑποψίᾳ ἔτι κεῖται, τὸ
ὡς μέγα θρυλλούμενον. ἀλλὰ τίνος ἕνεκεν ὑμεῖς ἀποκλείετε, καὶ πίστιν τῶν 25
θεατῶν (οὐδὲν ἄμεινον, ἢ τυφλῶν ἐν τοῖς ἀθεάτοις διακειμένων) ἀπαι-
τεῖτε. δότε μᾶλλον τῷ Θεῷ δόξαν, τῷ τοὺς ἁγίους δοξάζοντι δότε πίστιν διὰ
φανερώσεως τῇ ἀληθείᾳ. πρόκειται καὶ ἐν ἡμῖν Σπυρίδων κατὰ κέρκυραν ὁ-
θαυματουργὸς ὡς ἔμπνους, σώζων καὶ τὰς σάρκας μέχρι καὶ νῦν (ἀπὸ χι-
λίων τριακοσίων που ἐτῶν) ἔχων ἁπαλάς, καὶ ψηλαφόμενος τοῖς προσιοῦσι, 30
προσκυνεῖται μᾶλλον καὶ θαυμάζεται. καὶ εὐφημία ἡ παρθενομάρτυς ἐν Κων-
σταντινουπόλει θέαμα προκειμένη ὑπερφυέστατον, σώζει τὰ πάλαι ἀέναα,
καὶ ἐμφαίνει νῦν ἀντὶ μύρου ἐκ τῶν πληγῶν τὰ αἱμόρρυτα, καὶ ἡ πανθαύμα-
στος αἰκατερίνα ἡ πάνσοφος καὶ ἡ παρθενομάρτυς, ἐν τῷ θεοβαδίστῳ ὄρει
σινᾶ, δείκνυται τὰς μὲν χεῖρας μετὰ σαρκῶν ὁλοκλήρους, τὸ δὲ λοιπὸν σῶμα; 35
ὀστᾶ τερπνὴν εὐωδίαν ἐκπνέοντα, καὶ τὴν ἁγιότητα μαρτυροῦντα. καὶ ἄλλοι
ἀλλαχοῦ, καὶ οὓς ἐκ τῶν ἡμετέρων ὑμεῖς πρὸς ἡμᾶς μετεκομίσατε, καὶ ὁμοί-
ως ἐθησαυρίσατε, ἀδεῶς, καὶ ἀφθόνως ἀποκαλύπτετε, ὡς Ἀθανάσιον
τὸν μέγαν, Ἰωάννην τὸν ἐλεήμονα, καὶ σάββαν τὸν ἡγιασμένον ἐνετίη-
σι, ἐλένην ὁμοίως αὐτόθι τὴν ἰσαπόστολον Βαπλίδα, Ζαχαρίαν τὸν τοῦ 40
τιμίου προδρόμου γεννήτην. καὶ Προκόπιον τὸν μεγαλομάρτυρα. τίνος

οὖν ἕνεκεν καὶ

οὗ ἕνεκεν καὶ τοὺς νεωστὶ παρὰ Λατίνων Θεῷ εὐαρεστηκότας, καὶ λαμπρῶς ἑορταζομένους, οὐ προσάγετε εἰς προσκύνησιν καὶ ψηλάφησιν; τὰ μὲν αὐτῶν θαυματουργηθέντα οὐκ εἴδαμεν, εἴπομεν δὲ καὶ εἰλικρινέστερον, ὑποπτεύομεν. πείσατε οὖν ἡμᾶς τῇ τῶν λειψάνων ἀφθαρσίᾳ ἢ τῇ εὐωδίᾳ τῶν ὀστῶν ὀσφρήσει, δείξατε ὕδατα ἁγιασθέντα καὶ ἄφθαρτα διαμένοντα. καὶ περὶ μὲν τούτων ἅλις, τὰ νῦν ἐπαναληψομένοις αὖθις ὑπὸ τὸ: ε: Σημεῖον.

Πρὸς τὸ τέταρτον ἤδη καλούμεθα. ἔπει ἀγγελαρχίας πολλὰς καὶ ποικίλας προβάλλεις ὑπὸ νόμους ἁγίους καὶ ἕτερα. ἐρωτῶ δ' ὑμᾶς, ποσαπλῆ τῶν χριστιανῶν ἡ ἱερωσύνη, μία πάντως ἀποκριθήσῃ κατὰ βαθμούς. πάλιν ἔρομαι ποσαπλῆ ἡ κατὰ τὸ εὐαγγέλιον τελειότης, μία καὶ αὕτη πάντως, ἡ τῇ ἀρνήσει τοῦ ἰδίου θελήματος κατορθοῦσα, καὶ τὴν παντελῆ κατὰ τὸ δυνατὸν ἀπὸ τῶν βιωτικῶν ἀναχώρησιν. καὶ εἴπερ μίαν ὁμολογεῖτε ἱερωσύνην, καὶ τελειότητα εὐαγγελικὴν μίαν. τί γοῦν τὰς ὀνομασίας πολυπλασιάζετε τοῦ μοναχικοῦ σχήματος διὰ θρυλλουμένων θρησκειῶν ποικιλίας; εἰς μὲν τὰ καίρια καθ' ὑμᾶς συμβαινούσας, περὶ δὲ τὸν ἱματισμὸν διαφερούσας, καὶ τὰς μετονομασίας ἀπὸ τῶν ἡγησαμένων. ἆρ' οὐ μάταια ταῦτα καὶ καινοδοξίας ἀνάπλεω, ἢ καὶ σχισμάτων καὶ διαιρέσεων; σχίσματα γὰρ μᾶλλον ἢ διάφορα σχήματα ἐνδίκως ἀποκαλέσειεν ἄν τις ταῦτα, ἀνεπιμιξία γὰρ παντελής ἐστιν ἐν αὐτοῖς, ἐν ἄλλοις τε πλείστοις καὶ ἐν συναναστροφῇ, καὶ συνδιαιτήσει ὅπερ ἐν τοῖς ἀνατολικοῖς ἡμῖν πάντη ἀπᾷδον καὶ ἐδείκνυτο καὶ δείκνυται. ἐμοὶ δὲ καὶ ἄλλό τι εἰπεῖν ὑπεισέρχεται, ὅτι τὰ διάφορα ταῦτα παρ' ὑμῖν λεγόμενα σχήματα, εἰς πλείστας ἕκαστον ποσούμενον μυριάδας, πλούτῳ καὶ θησαυροῖς ἐναβρυνόμενον, καὶ ὑπολανθανόντως πολιτικώτερον συνιστάμενον, εἴ γε τόπος τις ἕκαστον περιέχει τάγμα, καὶ ἡ τῆς πολυανθρωπότητος ἰσχὺς, καὶ ἡ δυναστεία τοῦ πλούτου εἰς ἓν συνήγετο μέγα τι τῷ κόσμῳ νεωτέρισμα ἀνεφύετο ἄν, καὶ μάλιστα παρὰ τῶν τὸ Ἰησοῦ ὄνομα παντὸς ἄλλου χριστιανῶν ἰδίως ἀποσπάσαντες, ὅσον τὸ κατ' αὐτοὺς, μόνοις ἑαυτοῖς περιέθησαν. οὗτοι γὰρ τῶν ἄλλων ἁπάντων σχημάτων δοκοῦσιν ὑπερτερεῖν, πλήθει ἀνδρῶν τε καὶ πλούτῳ καὶ θησαυροῖς, ὡς φασὶν ἀποκρύφοις. μὴ γὰρ παρ' ἀνατολικοῖς ἄλλοι οἱ Ἀντωνίου ὀπαδοὶ, ἄλλοι οἱ Μακαρίου, ἄλλοι οἱ Παχωμίου, ἄλλοι οἱ Εὐθυμίου, ἄλλοι οἱ Σάββα, ἄλλοι Θεοδοσίου, ἄλλοι οἱ Μαρκέλλου τῶν ἀκοιμήτων; θαρρῶ δ' εἰπεῖν μῶν ἄλλοι οἱ στυλῖται, ἄλλοι οἱ ἀναχωρηταί; οὐμενοῦν, ἀλλὰ πάντες ἑνὶ κανόνι καὶ ῥυθμῷ τῷ τῆς εὐαγγελικῆς τελειότητος, οἱ μὲν πλέον, οἱ δὲ ἔλαττον, οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον, κατὰ τὴν ἑκάστῳ δοθεῖσαν χάριν ἐπηγωνίσαντο, καὶ οὔτε τὸ τῆς ἐσθῆτος διάφορον, οὔτε ὁ τοῦ ἀγῶνος τόνος, οὔτε ἡ ὁποία τινὰ ἑτέρου καθηγητοῦ διαγωγὴ, οὔτε τι ἄλλο τῶν ἐπ' ἀσκήσει θεωρουμένων, ἢ τὴν κλῆσιν αὐτῶν, τῶν μοναχῶν ἀεὶ οὖσαν ὁμοίως μετήμειψεν. οὔτε ἀλλήλων, ὡς ἐν ἡμῖν φαίνεται, διεῖλεν ἢ ἠλλοτρίωσεν, ἢ εἰς ἔριν καὶ ἅμιλλαν τοῦ θηρεύειν ἀνθρώπους ἀνήγειρεν, ἀλλ' ὅπου τις εὑρεθῇ ὑπὸ πάντων, ὡς ἀδελφὸς οἰκεῖος ξενίζεται, καὶ χαίρουσιν ἀλλήλοις ταῖς ἀλλήλων ἐπιδόσεσι. καὶ τὸ κεφάλαιον ὅτι τὰ κατὰ πίστιν καὶ ἀγρυπνίας, καὶ προσευχὰς, καὶ νηστείας καὶ κανόνας ὁμοίως ἔχουσι.

ἔχουσι. τὸ δ' ἄλλα εἴ τις ἐπιπλέον ἀγωνίζεται, ἢ νηστειῶν, ἢ ἄλλας ἀρετὰς
κατορθῶν, οὔτε χωρισμὸν ἐμποιεῖ, οὔτε σχήματος, ἢ χρώματος ἀμοι-
βὴν ἱματίων. κἂν τῷ αὐτῷ μοναστηρίῳ καὶ οἱ τοῦ μεγάλου σχήματος κα-
λόγεροι, ἤτοι ἀναχωρηταὶ, καὶ τὸ τελειότερον διώκοντες τῆς διαγωγῆς οἵ τε λε-
γόμενοι μικρόσχημοι, ὑπὸ ἕνα καὶ τὸν αὐτὸν ποιμένα διάγουσι, καὶ οὐδεὶς 5
φθόνος ἐν αὐτοῖς διὰ τοῦτο, ἢ σκάνδαλον. ἐν ὑμῖν δὲ λόγῳ κοινῆς θρησκεί-
ας, νόμιμον τὸ ἐν ἱματίοις ὁμότροπον, εἰς διάταξιν φέρεται πρώτην, μέ-
χρι καὶ ποσότητος καὶ ποιότητος. καὶ μικραίτινες ὄντως μικρολογίαι ἐπὶ το-
σαύτην αἴρονται διαφορᾶς ὀνομασίαν, ὥστε καὶ γελᾶσθαι ὑπὸ τῶν φρονούν-
των καὶ καταπαίζεσθαι. καὶ ξενίζειν μὲν ἀλλήλους ἢ συνδιαιτᾶσθαι κατὰ πάροδον 10
τυχόντας, ἴσως οὐκ ἔστιν, οὐκ ἐνδέχεται, ἐν πανδοχείῳ δὲ μᾶλλον, ἢ παρὰ
κοσμικῷ τινι ἐπὶ μισθῷ καταλῦσαι χρεὼν, ἤπερ ἐν ἀλλοτρίου σχήματος κοι-
νοβίῳ. ἆρ' οὐ μισαδελφία προφανὴς αὕτη καὶ φιλαυτίας ἔνδειγμα, καὶ φί-
λερι καὶ σχίσματα καὶ διαστάσεις. ἴδωμεν καὶ λεπτομερέστερον, τὸ ἐλαττοῦσθαι τοῦ
μοναχικοῦ σχήματος, τοῦ ὑπὸ τοῦ ὁσίου Βενεδίκτου ὑμῖν φήσω διαταχθέντος, 15
πολλῷ πρότερον καὶ ὑπάρξαντος. ἀλλ' ὡς ἀληθῶς ἐπαξηθέντος. μὴ γάρ
τι λείπεταί τι παραδοθησόμενον ἔτι μοναστικῆς τελειότητος. πολὺ μὲν φήσεις.
οὐ γὰρ ῥακενδυτοῦσιν, οὐκ ἐν ἀχυροστρώτοις κλινιδίοις καθεύδουσιν, οὐκ ἀνυπό-
δετοι βαδίζουσιν οὔτε τῆς ἀληθοῦς πτωχείας μετέρχονται. εὐποροῦσι γὰρ καὶ
κτημάτων, καὶ χρημάτων τὰ σφῶν μοναστήρια. καὶ μὴν σὺ μονάζων καθ' 20
ὑμᾶς ῥακενδύτει, χαμεύνει, γυμνοβάτει, χρυσοῦ ἀκτήμων. τοῦτο τὸ μονά-
ζειν που τελειότερον, οὐδείς σοι φθονήσει, πολλοὶ ἐκμιμήσονται. ἀλλὰ τί δή-
ποτε τὴν ὀνομασίαν τοῦ μοναχοῦ βδελύττῃ καὶ τὴν φράτορος ἤτοι ἀδελφοῦ
προσλαμβάνεις; κἀκεῖνος διατί εὔχεται μὲν τὴν μοναχοῦ κλῆσιν, τὴν δὲ
φράτορος ἀποστροφιάζεται; ἀλλὰ τί δήποτε τελειότητα μείζω προσποιητὴν ἰδίων, 25
ὀπίσω βλέπεις τοῦ ἀρότρου, καὶ ἐν προσχήματι πτωχείας τὰ τῆς κοιλίας διώ-
κεις; ἀπάθειάν τε ἀνακαλεῖς παντοίοις ὄψοις, κρεοφαγίαις καὶ τὸ δεινότε-
ρον αἱμοβορίαις κτηνώδεσιν, πόρρωθεν πάντα ὄντα τῆς ἀσκητικῆς διαγωγῆς
τε καὶ παραδόσεως. ἐπλήθυναν ἐν ὑμῖν αἱ κοινοβιαρχίαι καὶ τὰ κοινόβια, ἀ-
λλὰ μᾶλλον ἀπαιτοῦμεν ἡμεῖς ἐπιμόνους τὰς μοναστικὰς ἀρετὰς, ἤδη γὰρ πα- 30
ραμελεῖται καὶ παρά τισι ὑμῶν τοῖς πάλαι μοναχοῖς ἡ νηστεία, ἐκ τῆς ἐξου-
σίας τῆς ὑπερτάτης ἔχουσι τὸ κρεωφαγεῖν, ὡς θρυλλοῦσιν, ἢ καὶ ἐξ ἰδίας δι-
δασκαλίας, οἱ μὲν ἑτέραν παρὰ τὴν ἐν κοινοβίῳ τράπεζαν ἔξωθεν ἱστῶντες,
κἀκεῖ ἀδεῶς κρεοφαγοῦντες, ὡς ἐν τύπῳ δὲ εἰς τὴν τοῦ κοινοβίου εἰσέρχονται, καὶ
καθεσθέντες ἄκροις δακτύλοις καὶ χείλεσιν ἀπὸ τοῦ παρατεθειμένου ἐδέ- 35
σματος ὁποῖον ἂν ᾖ ἀπογεύονται. εἶτ' εὐθὺς ἀνιστάμενοι ἐξέρχονται, καὶ
τάχει ποδὸς πρὸς τὴν ἄλλην τὴν πολυτελῆ εἰσερχόμενοι ὡς εἴπομεν, ἐ-
κεῖ τὰ τοῦ λαιμοῦ καὶ τῆς γαστρὸς τῷ κόρῳ ἀποδιδόασιν. ἕτεροι δὲ ἐν τῇ μο-
νῇ μὲν τὸν ὅρον φυλάττοντες, ἔξω δὲ τῆς θυρίδος προκύπτοντες ἐπ' ἀδεί-
ας ἔχουσιν ἀδιαφόρως ἐσθίειν. τὸ μὲν στόμα τὸ ἀπολαῦον τῆς ἡδονῆς, 40
ἔξω τῶν ὅρων τεθέντες, τὴν δὲ κοιλίαν, καὶ τὸ κοιλιόδουλον ἔσω κατέχον-
τες. ἕτεροι,

τες, ἕτεροι, τὰ κρέα μὲν ἕψοντες εἰς παντελῆ ἀνάλυσιν, καὶ ὅλην ἀποθλί-
βοντες τὴν οὐσίαν, τὸν λιπαρὸν ζωμὸν ἀπορροφῶσι, ἀπεχόμενοι ὡς νομίζου-
σι τῶν πιτυρήνων κρεῶν. τοιοῦτοι δῆθεν οἱ τοσοῦτοι. ὄφελον μὴ τοσοῦτοι,
ἵνα καὶ μὴ τοιοῦτοι. καὶ πάλαι μὲν ἐν ἀνατολικοῖς πληθυνομένων τῶν
5 μοναχῶν ἐγένοντο καὶ ἀκοίμητοι, ἔγκλειστοί τε καὶ ἀναχωρηταὶ, καὶ κιονῖται.
ἐν λατίνοις δὲ εἰς ἄπειρον πλῆθος καὶ γένη πολυποίκιλα τῶν θρήσκων προσαυ-
ξηθέντων, οἱ ἐπ' ἐκκλησίας ὀρθιάζοντες ἐπαύσαντο ἐν πολλοῖς. οἱ ναοὶ δὲ οὔτε
κατὰ τὰς ἑορτὰς ἠχοῦσι ψαλμῳδίαν νυκτός, ἀλλὰ ῥέγκουσι μὲν αἰνῆται. οἱ
δὲ κώδωνες πυκνὰ περὶ τὸν ἀέρα περιβομβοῦσι. καὶ τῶν μὲν ἀναχωρούντων
10 ὀλιγοστοὶ, τῶν δὲ ῥεμβομένων πανταχοῦ πλεῖστοι, ἐγκλείστων ἐν τοσούτοις νεω-
τέροις οὐδείς. περιπηταὶ δὲ πόλεων, καὶ κοσμικοῖς συνεταιριάζοντες, οἱ πάν-
τες. ἔχει τοίνυν τὸ πλῆθος, ἔχει τῆς ποικιλίας τῶν ἱματίων, ἔχει νόμων
καὶ κανόνων ἁγιωτάτων. ἔχει τῶν ἐπιτηδευμάτων καὶ τῶν πολλῶν ταγμάτων,
ἢ καθ' ὑμᾶς φάναι θρησκειῶν καὶ τῶν σχημάτων τῆς ἐφευρέσεως.

15 Ἀλλ' εὐδοκεῖ προσθεωρήσωμεν καὶ τὰς ἀκαδημίας, τὰ διδασκαλεῖα τοὺς δι-
δασκάλους τὰς βίβλους τοὺς τύπους. ἐπαινῶ μὲν τὰ μάλιστα καὶ τὴν ἐν ὑ-
μῖν φιλομάθειαν καὶ τὴν ἐν πᾶσι πολυμάθειαν. ζηλωτοὶ δὲ τοίνυν καὶ ἡμῖν, ἐξ
ὧν παρελάβετε. ἀξιοτίμητοί τε ὧν μάλιστα τὴν μικροῦ ἀφανιζομένην ἑλληνίδα
γλῶτταν, ἐν τῇ οἰκείᾳ φωνῇ ὀργανίζετε, καὶ τὰς βίβλους ἱεράς τε καὶ ἐθνι-
20 κὰς τῇ ἀθανασίᾳ διὰ τῶν τύπων παραδιδόατε. πλὴν περὶ ἣν καὶ διεῖλες θεο-
λογίαν εἰς τετραπλῆν, ἐγκύψωμεν καὶ περιεργασώμεθα. δοκεῖς γὰρ τοσοῦτον ἐν
αὐτῇ τὴν μυστικὴν ἐπαίρειν, ὅσον καὶ ἀμετόχους τοὺς καθ' ἡμᾶς μοναχοὺς ὑπο-
λαμβάνειν. καὶ τὴν μὲν σχολαστικὴν (θεωρητικὴν ἐν ἡμῖν λεγομένην) εἴδα-
μεν παρὰ λατίνων ποταμηδὸν ῥέουσαν, καὶ ῥαγδαίως προσαράσσουσαν τοῖς
25 κρημνοῖς, καὶ πόρρω περιηχοῦσαν, ἢ καὶ κωφεύουσαν τὰς τῶν ἀκουόντων διανοί-
ας. ἐπιθολουμένην τε δίκην νείλου τῇ ἐπιπολῇ τοῦ χοὸς. ἔσθ' ὅτε καὶ πλημ-
μυροῦσαν, καὶ κατακλύζουσαν, καὶ τοὺς ὅρους τῶν βατῶν καὶ ἀβάτων συγχέου-
σαν. καὶ στροφαῖς νοημάτων τοὺς ἐντυγχάνοντας περιελοῦσαν, καὶ βυθῷ ἀ-
φανεῖ παραπέμπουσαν. ἠρεμώτερον ἔρρει τὸ πάλαι καὶ ἡσυχώτερον. καὶ νᾶμα
30 διειδές τε καὶ πότιμον καὶ ἥδιστον παρεῖχεν, εὐλαβῶς τὰ θεῖα διαπορθμεῦον,
καὶ ἄμικτον θολερῶν χειμάρρων τὸ ὕδωρ ἐπήγαζεν. ἀλλὰ νῦν ἐν τῇ καθ'
ὑμᾶς, ἵν' εἴπω σαφέστερον, θεολογίᾳ οὐδὲν ἄρρητον, οὐδὲν ἀνερεύνητον, οὐ-
δὲν σιγῇ καλυπτόμενον οὐδὲν εὐλαβείᾳ τηρούμενον, πάντα ψηλαφῶνται καὶ
ὀπίσθια καὶ ὡς δοκοῦσι καὶ πρόσωπα. οὐκ ὀπὴ πέτρας στενοχωρεῖ εἰς τὸ ἀθέα-
35 τον θέαμα. οὐ χεὶρ Κυρίου σκεπάζει ἐπὶ τοὺς θεωροὺς τῆς δόξης. ἀλλὰ καὶ
περιλαμβάνουσιν ἰδεῖν καὶ τὰ ἀθεώρητα, προσόδους τῶν ὑποστάσεων τρόπους γεν-
νήσεως καὶ ἐκπορεύσεως. τὴν τοῦ Θεοῦ οὐσίαν καὶ ἐνέργειαν ὁ ἡμέτερος ἀκι-
νάτης Θωμᾶς πολυπραγμονεῖ. ὅπου γε οἱ θεοφόροι ἡμέτεροι διδάσκαλοι,
τὰς θείας ἐνεργείας ἵνα μὴ οὐσίας, ἀλλ' οὔτε μὴν συμβεβηκότα αὐτὰς εἴπωσι
40 προσόντα τῇ θείᾳ οὐσίᾳ αὐτὰς ὀνομάζουσι. ὁ δὲ καλὸς ὑμῶν Θωμᾶς τὴν
θείαν οὐσίαν, ὡς αὐτὴ ἑαυτὴν κατὰ τὴν κρυφιωμένην καὶ ἀπόρρητον ἐνδοτάτῳ

ἑαυτῆς γνώσει ἑαυτὴν γινώσκει, οὕτως ἐπαγγέλλεται γινώσκειν. ὥστε καὶ τὰ τοῖς Σεραφὶμ αὐτοῖς ἄγνωστα, αὐτὸς ἐγνωκέναι διακομπεύεται, ὡς δῆθεν ὑπὲρ ἄνω τούτων τῇ γνώσει γινόμενος. οὐκ ἐνέμεινε περιεργίας ὅρος ἀπεριέργαστος. καὶ ταῦτα μετὰ σκανδάλων καὶ συγχύσεως τῆς παραδοθείσης ὁμολογίας. ἵλεως ὁ οἰκτίρμων τῆς αὐθαδείας, καὶ ἀποτόλμου διαθέσεως. καὶ τοιαύτη μὲν ἡ μὴ σώφρων σχολαστική, ἢ μᾶλλον εἰπεῖν ἠσινόφρων κολαστικὴ καὶ ψυχόλεθρος. οἶδα ὑμᾶς ἀείποτε τοῖς φανεροῖς ἀντιμαχομένους, καὶ ὡς ἐξ ἄλλων παραδειγμάτων τὰ ἑαυτῶν ἀγωνιζομένους κρατύνειν. τὸν Δαμασκηνὸν, καὶ τῶν περὶ αὐτὸν ἄλλους παρεισφέροντες, σχολαστικώτερον γράψαντας, ἀλλ' οὔτι μὲν πρὸς τὰ τῶν αἱρετικῶν διὰ συλλογισμῶν σοφίσματα, σχολαστικώτερον τοὺς ἀντιρρητικοὺς αὐτῶν λόγους προήγαγον, τὰς ἐκείνων πλοκὰς τῶν λόγων διαλύοντες. ὁ δέ γε μετ' ἐκείνους ἱερὸς Δαμασκηνὸς, οὐδὲν ἀφ' ἑαυτοῦ ἐρεῖν ἐν προοιμίοις εὐθὺς ἐπαγγέλλεται. ἀλλ' ὅσα παρὰ τῶν περὶ αὐτὸν ἱερῶν ἐδιδάχθη διδασκάλων, ὥστε οὐ μᾶλλον σχολαστικὴν διδασκαλίαν εἴποιμεν ἂν τὸν ἄνδρα ἐκδοῦναι, ἀλλ' ἔκθεσιν ἀκριβῆ πίστεως ἐκθεῖναι.

Δευτέραν τάξιν ἣ καὶ εἶδος θεολογίας ἔφης τὴν ἐκθετικὴν, ἀλλ' ὤφελες πρώτην ταύτην ἐντάξαι παρέλιπες. εἴπερ γὰρ θεολογία τοῖς πάλαι πατράσιν ἡ ἁγία γραφὴ, καὶ οἱ θεολόγοι οἱ γράψαντες. αὕτη ἀκολούθως κυρίως θεολογία, καὶ οἱ περὶ τὴν ἔκθεσιν αὐτῆς διατρίβοντες, ἀληθέστερον θεολόγοι. τοιοῦτοι οἱ πατέρες ἡμῶν οἱ ἀείμνηστοι. ἐν ὑμῖν δ' οἱ εὐδοκιμήσαντες πλεῖστοι, οἱ δὲ μετερχόμενοι σπανιώτατοι. ὑπὸ τῆς πολυρροίζου δῆθεν καὶ βαθυρρόου δίνης σχολαστικῆς, ἀπαγόμενοί τε καὶ συμπνιγόμενοι. τὴν δὲ μυστικὴν ὀνομάσας, καὶ ὑμῖν ἄγνωστον ἐπωνείδισας, ἐποθοῦμεν ἀκοῦσαι τί δὴ αὕτη σημαίνει, πόθεν ἔχουν εἰς διαίρεσιν προεκόμισας; εἰ γὰρ τὰ τῆς θεολογίας ἀπόρρητα, οἶδ' ὅτι οὐδὲν ὑμεῖς εἰάσατε ἀπερίφραστον, καὶ εἰ μὲν τοιαύτη ἡ μυστική, ἤδη συμπίπτει τῇ σχολαστικῇ. εἰ δὲ τὴν συμβολικὴν λέγεις τὴν περὶ τὰ παραδοθέντα μυστήρια καταγινομένην, καὶ λίαν ἡμῖν ἡ ταύτης μελέτη γνωρίζεται περισπούδαστος. ὥστε μηδένως παρασαλεῦσαι (ὅταν καὶ ἐπιτίθεσθε) τῶν πατρικῶν παραδόσεων.

Τὴν ἠθικὴν, κἂν τὴν ἐπαινοῦμεν ἐπιμελῶς τοῖς δυτικοῖς ἐξησκημένην ἤντινας δεισιδαιμονίας μᾶλλον ἢ νηστείας περιέλοισθε. καὶ τὰ εὐλαβέστερον αὐτόθι διατιθέμενα, εἴθ' αὖ ἐν τῇ θεωρητικῇ καὶ μυστικῇ πάλαι διετηρήσατε. καὶ αὕτη μὲν ἡ παρὰ σοὶ τετραπλῆ, ἢ μᾶλλον κολοβὴ θεολογία. προσθήσω γάρ σοι ἑξαπλῆν ἢ καὶ ἑπταπλῆν ἀποδείξας. καὶ εἴθε τετραπλῆν διελὼν ἱστορικὴν καὶ κανονικὴν μὴ παρέλιπες. τὸν γάρ σου τὸν λόγον φαίην κἀγὼ τοιαύτη οὖσα τυγχάνει ἡ ἱστορικὴ καὶ κανονική. ὥστε ἀδύνατον χωρεῖν ἐν αὐτῇ ἀπάτην. ὁμολογήσετε μετερχόμενοι. ἱστορικὴν δὲ λέγω, οὐ τὴν τῆς γραφῆς μόνον. αὕτη γὰρ ἐμπεριέχεται τῇ ἐκθετικῇ, ἀλλὰ τὴν ἀπὸ τοῦ εὐαγγελίου. περιέχεται γὰρ ἐν ταύτῃ ἡ περὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων διήγησις, ἄχρι τῆς συντελείας αὐτῆς. ἡ γὰρ θεοπάτη ἀρχῆθεν ἐκκλησία, καὶ θεὸν τὸν ἔνσαρκον ἔχουσα κεφαλὴν, εἰκότως τὰ οἰκείως ἐν αὐτῇ ἱστορούμενα, θεολογία καλοῖτο ἱστορικὴ, ἧς περ ἁμοι-

ρεῖτε

ρεῖτε (πλὴν ὀλίγων καὶ γεραιτέρων) οἱ νεώτεροι πάντες, οἱ ἐπιτετραμμένοι δῆθεν
σχολαστικοὶ ἱκανοί. ὁμοίως ἔχει καὶ ἡ κανονική, παρ' ὑμῖν μὲν θρυλλουμένη
τοῖς νομικοῖς, ἀλλ' οὐδὲν ἄμεινον ἢ εἴπερ διεσπαραγμένῳ μεληδὸν διέκειτο
σώματι. ὅταν γὰρ τὰς ἀποστολικὰς καὶ συνοδικὰς διατάξεις ἠκυρώσατε, καὶ τὰς
5 πατρικὰς ἀντεισάξατε, ποία λοιπὸν ἐν ὑμῖν κανονικὴ ἐπιστήμη περιλέλειπται;
ἢ ποία συνόδων ἐμπειρία, ἢ καὶ ἀνάγνωσις. ἔσω τελευταῖα ἡ σύμμικτος
ἐκ τῶν ἐξ τούτων ἡ πρακτική, ἣν καὶ πολυτρόπως ὑμεῖς εἰς ἄκρον ταύτην πε-
παιδευμένοι, εἰς τὴν τῶν λαῶν κατήχησιν καὶ διόρθωσιν ἐπέμβασιν ἐξασκεῖσθε.
τοσοῦτον. ὅμως τῆς τελειότητος αὐτῆς ἀποδέεσθε, ὅσον ὀλιγωροῦντες τῶν
10 γνησίων τῆς ἐκκλησιαστικῆς ἱερείας διηγημάτων, καὶ τῶν κανονικῶν διατάξεων
ἀπεδέχθητε. ἀλλ' ἐκ τῶν ἐπαίνων ὑμῶν καὶ καυχημάτων ἤδη καιρὸς μετα-
βῆναι καὶ πρὸς τοὺς ὀνειδισμοὺς οὓς τοῖς ἀνατολικοῖς κρουνηδὸν κατέχεας, καὶ
τὴν τούτων μισαλήθειαν ἐξελέγξωμεν.

Ε´

Πρὸς τὸ πέμπτον οὖν λέγομεν. ὅτι οὐδαμῶς ἀπὸ τοῦ χωρισμοῦ ἤρξατο ἐκμει-
15 οῦσθαι ἡ ἀνατολικὴ ἐκκλησία, οὐ δὲ τὸ τῶν ἑλλήνων ἐνδοξότατον ἔθνος. ἀπὸ
γὰρ τοῦ φωτίου χρόνων, καὶ θαυμασίως ἐπηυξήθη. εἴτε γὰρ βούλγαροι, καὶ ῥῶσσοι ἐπὶ
Μιχαὴλ, καὶ ἐπὶ Κωνσταντίνου τοῦ πορφυρογεννήτου οἱ μοσχοβῖται, ἔθνη πολυ-
άριθμά τε καὶ ἰσχυρὰ, τῇ ἀνατολικῇ ἐκκλησίᾳ προσετέθησαν καὶ μέχρι τοῦ νῦν
ὑποκύπτονται, καὶ τῇ ὀρθοδόξῳ μερίδι ταύτης προσμένουσι. ἀφεὶς δὲ μαρ-
20 τύριον τοῦ πράγματος, ὅτι ὁ φθόνος περὶ τῆς βουλγαρείας, τοὺς ῥωμαίων
ἀρχιερεῖς ἀπὸ νικολάου πρώτου καὶ τοὺς ἑξῆς ἀνηρέθιζε. καὶ οὐ μόνον κατὰ τὴν πίστιν,
ἀλλὰ καὶ ὑπὸ τὰ σκῆπτρα τῆς ῥωμαϊκῆς βασιλείας οἱ βούλγαροι, ἀνδρείᾳ Ἰ-
ωάννου τοῦ τζιμισκῆ ὑπετάγησαν. καὶ ἀποστάντες τελεώτερον αὖθις ὑπὸ βα-
σιλείου τοῦ προγόνου αὐτοῦ, ἐγγόνου δὲ Λέοντος τοῦ σοφοῦ καθυπεβλήθησαν. ὅθεν
25 καὶ βουλγαροκτόνος ἐπωνομάσθη. καὶ τὴν ἀσίαν ἔτι οἰκουμενικοὶ δουλωθεῖσαν
ὑπὸ ἐθνῶν, ἀνεκτήσαντο. μάλιστα ὁ πανευδαίμων κληθεὶς Ἰωάννης, καὶ
μέχρι τῆς Κωνσταντίνου ἁλώσεως, ἢ καὶ δουλείας, (ὡς ὀνειδίζεις) ὑπὲρ τὰ
πεντακόσια ἐνενήκοντα ἔτη τὰ ῥωμαϊκὰ παρ' ἡμῖν σκῆπτρα διήρκεσαν. τῆς
δὲ πανωλεθρίας, ἣν ἀντιτείνεις, χάριν ἔχομεν τῇ τῶν ἑσπερίων ὁμονοίᾳ,
30 ἣν καθ' ἡμῶν διεπραγματεύσαντο ἐπὶ τῆς πρώτης ἁλώσεως καθ' ἣν τὰ μέ-
ρη τῆς βασιλείας ὡς ἐμπεσόντες λέοντες διεσπάραξαν, καὶ ἀλλήλοις διένειμαν,
καὶ εἰς τὸ πρότερον συνάψαι, ἢ κἂν γοῦν διαφυλάξαι οὕτω μεμερισμένα ἐπὶ
τὸ ἑξῆς οὐδαμῶς ἠδυνήθησαν. ἀλλ' ἑτέροις, ὥσπερεὶ παραχωροῦντες, πάντα
φέροντες ἔδωκαν, καὶ τούτων τὰ πλεῖστα ἀναιμωτί. τοῦτο ἀληθὲς ἔφης, ὀδύ-
35 νας ὑφ' ὑμῶν τὸ ἑλληνικὸν ἔθνος ἐπειράθη μέχρι καὶ τῆς τελευταίας εἰς
θάνατον τῆς ἐλευθερίας πληγῆς. οὐδέ τι παράδοξον εἴπωμεν, ὅτι τανῦν ἐ-
λευθερώτερον ὑπὸ δουλείαν ἀλλοεθνῶν τε καὶ ἑτεροπίστων τὸ γένος ἡμῶν δια-
τελοῦν, οἶδα ὅτι οὐ τοσοῦτον θαυμάσετε οἱ νοῦν ἔχοντες, ὅσον καὶ μᾶλλον ἐπι-
κροτήσετε. χαιρέτω τοίνυν ταῦτα, ὡς καὶ σωματικὰ (κατὰ τὴν ἀληθῆ ψῆ-
40 φον ὑμῶν) ἀγαθά. καὶ τοῖς πνευματικοῖς χαρίσμασιν ἐγχώμεθα μᾶλλον,
οἷς καὶ πλέον ὀνειδιζόμεθα παρὰ σοῦ. ποῖα δὲ ταῦτα; σκότος φὴς, διδασκα-
λίας στέρησις.

λίας στέρησις, θαυμάτων καὶ ἁγίων ἀνδρῶν; ποῖον σκότος ὑπολυώμματι
σὺ, ἢ μᾶλλον εἰπεῖν νυκτερίδων ἀπόγονε; δείξω σοι λαμπροτάτους πεφηνέναι
ἀπὸ Φωτίου τοὺς τῆς Βασιλίδος γεγενημένους Πατριάρχας, καὶ σοφίᾳ καὶ ἀρε-
ταῖς. τοὺς δὲ τότε Πάπας (ἄγχει γὰρ ἡμᾶς σου ὁ λόγος εἰς τὴν παράθεσιν,
καὶ ἀναγκάζει λέγειν ἃ κρεῖττον ἦν σιωπῇ καλύπτεσθαι παρ' ἡμῖν, καίπερ παρὰ 5
τῶν ὑμετέρων ἱστορικῶν διακεκωδωνισμένα τυγχάνει πάλαι ποτε) οὐ μόνον
σκότῳ βαθεῖ ἀδοξίας ὑποκεκαλυμμένους, ἀλλὰ καὶ δυσφημοτάτους τὰ μά-
λιστα, δυσωνύμους τε καὶ δυσωδεστάτους τοὺς πλείστους, καὶ περὶ μὲν τῶν ἡμε-
τέρων Πατριαρχῶν, ἵνα μὴ καταλέγω καθ' ἕκαστον, ἕνα μοι ἔξελθε Θεο-
φύλακτον, (τὸν καὶ παρανόμως ἐπιβάντα, ὑπὸ τοῦ τυραννοῦντος Πατέρας, 10
ῥωμανοῦ τοῦ λεκαπηνοῦ προβεβλημένον, ἀσέμνως καὶ ἀχαλίνως βιώσαντα,
τῇ κοσμικῇ χρώμενον δῆθεν ἀρχῇ) πάντες οἱ πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν, ἄν-
δρες ἐγένοντο θαυμαστοὶ, ἀξιέπαινοι, καὶ ἀξιολογώτατοι. παραστήσω δὲ ἐφ-
εξῆς εἰς μέσον τοὺς Πάπας, ἀπαριθμῶν μὲν, οὐ κατηγορῶν δὲ, κρύψας γὰρ
τοῖς ἡμετέροις τὴν τῶν Πατέρων ὑμῶν αἰσχύνην ἀμφοῖν φειδόμενος ἀκρι- 15
βῶς, καὶ ἵνα μὴ μάθωσιν ἐκεῖνοι ὑπόδειγμά τι κακὸν, καὶ ἵνα μὴ πάθωσιν
οἱ λατῖνοι ἐφαλλομένων τῶν ἀντιδίκων, ὀνειδισμὸν, πάντως δ' ὀνομάσω τινὰς
ὑπομιμνήσκων τοὺς εἰδότας ὑμᾶς, ἵνα μὴ χείρονες ὄντες, ἐπισκιρτῆτε τοῖς
Ἔτη χριστοῦ | κρείττοσι, καὶ ταῦτα τετιμημένοις βουλῇ δικαίᾳ, ἀλλὰ καὶ χρησίμῃ Θεοῦ. ἀρ-
χομένῳ δ' αὐτίκα ὑπαντᾷ μοι ὁ ἐπὶ Φωτίου, καὶ Φωτίου ἀντίδικος μαρῖνος ἢ 20
:Α: ωπβ΄ | καὶ μαρτῖνος [A] ὁ καὶ συνεδρεύσας, τῇ ἐπ' Ἰγνατίου οἰκουμενικῇ συνόδῳ τρί-
τος ληγάτος ὢν τοῦ Πάπα καὶ διάκονος. ἐρωτήσωμεν διὰ θύρας εἰσῆλθεν
οὗτος εἰς τὴν αὐλὴν τῶν προβάτων, ἢ διὰ θυρίδος εἰσεπήδησεν; ἐκαλα-
κρίνας ὡς ἐπιβάτην ποτὲ Φώτιον, καὐτὸς κακοτεχνίαις ὡς αὐτοὶ ἱστορεῖτε τὴν
σκοπιὰν τῆς ἐκκλησίας ῥώμης κατέλαβεν. ἐῶ νῦν λέγειν περὶ τῆς Παπίσης 25
:Β: ων δ΄. | Ἰωάννας [B] προσεπιπλάττειν κάκιστον τοῖς ῥηθησομένοις οἰωνὸν. εἰ καὶ τὰ ὄμμα-
τα μύσας παρέρχομαι, τὴν ἀρχιερωσύνην τῆς τοῦ Πέτρου καθέδρας αἰδού-
μενος. ἅπερ οὐδὲ πιστεῦσαι προεθέμην, εἰ μὴ ἐκ προπετείας τοῦ Πάπα Λέον-
τος ἐννάτου, παιδαριωδῶς καὶ γελοίως εἰς τὸν πεπολιωμένον τῆς Βασιλίδος
θρόνον ἀντιστρέφειν ψευδῶς ἐπεμηχανήθη τὸ δραματούργημα, πρὸς τὸν κηρου- 30
:Γ: ωηα΄ | λλάριον ἐπιστέλλων, ἀλλὰ τὰ περὶ Φορμόσου [Γ] ὑπὸ στεφάνου ἕκτου, [Δ] καὶ Σεργίου
:Δ: ωης΄ | τοῦ τρίτου [E] δραματουργηθέντα, ὡς νεκρὸν δήπου ἀνέσκαψαν ἄμφω, καὶ ὁ
:Ε: ϡδ΄ | μὲν πρῶτον ἀποτεμὼν τοὺς δακτύλους, ὁ δὲ καὶ μετὰ ὀκτὼ ἔτη τὴν κεφαλὴν,
καὶ εἰς θύμβριν τὸν ποταμὸν βυθίσας καὶ χειροτονίας ἐκείνου ἀκυρώσαντες,
καὶ ἀναχειροτονήσεις τελέσαντες, ποίας οὐ γέμουσι φρίκης καὶ ἀπηνείας. 35
:Ζ: ωηζ΄ | ῥωμανὸς [Z] δ' ὁ μαρτίνου ἀδελφὸς καὶ Θεόδωρος [H] δεύτερος, ἄμφω πρὸ τοῦ
:Η: ωηζ | Σεργίου, Φορμόσου ὑπεραγωνισάμενοι, καὶ τὰ τοῦ Στεφάνου ἀποδοκιμάσαντες,
:Θ: ϡγ΄ | ἆρ' ὑπερίσχυσαν, ἢ ἠπιλήθησαν ἀθανώσαντες; τί δὲ καὶ χριστόφορος [Θ] ὁ
καινοτομήσας πρῶτος τὴν ἐν τῇ κοινῇ καὶ ἀρχαίᾳ ὁμολογίᾳ προσθήκην, ὁποῖος
διέπρεψεν; οἷος δῆθεν προδότης τε καὶ παράνομος ἦν, ὃς τὸν εὐεργετοῦντα λέον- 40
τα ἕκτον, βίᾳ καθεῖλε, καὶ τὸν θρόνον ὑφήρπασεν. ἀλλ' ἀπέλαβε καὶ αὐτὸς μεθ' ἑπτὰ
μῆνας ὑπὸ

μῆνας ὑπὸ τοῦ ἄνω Σεργίου, καὶ χείρονα. Τοῦτον γὰρ ἐκ τοῦ μοναστηρίου, ὅποι
μονάζειν κατηναγκάζετο, ἐκβαλὼν, ἐν σιδηροπέδαις ἐνέκλεισε. ποταπὸν
δὲ καὶ κείνουμεν Ἰωάννην [I] τὸν δέκατον, ὃν γυιὸς ἐκόμης συλλαβὼν, μετὰ — I: ϡιδ':
προσκεφαλαίου ἀπέπνιξε; ποταπὸς καὶ ὁ δωδέκατος. [K] ὃς τῇ τοῦ Πατέρος βίᾳ — K: ϡνϛ':
5 καὶ δυνάμει χρησάμενος, ἐπέβη τοῦ θρόνου, κυνηγεσίοις σχολάζων, καὶ ἀκο-
λασίαις παντοίαις, συνοδικῶς τε καθαιρεθεὶς ὑπὸ τοῦ δυτικοῦ καίσαρος ὄθω-
νος, καὶ αὖθις ἀνακληθεὶς, τέλος φωραθεὶς ἐν μοιχείᾳ διεφθάρη μαχαί-
ρᾳ; ποταπὸς καὶ ὁ τρισκαιδέκατος, [Λ] ὃς ὑπὸ τῶν πολιτῶν εἰς τὴν ἀκρό- — Λ: ϡξέ:
πολιν καθειρχθεὶς εἰς κανύλην ἔπειτα περιωρίσθη; ποταπὸς καὶ ὁ τεσσαρες-
10 καιδέκατος, [M] ὃς καὶ αὐτὸς εἰς τὴν τῆς ῥώμης ἀκρόπολιν ἐγκλεισθεὶς, λιμῷ καὶ — M: ϡπδ':
δυσωδίᾳ τῆς εἱρκτῆς ἐτελεύτησε. ποταπὸς καὶ ὁ πεντεκαιδέκατος. [N] ὃς καὶ μι- — N: ϡπέ:
σῶν καὶ μισούμενος ὑπῆρχε, οὐ ποιμὴν, οὐ Πατὴρ, ἀλλὰ λύκος ἐνομίζετο, καὶ
τοῦ δημοσίου πολέμιος; ποταπὸς, καὶ ὁ ἑπτακαιδέκατος [Ξ] (ἵνα τοὺς Ἰω- — Ξ: ϡϟδ':
άννας ἅμα πάντας συγκαταλέξω) ὃς ἐκ διωχθέντος Γρηγορίου πέμπτου τοῦ
15 σάξονος ὑπὸ τῶν πολιτῶν, αὐτὸς (καίτοι ἐξ ἑλλήνων ὁρμώμενος) τυραν-
νικῶς εἰσεπήδησεν. ἀλλὰ καὶ συνοδικῶς καθαιρεθεὶς, καὶ τυραννικώτερον ἐκ-
τυφλωθεὶς, ἀπηλλάγη τοῦ βίου. τί δὲ κρεῖττον ἄρα ὁ κακοτέχνως τοῦτον δια-
δεξάμενος Σίλβεστρος, [O] ὃν καὶ μάγον διαφημίζουσιν; ἀλλὰ πῶς σιγήσο- — O: ϡϟη:
μαι τοὺς ἀναμεταξὺ τῶν ἄνωθεν Ἰωαννῶν παραλειφθέντας; Στέφανον [Π] μὲν — Π: ϡλθ:
20 τὸν ὄγδοον, ὃς ὑπὸ τῶν ποιμένων κατατρωθεὶς τὴν ὄψιν, κατάστικτος ἐπεφαί-
νετο; ἀλλὰ μὴ τούτων κρείττων ὁ ἕκτος Βενέδικτος. [P] ὁ καθειρχθεὶς ἐν τῇ — P: ϡοϛ':
ἀκροπόλει, καὶ πνιγμονῇ βιαίᾳ καταλυθεὶς ὑπὸ κιγκίου πολίτου; τί δὲ καὶ
περὶ Βονιφατίου ἑβδόμου [Σ] ψηφίσομεν, ὃς τὸν μὲν θρόνον κακοτεχνίαις ὑπο- — Σ: ϡοδ':
κλέψας πρῶτον, οὐχ ἧττον δὲ καὶ τοὺς τῆς ἐκκλησίας θησαυροὺς ὕστερον, εἰς τὴν
25 Κωνσταντινούπολιν ἀπέδρα ἐξελαυνόμενος, κἀκεῖ πάντα ἐξαργυρίσας αὖθις
τὴν ἀρχὴν ἐπανῆλθεν ἐπωνησάμενος; ποταποὺς δ' ἡγησόμεθα τοὺς τρεῖς ἅμα
Βενέδικτον [T] ἔνατον, Σίλβεστρον, [V] τρίτον. καὶ Γρηγόριον [Φ] ἕκτον, ὧν — T: ͵αλδ': V ͵αμδ':
τὸν πρῶτον διὰ τὴν ἀχρειότητα ἐκβαλόντες οἱ πολῖται, Σίλβεστρον ἀντεισή- — Φ: ͵αμέ:
γαγον; τοῦτον δ' ἀντεξέωσεν αὖθις εἰσελθὼν ὁ Βενέδικτος, καὶ ἱεροσόλυμα
30 ἑαυτῷ προνοησάμενος, συνεφώνησε πρὸς Γρηγόριον. καὶ ὁ μὲν ἐλάμβανεν,
ὁ δὲ χρυσίον ἐδίδου, τὴν τοῦ ἀνταλλάγματος δῆθεν τιμήν; ὁποῖοι ἄρα καὶ οἱ
τρεῖς οὗτοι αὐτίκα ἡ σύνοδος ἀπεφήνατο, διὰ τοῦ καίσαρος ἐρρίκου, τούτους
μὲν καθελοῦσα, κλήμεντα δὲ δεύτερον [X] βίᾳ τοῦ κρατοῦντος ἀποδεξαμένη. — X: ͵αμζ':
ὃν οἱ καλοὶ φιλοποίμενες μετὰ μῆνας ἐννέα, δηλητήριον συμμίξαντες φάρ-
35 μακον, καὶ τῷ ἱερουργηθέντι κεράσαντες ποτηρίῳ ἀπώλεσαν. ἐῶ λέγειν τὸν
μετ' αὐτὸν δαμάσον [Ψ] δεύτερον, βίᾳ, κλήρων ἀέκητι λεῶντε, τὴν ποιμαν- — Ψ: ͵αμη:
τικὴν καθαρπάσαντα. καὶ τοὺς καθεξῆς, εἰκαύπινας τῶν προηριθμημένων ἀ-
μείνονας, ἱκανὸν ἡγησάμενος τοῦτο δεῖξαι, ὃ καὶ προειλόμην ἠπειγμένος, ὅσα
τέρατα τὰς τοῦ πέτρου καθέδρας ἐπέβησαν, ὅσοι μιξόθηρες (οὐ γὰρ ἂν ἀνθρώπους
40 τοὺς τοιούτους καλέσαιμι) τῆς ῥωμαϊκῆς ἐκκλησίας προέστησαν, ἀπὸ φωτίου
μέχρι κηρουλαρίου, καὶ ἀμφοῖν κατὰ λατίνους τοῦ χωρισμοῦ ἀρχηγῶν, ἐν ἑκα-

τὸν περίπου

Ἔτη Χριστοῦ
ωξγ΄: ἰνδ: α΄:
Ω: ωοή: ἰνδ: β΄:
Α: ωνδ΄: ἰνδ: α΄:
ωξή: ἰνδ: β΄:
Β: ωπς΄:
Γ: ωϟγ΄:
Δ: ϡα΄:
Ε: ϡή:
Ζ: ϡγ΄:
Η: ϡκβ΄:
Θ: ϡκέ:
Ι: ϡλα΄:
Κ: ϡνδ΄:
Λ: ϡιζ΄:
Μ: ϡοε Ν ϡπ΄
Ξ: ϡϟδ΄:
Ο: ϡϟζ΄:

τὸν περὶ τὰ καὶ ἓξ πρὸς τοῖς ἑβδομήκοντα ἔτεσι. καθ' ὃν καιρὸν ἤρξατο τὸ
αἰγυπτιακὸν σκότος· ὡς ἐλήρεις, ἐπιχέεσθαι τῇ ἀνατολῇ. ὅθεν εἰς ἀληθεί-
ας παράστασιν, καὶ ἄκοντά με καθείλκυσας, ἐξ ἀντιπαραθέσεως τοὺς τῆς βα-
σιλίδος νέας ῥώμης καὶ τῆς πρεσβυτέρας προεδρεύσαντας εἰς μέσον παρα-
γαγεῖν, ἵνα πῇ μὲν τὸ φῶς, πῇ δὲ τὸ σκότος ἐνοικῆσαν διαγινώσκειν ἔχῃς 5
καλῶς, ἀλλ' ἵνα μὴ στήσας διὰ τὸ συνοπτικώτερον, παραδραμεῖν τοὺς ἡ-
μετέρους δόξω πατριάρχας, ὡς κρύψων δῆθεν τινὸς αἰσχύνην ἰδοὺ καὶ τοὺς
ἀπὸ Φωτίου ἀντικαταλέγω πάντας. ἵνα τῇ καθ' ἕκαστον ἐπαγωγῇ, πληρο-
φορίαν πίστης λάβῃ περίεργος, ὅτι πλὴν Θεοφυλάκτου, περιφανεῖς οἱ πλεῖ-
στοι ἐπὶ σοφίᾳ καὶ ἁγιότητι καὶ ἀρεταῖς παντοίαις κεκόσμηντο. καὶ ὅτι πάντες 10
σεμνοὶ καὶ ἱεροπρεπεῖς, καὶ τῷ ὄντι ποιμένες, καὶ σχεδὸν ἀδόκιμος πάμπαν
οὐδεὶς ἦν, ἔξω γοῦν ἀρχηγὸς τῆς ἀπαριθμήσεως ὁ περὶ οὗ ὁ λόγος, πολυώνυ-
μος Φώτιος Ω ᾧτινι πλὴν τῶν ἐπὶ Ἰγνατίῳ Α πεπλημμελημένων (οὕτω
τῷ Βασιλεῖ Μιχαὴλ δόξαν, καὶ τῷ καίσαρι Βάρδᾳ) κακίαν ἄλλην ἐπιγρά-
ψαι οὐδεὶς δυνηθήσεται. ἀρεταῖς δὲ πλείσταις καὶ συνεισφορὰς τῇ ἐκκλησίᾳ οὐκ 15
ὀλίγας, στέφανος Β μετὰ τοῦτον ὁ λέοντος ἀδελφὸς τοῦ σοφοῦ. ὁ καὶ ἐν ἁγίοις
μετὰ Ἰγνατίου ἐγγεγραμμένος. εἶτα Ἀντώνιος ὁ ἐπίκλην Γ καυλέας ἀ-
νὴρ ἁγιώτατος, καὶ ἐλεημονέστατος, καὶ τοῖς λατίνοις ἱερεῦσι στεργόμενος,
οὗ ἡ μνήμη ἐτήσιος :ιβ: Φευρουαρίου. μεθ' ὃν Νικόλαος Δ ὁ ἀείμνηστος ὁ
ἀπὸ μυστικῶν λεγόμενος, ὃς τῷ μὴ συγχωρεῖν τῷ Βασιλεῖ λέοντι τὴν τετρα- 20
γαμίαν, ὑποθήκαις Θεοδώρου τοῦ Πάπα ἐκδιωχθεὶς, ὑπ' Ἀλεξάνδρου αὖ-
θις ἐντίμως ἀνεκλήθη Ε ἐν τῷ μεταξὺ δὲ τῆς τούτου ἐξορίας εὐθύμιος
Ζ ὁ σύγγελος, ἀνὴρ ἠσκημένος καὶ διορατικὸς, ὃς καὶ τὸν λέοντα εἰς μεταμέ-
λον ἐνουθέτησε, μετὰ Νικόλαον δὲ ὁ ἀμασείας στέφανος Η ὃν ἄνδρα πεφηνέ-
ναι ἐπίσημον, τεκμήριον ἡ ἀήθης παραστάνει μετάθεσις ἀλλ' ὁ διαδεξάμενος 25
ἀναμφιβόλως ἐφάνη καὶ ἐν ἁπλότητι ἄμεμπτος, Τρύφων Θ οὗτος ἐκ μοναχῶν,
ὁ καὶ ἐν μνήμαις ἁγίων ἐτησίως ἀνευφημούμενος. ἐντεῦθεν ὁ ἀνάξιος καὶ τοῦ
ὀνόματος καὶ τοῦ θρόνου περιαδόμενος Θεοφύλακτος. Ι ἑξῆς δὲ πολύευκτος
Κ ὁ ὑπὸ τῶν γονέων εὐνουχισθεὶς καὶ πολλῷ χρόνον τῇ μοναδικῇ πολιτείᾳ
ἐνδιαπρέψας, διὰ τὸ τοῦ ἤθους σεμνὸν, καὶ τὸ τῆς σοφίας ὑπερβάλλον, καὶ 30
τὴν ἀκτημοσύνην (κόσμον πολύτιμον τῷ τοιούτῳ ἀξιώματι) προβληθεὶς,
ἀπτόητός τε καὶ γενναῖος πρὸς τοὺς βασιλεῖς ἀναδεδειγμένος, ἀλλὰ καὶ μετὰ τὴν
μακαρίαν κοίμησιν ἐν ἁγίοις ἐγκατειλεγμένος, αὐτὸς πρότερον τὸν Μακά-
ριον εὐθύμιον τοῖς ἱεροῖς ἐντάξας διπτύχοις, οὐ πολλῷ τούτου ὑποδεέστερος
ὁ μετὰ τοῦτον Βασίλειος Λ μοναχὸς ὁ σκαμανδρηνὸς ἐπ' ἄκρον τῆς (φησὶ κεδρινὸς) 35
τελειότητι μαρτυρούμενος. οὗ δὲ καθαιρεθέντος ἐπ' αἰτίας (φθόνου σκευωρήσαν-
τος) Ἀντώνιος Μ ὁ στουδίτης προχειρίζεται. οὗ παραιτησαμένου Νικόλαος Ν ὁ χρυ-
σοβέργης προτίθεται. εἶτα σισίνιος Ξ ἀνὴρ ἐλλόγιμος δὲ ἰατρὸς ἄριστος ὃς δὲ τὸ σχίσ-
μα τὸ διὰ τὴν τετραγαμίαν ἔτι κρατοῦν, εἰς τελείαν ἐπήγαγεν εἰρήνην. ἑξῆς προ-
βάλλεται Σέργιος Ο μοναχὸς ὁ Φωτίου ἀνεψιὸς, ὁ τῆς καινοτομίας ἀ- 40
παλείψας τῶν διπτύχων τοὺς Πάπας. ὁ ποῖος δ' οὗτος ὑπέδειξε ῥωμανὸς

βασιλεὺς

βασιλεὺς ὀψίγονον. ὃς τὰ μέγιστα ὑπερηδεῖτο τὸν ἄνδρα (ὡς ἱστορεῖ κεδρηνὸς)
ἀρεταῖς ὄντα κατάκοσμον, καὶ πᾶσι κοσμούμενον τοῖς καλοῖς. οὗ πρὸς Κύ-
ριον φησὶν, ἐκ δημήσαντος ἀνάγεται ὁ πρωτοπρεσβύτερος τοῦ παλα-
τίου, εὐστάθιος. [Π] μεθ' ὃν καὶ ἀλέξιος [Ρ] ὁ τοῦ στουδίτου ἡγούμενος. οὗ τινος
5 προσμαρτυρεῖ τῇ ἀξίᾳ τὸ τοιοῦτον ἐπάγγελμα. καὶ τέλος ὁ πρὸς τὴν ἀντι-
παράθεσιν ἧκον, ὁ περιβόητος Μιχαὴλ [Σ] ὁ κηρουλάριος. οὐ προλείπων τὸν ἀριθ-
μὸν ἤδη συλλήβδην. εἰπών. πάντας ἕως τῆς ἐσχάτης ἁλώσεως. τοιούτους ἀ-
ξιολόγους ἄνδρας προεσφράγισαντας τῆς βασιλίδος. τούτων δ' ἀρκοῦμαι τῷ
καταλόγῳ, ὡς τοῖς παρακαταλεγμένοις ἀρχιερεῦσι ῥωμαίων συγχρονήσαντας,
10 μέχρι γὰρ καὶ τούτου περαίνει τὴν ἱστορίαν καὶ κεδρηνός. μέσον δ' ἀμφοτέρων
τιθέσθω, ὅπερ εἶναι τἀληθῆ θέλων, καὶ ἐξ ἀντεξετάσεως ἀναθεωρείτω καὶ ψη-
φιζέτω, τίνες ἐπ' ἀρετῇ, καὶ τίνες εἰς τοὐναντίον ἐβίωσαν. ἐμοὶ γὰρ δοκεῖ
καὶ τυφλοῖς διαυγάζειν τὴν τῶν ἀνατολικῶν ἀρχιερέων λαμπρότητα, τῶν δὲ
ῥωμαϊκῶν καὶ τοῖς βλέπουσιν αὐτοῖς ἐπιχέειν τὴν τῶν ἐκτοποτάτων ὁμίχλην,
15 ἠθῶν τε καὶ πράξεων.

Ὃ δὲ πάλιν κατὰ τῷ αὐτῷ τούτῳ σημείῳ ἡμῖν κατονειδίζεις, ὅτι ἀνδρῶν ἁγί-
ων ἐστέρηται ἀπὸ τοῦ χωρισμοῦ ἡ ἀνατολὶς, ἤδη ἐκ παραθέσεως τῶν σῶν καὶ
ἡμετέρων ἱκανῶς ἐξελήλεγκται. τὸ δ' ὅτι ζωναρᾶς πρότερον ἱστορήσας πολ-
λοὺς οὐδενὸς τῶν μετὰ τὸν φώτιον ἐμνημόνευσεν; εἰ καὶ οὕτως ἔχει. (τὰ νῦν
20 τῶν ἱστοριῶν μὲν ἐκείνου μὴ ὄντων παρ' ἡμῖν) ὑποθώμεθα ὅμως. λύομεν δὲ
καὶ τὴν ἀπορίαν, ὅτι περὶ φωτίου αἱρέσεις πυκναὶ τὴν ἐκκλησίαν συνεκλόνουν
καὶ συνετάραττον, ὧν τὴν κατάλυσιν οἱ κατεργασάμενοι, εἰκότως καὶ ἀναγ-
καίως ἄνδρες θεόπνευστοι καταλέγονται. μετὰ δὲ φώτιον οὔτε νόσος ὤφθη τοιαύτη,
οὔτε χρεὼν ἦν ἰατρῶν. οὐ μὴν διὰ τοῦτο καὶ ἀπὸ τῆς ἀνατολικῆς ἐκκλησί-
25 ας ὁσιώτατοι ἄνδρες ἐξέλιπον. αὐτίκα γάρ σοι πρῶτον μὲν τοὺς ῥηθέντας αὐτοὺς
ἀοιδίμους καὶ ἁγίους Πατριάρχας, προσθήσω καὶ Ἰωάννην τὸν ξιφιλῖνον [Τ] καὶ
Ἰωσὴφ τὸν ὁμολογητὴν [V] ἐν ταῖς τῶν ἁγίων μνήμαις ἐγγεγραμμένους, καὶ
πλείστους ἄλλους κατὰ πόδας. δεύτερον ὅτι οὐδέποτε θαυμάτων γεγύμνωται. τρί-
τον οὐδὲ διδασκαλίας ἐστέρηται ἡ ἀνατολικὴ ἐκκλησία.

30 Πρὸς γοῦν τὸ πρῶτον πλείστων καὶ ἀπείρων πανταχοῦ ἀποφανθέντων, ὡς τὰ
θαύματα τούτων μαρτυρεῖ, καὶ τῶν μυροπνόων ἡ ἀκηρατότης λειψάνων,
παρῆκται ἐν πρώτοις ὁ πολυώνυμος ἐν τῷ ἄθωνι Ἀθανάσιος. ὃς καὶ πολίτας
ὡς ἀληθῶς τὸ ἔρημον ἐκεῖνο καὶ δύσβατον ὄρος καὶ ἀνώνυμον, τῇ τῶν ἀπείρων
μοναχῶν τε καὶ ἀσκητῶν συνδιαιτήσει, πολιτείαν πνευματικὴν ἀπέδειξε,
35 θαύμασι πολυτρόποις ὑπὸ Θεοῦ δοξασθείς. ἤκμασε δ' ἐπὶ Νικηφόρου τοῦ νέου
φωκᾶ καὶ τζημισκῆ Ἰωάννου. πλεῖστοι δ' ἐν κύπρῳ τυγχάνουσι τῶν τοιούτων.
ἐξόχως δ' ὁ τῶν ἐγκλείστων ἀγελάρχης νεόφυτος, καὶ Ἰωάννης τις κοσμικὸς
ἀνὴρ τοὺς ὀφθαλμοὺς πηρωθεὶς ἀδίκως, ἐν θαύμασι καὶ νῦν περιβόητος. ἤστην
δ' ἐπὶ τῶν κομνηνῶν βασιλέων ἀμφότεροι. καὶ χριστόδουλος ὁ τῆς ἁγίας ἐν
40 πάτμῳ ἀποκαλύψεως κοινοβιάρχης, πανταχοῦ περιᾴδεται. καὶ Ἀντώνιος τις
ἐν βεῤῥοίᾳ τῆς θετταλίας θαυματουργὸς ἐπιδείκνυται, τοῖς πᾶσι προκείμενοί τε

Π: α ι ή: Ρ: α κ ς′
Σ: α μ δ′:
ἕως α ν θ′:
Τ: α ξ γ′:
V: α σ ξ ώ:
β′ γ′
ά

καὶ ἀσπαζόμενοι. ὁμοίως καὶ Πέτρου ἀρχιεπισκόπου Ἄργους, καὶ Θεοδοσίου τοῦ
ἀδελφοῦ αὐτοῦ Μητροπολίτου Κορίνθου, οἷς καὶ ναοὺς μέχρι νῦν ἀνατεθει-
μένους εὑρήκαμεν. καὶ μελέτιόν τινα πολλῷ ὕστερον μετὰ τούτους ἐμάθομεν.
οὗ ἐπ' ὀνόματι καὶ μοναστήριον παμμέγεθες κεῖται μεταξὺ ἀθηνῶν καὶ θηβῶν,
καὶ νεωτέρων ἔτι πολλῶν ἁγίων ἠσπασάμεθα λείψανα, θαυμασίαν εὐωδίαν ἐκ- 5
πνέοντα. οἷς καὶ συγχρονήσαντάς τινας ἔγνωμεν καὶ διηγουμένων ἠκούσαμεν.
ἐν κρήτῃ μὲν περὶ Ἰωάννου τινὸς μοναχοῦ ἀσημάκη τοὐπίκλην κατὰ τὴν χάνδα-
κα, καὶ περὶ χαραλάμπους τοὐπίκλην Ἀντωνίου ἀφθονίαν χαρισμάτων, καὶ
μύρων ἐκ τῆς νεοφανοῦς αὐτοῦ σοροῦ ἀποπέμποντος. ἴδομεν ὁμοίως καὶ γέ-
ρασιμον ἄλλον ἐν κεφαληνίᾳ οὔπω τὸ ἑκατοστὸν ἔτος ἀποκλείσαντα, παρθέ- 10
νον ἀσκητικῶν τε καθηγητὴν, ἀκηράτῳ θέᾳ τὴν μορφὴν τοῦ σώματος δια-
σώζοντα. καὶ περὶ Παρασκευῆς τινὸς νέας ὑπερλάμπροις πανηγύρεσι τιμω-
μένης ἐν πάσῃ Βουλγαρίᾳ ἐπληροφορήθημεν. ἧς καὶ τὸ τίμιον σῶμα ἐκ τῆς Κων-
σταντίνου εἰς Μολδοβλαχίαν μετακομισθὲν προσιόντας ἐκεῖ πλείστους, ὡς ἴ-
δομεν καὶ αὐτοί, ἀποδέχεται καὶ ἰᾶται: ἐῶ. νῦν λέγειν Γρηγόριον τὸν καὶ σο- 15
φώτατον, καὶ ἁγιώτατον τῆς Θεσσαλονίκης, τὸν παλαμᾶν, ὅτι τούτῳ ὑμεῖς
ὡς ἀντιδίκῳ, ἀντίδικοι φέρεσθε. ἀλλ' εὐθέως κατ' ἄκρον ἐκπρέπησι μαρτυ-
ρεῖ καὶ τὸ λείψανον καὶ τὰ θαύματα. τὸ ἐπὶ τῶν ἡμερῶν δὲ ἡμῶν μάλι-
στα γεγονὸς ἐν νήσῳ τῇ νῦν λεγομένῃ τῆς ἁγίας εἰρήνης τῶν κυκλάδων μι-
ᾶς οὔσης, ὅτι βλασφημούντων αὐτόν ποτε λατίνων τινῶν ἐκεῖσε, πλεόντων 20
ἐν σκάφει διὰ ψυχαγωγίαν, κατὰ τὴν ἡμέραν τῆς μνήμης αὐτοῦ, καίτοι γα-
ληνιώσης τῆς θαλάττης. αὔτανδρον αὐθωρὸν ἐποντίσθη τὸ πλοῖον, κατὰ τὴν βλα-
σφημίαν ἣν ἔλεγον. ὅτι εἰ ἅγιος ὁ παλαμᾶς καταποντισάτω ἡμᾶς. οἶδα
ὅτι ὡς μέγαν ἡγεῖσθε τὸν ἄνδρα πολέμιον, ἰσχυρῶς ταῖς ὑμῶν καινοτομίαις
ἀντιταξάμενον. καὶ τοῖς ἁγίοις ἐντεταγμένον ἀκούοντες ἀποστρέφεσθε, ἀλλ' οὐ- 25
δὲν παραβλάπτεται παρ' ὑμῶν ἡ τοῦ ἀνδρὸς ἀρετή τε καὶ ἁγιότης. πλὴν καὶ ἕ-
τερον ἀντεισκομίσω, τῇ μὲν πίστει ὁμόφρονα, τῷ δὲ χρόνῳ περὶ τὰ διακόσια
ἔτη μεταγενέστερον. ἀλλ' ἀξιώματι πολλῷ τοῦ θεσσαλονίκης μείζω. Πα-
τριάρχην δῆθεν Ἀλεξανδρείας Ἰωακεὶμ φημὶ τὸν ἀείμνηστον, ὃς περὶ τὸ
͵αφκ'. ἤκμασεν ἔτος. ἐπὶ πολύ τε διήρκεσεν, ὃν τῇ ἱερᾷ εἰώθασιν ὑπ' 30
εὐλαβείας οἱ μετ' αὐτὸν ἐγκοσμεῖσθαι μίτρᾳ, τὸ πρῶτον στεφόμενοι Πα-
τριάρχαι. καὶ τὴν αὐτοῦ κάραν ἐντίμως τοῖς ἁγίοις ἐναποκειμένην λει-
ψάνοις, καὶ κειμηλίοις ἱεροῖς τιμῶσι, καὶ μάλα εἰκότως. εἰς ἔνδειξιν γὰρ τῆς
εὐαγγελικῆς ἀληθείας κατὰ τῶν διαβαλλόντων ἑβραίων, ποτήριον ἰοῦ θανατηφόρου
κερασθὲν ἀπτοήτως πέπωκε. μηδὲν τὸ σύνολον ἐκ τοῦ φαρμάκου παθὼν, μᾶλλον 35
δὲ καὶ θαυμασιώτερον, ἐκ τῆς πλευρᾶς αὐτοῦ ἐξῆλθε τὸ δηλητήριον τῷ τιμίῳ
σταυρῷ πεποιθότως πρότερον τοῦτο ἐπισφραγίσας. πλὴν ὅτι κατ' ἔτος εἰς
μνήμην τοῦ θαύματος ἐκ τῆς πληγῆς ἀπέρρει ὡς λεπτοῦ ἱδρῶτος ἰ-
κμάς. καθὰ δὴ κατὰ διαδοχὴν παρὰ τοῦ ὑπουργοῦντος αὐτῷ Σιλβέστρου
ὁ λόγος ἐκδέδοται. Σίλβεστρος οὗτος δ' ἦν, ὁ καὶ τὸν θρόνον ἐκείνου 40
διαδεξάμενος, ὃς καὶ διήρκεσεν ἕως τῶν ἡμερῶν τῶν Πατέρων ἡμῶν. πότε-

ρον ἄρα

ρον ἄρα τὸν ἱερὸν τοῦτον ἄνδρα καλέσητε. εἴτε ὑποκείμενον, εἴτε συγκοινω-
νοῦντα τῇ λατινίδι. δογματικὸν ὡς πιστεύεις, ἢ καθολικόν; αἱρετικὸν ἢ ὀρ-
θόδοξον; εἴπε καὶ σφιαθῆτε, θαυματουργὸν ἀπέδειξεν ὁ Θεός. καὶ ἐπ' αὐτῷ
πληροῦται ἡ τοῦ Κυρίου ἐπαγγελία, ὅπως εἰπὼν εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀ-
5 κεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει, καὶ τὸ κἂν θανάσιμόν τι πίωσιν
οὐ μὴ αὐτοὺς βλάψῃ. ἐῶ καὶ πλείους ἄλλους ἀπαριθμεῖν καὶ γνωστοὺς καὶ ἀγνώ-
στους, καὶ πάλαι καὶ νῦν καὶ ἀεὶ διαπρέποντας καθεξῆς τῷ Θεῷ, οὓς καὶ αὐτὸς
ὁ καιρὸς εἰς ἔνδειξιν τῆς αὐτῶν καθαρότητος καὶ ἁγιστείας, ἄφθαρτα καὶ ἀδιά-
φθορα διαφυλάττει τὰ σώματα, ὧν γέμουσι τὰ τῶν μοναστηρίων πανταχοῦ κοι-
10 μητήρια. ἃ δ' αὐτὸς ᾐσθόμην, καὶ ὀφθαλμοῖς καὶ διανοίᾳ μᾶλλον, ἐν τῷ
θεοβαδίστῳ ὄρει Σινᾶ, (τῇ ἀρχαίᾳ μονῇ τῆς ἐμῆς διαγωγῆς) ἐπειπών, κα-
ταπαύσω τὸν λόγον, ὅτι πλεῖστα κεῖνται ἴδια τῶν ἐν Θεῷ τελειωθέντων ἀνδρῶν
σεβασμιώτατα λείψανα, δύο τινῶν ἐπιμνησθήσομαι Πατέρων ἁγίων, οἷς καὶ
συνδιητήθην καὶ τῶν εὐχῶν ἐπαπήλαυσα. τούτων ὁ μὲν ἱερεὺς ἦν Ἰγνάτιος τοὔνο-
15 μα Κρὴς τὴν πατρίδα, ἀπὸ Ῥυθίμνης τῆς πόλεως. ὁ δὲ μοναχὸς ἰδιώτης Νί-
κανδρος ἐκαλεῖτο, ὧν τὰς ἀρετὰς, καὶ τὴν πολιτείαν ἴσασι, καὶ θαυμάζουσιν
οἱ ἑωρακότες ἅπαντες. ἐξ ὧν οἱ πλείους ἔτι ζῶσι, κατασπαζόμενοι τὰ τούτων
λείψανα, σωζόμενα ἐν ἀκεραιότητι, καὶ τὴν ἐκ τούτων ἀποπεμπομένην ἀπολαύ-
οντες εὐωδίαν. τούτους ἐν ποίᾳ τάξεις οὐ μοίρα; μετὰ δὲ τὸ μεταναστῆναι ἐκεῖ-
20 θεν ἡμᾶς γενομένους, ἤκουσά μοι καὶ περὶ ἄλλου τινὸς μοναχοῦ ἀσήμου τοῖς
πολλοῖς, καὶ ἔτι περιόντος, ὃς πρὸ δήπουθεν τριῶν ἐτῶν, εἰς κλίβανον εἰσῆλ-
θεν, οὐκ οἶδα γὰρ ὅπως ἐξῆπται μὲν ἡ φλόξ, καὶ τοὺς ἄρτους ἔμελλε καύσειν, ὁ δὲ
τῷ σημείῳ τοῦ σταυροῦ κατασφραγίσας ἑαυτόν, καὶ τῆς φλογὸς καταφρονήσας, εἰ-
σελθὼν τοὺς ἄρτους καὶ αὐτὸν ἀβλαβεῖς ἐξήγαγε. κἀν τῷ ἐκεῖσε δὲ κοιμητηρίῳ,
25 πλεῖστα ἕτερα ὁρᾶται ἀνώνυμα λείψανα ἱερά, τῇ ἀκεραιότητι καὶ τῇ εὐωδίᾳ
μαρτυροῦντα, τὴν τῶν ἐν τούτοις οἰκησάντων καθαρῶν ψυχῶν ἁγιότητα. εἰσὶ
μὲν γὰρ δύο ἐξ αὐτῶν ἀρχιερατικὰ ὡς ἔστιν εἰκάσαι, ἐκ τῶν ὠμοφορίων, ὧν ἔτι
φέρουσι. κεῖται δὲ χωρὶς τῶν ἄλλων ἐν ἰδίῳ τόπῳ. καὶ πρὸς τούτοις ἕτερα
δύο νέων τινῶν λείψανα, ἐν ἰδίῳ καὶ ταῦτα κείμενα τόπῳ, ὡς σεβάσμια καὶ
30 ἱερά. τούτους λόγος ἔχει, παῖδας εἶναι τῶν κατὰ τοὺς ἐκεῖ τόπους τινὸς ἐπιφα-
νοῦς χριστιανοῦ, τῶν ἐγχωρίων τότε βασιλέων λεγομένων. βασιλεῖς γὰρ καὶ
μέχρι τοῦδε οἱ ἄραβες τοὺς φυλάρχας ὀνομάζουσιν. οὗτοι τοιγαροῦν οἱ δύο νέοι
ὥς φησιν, ἀπὸ στρατοπέδου ἐπανερχόμενοι, κατὰ πάροδον ἐνέτυχον τῷ μοναστη-
ρίῳ καὶ τοῖς ἐκεῖσε μονάζουσι, παρ' οἷς ἡμέρας τινὰς ξενισθέντες, καὶ ἐρωτῶν-
35 τες τὴν ἐκείνων αὐστηρὰν διαγωγήν. ἀγασάμενοι δὲ τὸν ὄντως ἡσύχιον βίον
αὐτῶν, ἅπασαν τὴν κοσμικὴν διαλύσαντες τύρβην, ἐνέμειναν, συγκαταλέγον-
τες αὐτοῖς. μικρὸν δὲ χρόνον τῷ μοναστηρίῳ ἐγκαρτερήσαντες πρὸς γυμ-
νασίαν τινὰ τοῦ μονήρους βίου, εὐχὴν ᾐτήσαντο, ἰδιάσαι κατὰ μόνας. ἀνελ-
θόντες δὲ ἐν τῷ ὄρει τῷ ἁγίῳ ἐκεῖσε ἐν σπηλαίῳ τινὶ τὸ λοιπὸν τῆς ζωῆς διήνυ-
40 σαν, τὸ δὲ σπήλαιον ἐκεῖνο καὶ μέχρι τοῦ νῦν σπήλαιον τῶν βασιλειοπούλων,
ὁρώμενον ὀνομάζεται. ἐναπόκειται δὲ καὶ τούτων τὰ ἱερὰ λείψανα τῷ κοιμη-

τηρεῖν, ὥσπερ τις πολύτιμος θησαυρός. φέρουσι γὰρ τῶν ἀσκητικῶν αὐτῶν ἱ-
δρώτων τὰ σύμβολα ἄσηπτα μένοντα, καὶ εὐωδίαν ἄμετρον ἀποπνέοντα.
δεῖγμα δὲ τῆς τούτων κοσμικῆς καὶ στρατιωτικῆς ἀξίας, οἱ φολιδωτοὶ σί-
δηροι χιτῶνες εἰσίν, οὓς δοκεῖ μονάσαντες οὐκ ἀπέβαλλον. φέρουσι γὰρ
τούτους μέχρι που νῦν περὶ σαρκὸς, ἐπάνωθεν ἔχοντες τὰ συνήθη μοναχοῖς
εὐτελῆ ῥάκκια, καὶ τοῦτο οἶμαι ἵνα τὴν σάρκα καταπιέζωσι τῇ τοῦ σιδήρου σκλη-
ρότητι καὶ βαρύτητι, ἀνώνυμα δὲ καὶ ταῦτα διαμεμενήκασιν. οὐ γὰρ ὀνομάτων,
ἀλλὰ κατορθωμάτων φροντὶς παρ' ἡμῖν, ἀλλὰ καὶ ταῦτα διεξῆλθεν ὁ λόγος,
οὐχ ὡς ἐγκαυχωμένοις ἡμῖν τοῖς ἑτέρων ἐπ' ἀρετῇ κατορθώμασιν, ὡς αὐτὸς
ἀλλοτρίοις πτεροῖς ὑπερέπλασας πάντων βουλόμενος, ἀλλ' ἵνα καὶ ταύτην
σου τὴν εὑρεσιλογίαν ματαίαν ἀποδείξωμεν, ὅπου φῄς, ὅτι σὺν τῇ ἀποβολῇ
τῆς τῶν Παπῶν κοινωνίας, ἀπέβαλλον οἱ ἀνατολικοὶ, καὶ ἁγιασμὸν ἁγίων ἀν-
δρῶν, τούτου λέγω χάριν ἐξ ὧν εὐποροῦμεν ἀπείρων ἁγίων ἀνδρῶν, καὶ εἰς
γνῶσιν καὶ μνήμην ἐλθόντων ἡμῖν, πρὸς τὸ ἀντιληφθέμενον παρὰ σοῦ διηγησάμεθα.

Σὺ δὲ ὦ αἰθέριε καὶ οὐρανοβάμων, πόθεν ἀπ' οὐρανοῦ πάρει; ὁ καὶ Παύ-
λου ὑπερηρμένος, ἐκεῖνος καὶ μέχρι τρίτου μόνου οὐρανοῦ ἔφθασε, σὺ δὲ
καὶ τοῦτον ὑπερήλασας, καὶ ἔνδον, ὡς δοκεῖς, τοῦ ἐμπυρίου λεγομένου οὐρανοῦ γέ-
γονας, καὶ τὰς τῶν Μακαρίων ψυχὰς ἐπεσκόπευσας, μεθ' ὧν ἅγιον μὲν οὐ-
δένα τεθέασαι νέον ἀνατολικὸν, πολλοὺς δὲ δυτικοὺς νεωστὶ κεχειροτονημένους,
καὶ τὴν σὴν προφῆτιν Βιργίτταν. ἀλλ' εἴ σοι βουλητὸν κάτελθε μικρὸν, καὶ στῆθι
μεθ' ἡμῶν τῶν ἀνθρώπων, ἴδε εὐμενῶς, καὶ τοὺς ἀπηριθμημένους τούτους
νέους ἁγίους παρ' ἡμῖν, καὶ ἔτι πλείονας, καὶ εἴ σοι δοκεῖ τὸν ἀνάγαγε καὶ τού-
τους εἰς οὐρανοὺς, κἂν μὴ κεχειροτονημένοι τυγχάνουσι παρὰ τῶν ἀνθρώπων,
ἀλλ' ἐκ τῶν οἰκείων κατορθωμάτων, ἃ παραδεικνύουσι τὰ τούτων (ὡς ἔφθη-
μεν εἰπόντες) ἱερὰ καὶ εὐώδη λείψανα, εἰ βούλει δὲ καὶ θαυμάτων τινῶν ἡ
ἐνέργεια, εἰ δὲ σὺ μὲν ἐπαχθῶς πρὸς αὐτοὺς διακείμενος, οὐκ ἀποδέχῃ τού-
τους, Θεῷ μέλλει περὶ αὐτῶν, ᾧ καὶ γνησίως δεδουλεύκασι. προχωροῦμεν ἤδη
καὶ περὶ τὸ δεύτερον.

β' Τοῦτο δ' ἔφης εἶναι, θαυμάτων στέρησιν, τουτέστι μὴ γίνεσθαι τόγε νῦν
ἔχον θαύματα ἐν τῇ ἀνατολικῇ ἐκκλησίᾳ. ἀλλ' ὅπως ἂν εὐκρινέστερον
Κεφ: β' διακριθείη τοῦτο, ὁ ἀδελφόθεος Ἰάκωβος παρείτω εἰς μέσον, ὡς ἐμὸς
Πατὴρ, καὶ ὑπεραπολογήτω ἡμῶν λέγων, δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων
σου, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. τοσοῦτον γὰρ ἀποδέει τῆς
ἀληθείας ὁ λόγος σου, ὅσον καὶ τέρατα ὑπὲρ φύσιν, καὶ πλείω παρεισκο-
μίσωσι γινόμενα παρ' ἡμῖν, καὶ παρὰ πάντων ὁρώμενά τε καὶ θαυμαζό-
α' μενα. ὧν τὸ μὲν πρῶτον καὶ ὑπερφυέστατόν ἐστιν, ὁ μυστικώτατος καὶ ἅγιος
ἄρτος, τῆς ὑπερφυεστάτης κοινωνίας, κατ' ἔτος μόνον ἀμειβόμενος,
κατὰ τὴν ἁγίαν μεγάλην Πέμπτην, καὶ ἄφθαρτος διατηρούμενος. οὐ μό-
νον δὲ εἰς ἐνιαυτοῦ παράτασιν διατηρεῖται, ἀλλὰ καὶ εἰς πολλοὺς, ὡς ἴδομεν.
ἐτηρεῖτο γὰρ ἐν Χάνδακι τῆς Κρήτης ἔν τινι ἐκκλησίᾳ κυρίᾳ τῶν ἀγγέλων λε-
γομένῃ, τοιοῦτος ἅγιος ἄρτος ὑπὲρ τὰ τριακόσια ἔτη, ὡς ἐδήλου τὰ ὑπο-
μνήματα.

μνήματα τῶν διαθηκῶν. παῖς γὰρ παρὰ πατέρος τὴν ἐκκλησίαν ταύτην ὡς
πατρῷον κλῆρον διαδεχόμενος, ἐν τῷ διατιθέναι τὴν ἄλλην αὐτῶν ἅπα-
σαν περιουσίαν, διετίθεσαν καὶ τὴν ἐκκλησίαν, σὺν ἅπασι τοῖς ἱεροῖς αὐτῶν
σκεύεσιν, ἐν οἷς καὶ τὸν ἅγιον τοῦτον ἄρτον ἐξόχως ἔγραφον. τοῦτον ἅπαξ τοῦ
ἐνιαυτοῦ κατὰ τὴν ἑσπέραν τῆς ἁγίας μεγάλης παρασκευῆς λιτανεύοντες ἐξεκόμι-
ζον, παρεπομένων καὶ προπεμπόντων, μετὰ πλείστης φωταγωγίας πλείονος δὲ
τῆς εὐλαβείας ῥωμαίων τε καὶ λατίνων. τί δ' ἂν εἴποιμι πρὸς ἄνδρα τοῖς
παρ' ἡμῖν τελουμένοις ἱεροῖς ἀπιστοῦντα μυστηρίοις; εὕρομεν ἐν κρήτῃ καὶ ἕτερον
ἱερὸν ἄρτον, εἰς προηγιασμένην λειτουργίαν ἱερουργηθέντα καὶ ἁγιασθέντα. ἀλλ'
οὐκ οἶδα ὅπως οὐ γέγονεν ἐπ' αὐτῷ ἡ νενομισμένη ἀκολουθία τῆς προηγιασμένης,
ἵνα μεταληφθῇ παρὰ τοῦ ἁγιάσαντος αὐτὸν ἱερέως. διὸ καὶ ἔμεινεν ἐν πυξίῳ
τῇ συνήθει ἐπὶ πολλοῦ χρόνου παρατήσει. καθύγρου δὲ οὔσης τῆς ἐκκλησίας
ἔξωθεν ἐν προαστείῳ ἱδρυμένης, ἐν ᾗ ἐφυλάττετο, ἤρξατο φέρεσθαι μέλας ἐκ
λευκοῦ γινόμενος. ἔδει τοιγαροῦν ἐν ἱερῷ κενωθῆναι δισκαρίῳ καὶ ξηραίνειν
τοῦτον ὑπαναπτομένων ἀνθράκων. ἵνα τῆς νοτίδος ἧς εἶχεν ἐναλαθείσης,
ῥαδίως καὶ δίχα τινὸς αἰηδίας ἔχῃ μεταληφθῆναι. τούτου γινομένου, ἀποπνεῖται
εὐθὺς ἐξ αὐτοῦ (ὡς θαυμαστά σου τὰ ἔργα χριστὲ βασιλεῦ) ξένη τις καὶ τερ-
πνὴ εὐωδία καὶ ἄμετρος, ὥστε πληρωθῆναι οὐ μόνον τὸ ἱερὸν θυσιαστήριον
(ἐπάνω γὰρ τῆς ἁγίας τραπέζης μετὰ λαμπάδων καὶ θυμιαμάτων ταῦτα ἐγί-
νετο) ἀλλὰ καὶ τὸν ναὸν ἅπαντα. τούτου δὲ θαύματος ὡς ᾔσθοντο καὶ ἕτεροι
γηραιοὶ ἄνδρες ἱεροπρεπεῖς καὶ αἰδέσιμοι, ἐκέλευον μὴ ἀναλωθῆναι τοῦτον,
ἀλλὰ φυλάττεσθαι ὡς οὐράνιον χρῆμα. καὶ ἀπεταμιεύετο ἐν ἱερῷ τόπῳ σφρα-
γῖδι ἐπισημανθέν. τοῦτο τὸ θαῦμα ὡς ἐγῷμαι γέγονεν, εἰς δεῖγμα σαφέστα-
τον τοῦ μεγάλου καὶ ὑπερφυοῦς τούτου μυστηρίου. τοῦ, τὰ συμβεβηκότα μόνα τοῦ
ἱεροῦ ἄρτου φθείρεσθαι, ἤδη γε οὐσίας τοῦ ἄρτου ἅπαξ μεταβληθείσης, καὶ τῇ τοῦ
παναγίου πνεύματος ἐπικλήσει, μετουσιωθείσης εἰς ἀληθινὸν σῶμα χριστοῦ,
φθορὰν οὐ δὲ μίαν ὑφίσταται, ἀλλ' ἄφθαρτον διαμένει ὡς ἴδιον χριστοῦ. πῶς
γὰρ ἂν εἶχον τὰ σεσηπότα ἐκεῖνα τοῦ ἄρτου συμβεβηκότα καὶ σχεδὸν μὴ γινωσκό-
μενα, τῇ θεράσει, τοσαύτην εὐθὺς εὐωδίαν ἀποπέμψαι, μετὰ τὸ ἀποβαλεῖν
τὴν ἣν εἶχε νοτίδα. τοῦτο τὸ θαῦμα οὐδ' ἀκοῆς ἐμάθομεν, οὔτε μὴν αὐτοθεά-
μονες μόνον, ἀλλὰ καὶ αὐτουργοὶ ἦμεν. αἱ γὰρ ἁμαρτωλοὶ χεῖρες αὗται ἐξ-
υπηρέτησαν τῷ πράγματι. διὸ καὶ θαρροῦντες ἀνυποστόλως πολλοῖς ὡς μέγα
μυστήριον παραδεδώκαμεν διὰ ζώσης μόνον φωνῆς. νῦν δὲ χάριτάς σοι ὁμο-
λογοῦμεν καταναγκάσαντι καὶ γραφῇ παραδοῦναι. καὶ τοῦτο μὲν δὴ τὸ πρῶτον
τεράστιον ἡ τοῦ ἱεροῦ ἄρτου διατήρησις.

β′

Δεύτερον δὲ καὶ κοινῇ παρὰ πᾶσι γνωριζόμενον θαῦμα, ὁ τῶν ὑδάτων μέγας
ἁγιασμὸς ὁ κατὰ τὴν ἡμέραν τελούμενος τῶν ἁγίων θεοφανείων ὑπὸ τῇ
ἐπικλήσει τῆς παναγίας τριάδος, καὶ τῇ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου πνεύ-
ματος, ἄσηπτα διαμένουσι καὶ κρυστάλλου καθαρώτερα. ὡς ἔχομεν ἐν τῷ
σκευοφυλακίῳ τηρούμενα, τὰ διὰ χειρὸς ἑκάστου πατριάρχου. ἐξόχως τε ἀπὸ
τῶν ἡμερῶν τοῦ ἀοιδίμου κὺρ Γερμανοῦ. ὑπὲρ τὰ ἑβδομήκοντα πλείω ἔτη.

καὶ ἐν τῇ

καὶ ἐν τῇ πάλαι ὁμοίως μονῇ τοῦ θεοτιμήτου ὄρους σινὰ τῇ ἐν κρήτῃ, ἐδαφι-
ζομένῃ εἰς τὴν τῶν τῆς πόλεως περιτειχισμάτων ἀνίδρυσιν, σκεῦος μετεκο-
μίσθη εὑρεθὲν τοιούτου ἁγιάσματος ἀπὸ ἐτῶν ἐκ τῆς ἐπιγραφῆς περίπου ὀγ-
δοήκοντα, οὐ μόνον ἄσηπτον διατηρηθέντος, ἀλλὰ καὶ εὐώδης τε καὶ διειδέστα-
του, ἐξοῦ τοῖς νοσοῦσιν εἰς ἴασιν λυσιτελέστατα μετεδίδοτο. καὶ τούτου αὐτό- 5
πται μὲν καὶ ἡμεῖς γενόμενοι εἰς τὴν πάντων ἀσφάλειαν ἀποσημειούμεθα.
πολλὰ εἶχον καὶ ἄλλα περὶ τῶν ἁγίων ὑδάτων τούτων θαύματος ἄξια διη-
γήσασθαι. ἀρκείτω δὲ τηλαυγῆ καὶ ἀναμφίβολα ὄντα τὰ ὁσημέραι συμβαί-
νοντα. ἐν οἷς καὶ τὰ τοιαῦτα. ὅτι κατὰ τὸν ἁγιασμὸν ἐντιθέμενον τὸ ὕδωρ ἐκεῖ-
νο ἀλεύρου φυράματι, τὰ τῆς ζύμης ἀναπληροῖ, ἐπαῖρον τὸ φύραμα. ἐν 10
κύπρῳ δ' ἤκουσα, ὅτι ἐν τῷ εὐλογεῖσθαι τὰ ὕδατα κολοκάσια ἐντιθέασι (ῥί-
ζαι δ' εἰσὶν αὗται δριμύταται καὶ πυροειδεῖς ὡς αἱ σκύλλαι) ἃ καὶ μόγις ἑψόμε-
να ἐν ἐδέσμασι τίθενται), καὶ οὕτως ὠμὰ κατεσθίουσιν ὡς δαυκούς. χρῶνται καὶ
εἰσέτι τοῖς ὕδασι τούτοις εἰς πᾶσαν ἀσθένειαν ἐπωφελῶς οἱ εὐσεβεῖς μετὰ πίστε-
γ' ως, καὶ εἰς λύσιν πάσης σατανικῆς. Καὶ τρίτον δὲ ἀξιομνημόνευτον ἐκ τῶν 15
ἑωρακότων ἀκήκοα ἐπὶ τούτῳ θαῦμα. ὅτι πρεσβύτερός τις ἐν καρίστῳ πό-
λει τῆς εὐρίπου, ἀργίαν ἐπιτιμηθεὶς παρὰ τοῦ ἰδίου ἐπισκόπου λαυρεντίου (ὃς
καὶ περίεστιν ἔτι ἐν τῇ λαύρᾳ τοῦ ἁγιωνύμου ὄρους ἀσκούμενος) ἐπιστάσης τῆς
ἑορτῆς τῶν Θεοφανείων, παρέβη τὴν ἐντολήν, τολμήσας προχωρῆσαι καὶ
εἰς τὸν ἁγιασμὸν τῶν ὑδάτων. ἀλλ' (ὢ τοῦ θαύματος) ὁ τοῖς μυστηρίοις 20
ἀναμφιλέκτως συνεργεῖν Θεὸς πιστευόμενος, εἰς τὴν χάριν ἤτοι ἀφθαρ-
σίαν τοῦ ἁγιασμοῦ τούτου οὐ συνέδραμεν. ὅθεν δι' ἡμερῶν ὀλίγων φυλαττόμε-
να ὑπὸ τῶν πιστῶν κατὰ τὸ ἔθος ἐκεῖνα τὰ ὕδατα οὐ μόνον σῆψιν ὑπέστησαν
καὶ φθοράν, ἀλλὰ καὶ εἰς δυσειδῆ μελανίαν μετέβαλον. εἰ γοῦν διὰ τὴν ἐπὶ
μικραῖς αἰτίαις ἀργίαν τῆς τοῦ Θεοῦ χάριτος ἐστερήθη ὁ πρεσβύτερος, ἔδει 25
πάντως κατὰ σὲ καὶ τὴν ἀνατολίδα πᾶσαν τοῦ Πάπα κεχωρισμένην διὰ σχίσ-
ματος, ἢ καὶ αἱρέσεως ἔγκλημα, πολλῷ μᾶλλον ἀργίας ἀξιώτερον γυμ-
νωθῆναι τῆς συνεργείας καὶ χάριτος τοῦ Θεοῦ. ἧς ὅμως ἀφθόνως μετέχου-
σα, οὐκ οἶδ' ὅπως οὐκ αἰσχύνῃ καταφλυαρῶν τῶν ἁγίων, καὶ μείζονα προ-
ξενῶν τοῖς ἀνατολικοῖς πρὸς τὴν ἀδελφὴν λατινίδα παροξυσμόν. 30

γ' Τελούμενον ἐν ἡμῖν κοινῇ θαυμάσιον ἐστὶν ὁ νόμιμος καὶ κανονικὸς ἀφορισ-
μός, φρικτόν ἄκουσμά τε καὶ θέαμα. αὐτῷ ἐν τοιούτῳ ἐπιτιμίῳ μετα-
λλάξῃ τὸν βίον ὁ ἔνοχος, ἄλυτον αὐτοῦ διαμένει ἐν τῷ τάφῳ τὸ σῶμα, οὐ
μὴν δὲ ὡς ἐν τοῖς ἁγίοις ἄφθαρτον καὶ οἱονεὶ κεκοιμημένῳ προσεοικός. ἀλ-
λὰ δυσειδὲς καὶ δυσῶδες, καὶ ἐξωδηκὸς ὡς τυμπανιαῖον. καθὰ ἐκφωνεῖται 35
ἐπ' αὐτοῖς ἡ δίκη, ὅτι αἱ πέτραι καὶ ὁ σίδηρος λυθήσονται αὐτὸς οὐδαμῶς.

δ' Ὅτι σπουδῇ τῶν κληρονόμων, ἢ οἰκείων ὁ ἀφορίσας παρακληθεὶς, ἢ ὅτῳ
τυχὸν ὤφειλεν ἀδικήσας ὁ τεθνηκώς. καὶ ἐπὶ τῆς θείας μυσταγωγίας
εὐχῶν ὑπὸ ἱερέων, ἢ ἀρχιερέων μάλιστα εὐχομένων, διαλύεται ὁ δεσμὸς
καὶ εἰς χοῦν ἀναλύεται μετ' ὀλίγον τὸ σαρκίον. πολλὰ δ' ἠκούσθησαν καὶ εὐ- 40
θὺς γενόμενα περὶ τῆς τοιαύτης ἀναλύσεως τεράστια.

Προσθήσω

Προσθήσω δὲ καὶ τὸ ε΄. ὅπερ κἂν ὑμεῖς οὐ μόνον οὐ πιστεύητε, ἀλλὰ καὶ συκοφαν- ε
τῆτε, ἀδιαλείπτως κατ' ἔτος γίνεται, καὶ ὀφθαλμοφανῶς ἐπιδείκνυται. οὕτω
δοξάζοντος ἐν τοῖς ἔθνεσι τοῦ Θεοῦ τὴν ὀρθόδοξον αὐτοῦ ἐκκλησίαν. ὁμολο-
γοῦσι δὲ πάντες καὶ οἱ βαπτίσματος μετέχοντες, καὶ οἱ μή, τοῦ θείου θεάματος
5 μάρτυρες. ποῖον δὲ τοῦτο; τὸ κατὰ τὸ ἅγιον σάββατον περὶ δείλην, ἀπολάμ-
πον, ἐν τῷ ζωοδόχῳ τοῦ σωτῆρος ἡμῶν Θεοῦ τάφῳ θειότατον καὶ ὑπερφυέστα-
τον φῶς. καθ' ἣν ἡμέραν ἡμεῖς οἱ ὀρθόδοξοι κατὰ τὸ ἀρχαῖον τοῦ ἑορτάζειν τὸ
ἅγιον πάσχα, ἔθος, τὴν τοιαύτην μυστηριώδη τελετὴν ἄνωθεν παρὰ Πατέ-
ρων τελεῖν παρελάβομεν. εἰσερχόμενος γὰρ ὁ κατὰ καιρὸν Πατριάρχης, ἢ ὁ ἀντ'
10 αὐτοῦ ἐπιτροπεύων ἀρχιερεύς, εἰς προσευχὴν καὶ προσκύνησιν, ἐσβεσμένων
πανταχοῦ πάντων λαμπάδων καὶ κανδηλῶν, ἔχων μετὰ χεῖρας καὶ κηρίων δε-
σμὸν (τρόμου καὶ φόβου γέμει τὸ ὁρώμενον.) ὁρᾷ ἐκ τοῦ ἁγιωτάτου ἄνωθεν
λίθου ὡς ἐξιστάμενον λεπτότατον πῦρ καὶ ἐπιπολάζον. κἀντεῦθεν ἀνάπτει, ἢ
καὶ αὐτομάτως ἀνάπτονται ἐντιθέμενοι οἱ κηροί, καὶ ὑπὸ τῶν πιστῶν οὕτω με-
15 ταλαμβάνεται τὸ θειότατον καὶ αὐτομάτως ἐκβλύζον ἐκεῖνο φῶς. διὰ χειρὸς
τοῦ ἀποκομίσαντος. ὅτι δὲ πάσης ἀνώτερον διαβολῆς τὸ θαῦμα τοῦτο, οὐκ ἂν
ἀρνήσαιτο, οἱ τὰς αὐτομάτως ἀναπτομένας ἐνίας κανδήλας ἔξωθεν κατὰ τὸν
καιρὸν ἐκεῖνον ἐνοπτριζόμενοι, ὃ καὶ μετὰ ἀλαλαγμοῦ ἐνατενίζοντες κατα-
σπάζονται οἱ χριστιανοὶ καὶ οἱ λοιποὶ ἄραβες. καὶ τοῦτο δὲ συμβαῖνον πολλάκις
20 ἐν ταῖς κανδήλαις τῶν ἀπιστούντων, καὶ ἀρνουμένων, ὑμῶν τῶν λατίνων, ἄνευ
χειρὸς ἀνθρώπου προφανῶς ἀναδείκνυται. τοσοῦτον δ' ἐστὶ τὸ τοιοῦτον θαῦμα τῇ
ἀσφαλεῖ παραδόσει βεβαιωθέν, ὥστε καὶ ἐν παλαιοτάτῳ βιβλίῳ ἐν τῷ ὄρει
σινᾷ ταυτοπροσώπως ἔχον ἀνέγνων. (τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ, καθ'
ἣν ἡμέραν αἱ θεῖαι κανδῆλαι ἀοράτως ἀνάπτονται) οὐκ ἔδει οὖν βέλτιστοι διὰ τὸ
25 κατέχειν ἡμᾶς τοὺς ἀνατολικοὺς τὴν τοῦ ζωηφόρου καὶ θεοδόχου τάφου μυστικωτά-
την τελετήν, οὕτω πρόδηλον ἀρνεῖσθαι καὶ κρύπτειν τὴν ἀλήθειαν, ὥστε, καὶ τὴν
δόξαν τῆς πίστεως περικαλύπτειν. ἐξαρχῆς γὰρ πηγὴ φωτὸς ὁ τοῦ Κυρίου τάφος
ἐδείκνυτο. πῶς γὰρ ἐν σκοτίᾳ προσκύψαντες Ἰωάννης καὶ Πέτρος εἰς τὸ σπή-
λαιον εἶδον τὰ ὀθόνια κείμενα μόνα. ἔχετε τὴν ἑρμηνείαν σαφῆ. παρὰ τοῦ
30 δαμασκόθεν θεολόγου. ἐν οἷς μελῳδεῖ ἤχῳ πλαγίῳ τετάρτῳ. περὶ Ἀναστά-
σεως ἐν καθίσματι τροπαρίῳ: καὶ δρομαῖος ὁ Πέτρος ἐπέστη τῷ μνήματι,
καὶ τὸ φῶς ἐν τῷ τάφῳ ὁρῶν κατεπλήττετο, ὅθεν καὶ κατεῖδε τὰ ὀθόνια μόνα,
οὐδεὶς γὰρ βλέπειν δύναται ἐν νυκτὶ τὰ προκείμενα, καὶ πιστεύσας ἐβόησε δό-
ξα σοι Χριστὲ ὁ Θεός ὅτι σώζεις ἅπαντας σωτὴρ ἡμῶν τοῦ Πατρὸς γὰρ ὑπάρχεις
35 ἀπαύγασμα. ἀλλὰ καὶ αὐτοὶ ὑμεῖς ὁμολογεῖτε λέγοντες, ὅτι ἦν ὅτε ἐγίνετο
τὸ τοιοῦτον τεράστιον. νῦν δ' ἀρνεῖσθε τοῦτο ὅτι δι' ἡμῶν ἀναφέρεται καίτοιγε οὐδὲ
ἡμῶν μόνον, ἀλλ' ὡς ἔφημεν καὶ ἔξωθεν τοῦ ἁγίου τάφου κατὰ ταύτην τὴν ὥραν ἀ-
δύνατον μὴ ἀναφθῆναι κανδήλαν ἔν τινι μέρει τοῦ ναοῦ, ἢ καὶ δύο, ἔσθ' ὅτε καὶ
τρεῖς ἀοράτως. οὐκ ἐχρῆν μοι ταῦτα λέγειν, καὶ τοιούτοις σημείοις ἐναμβρύ-
40 νεσθαι, εἰ μὴ σύ, ὦ 'γαθέ, ἀπιστίαν ἡμῖν ἐνεκάλεις τὴν εἰς τὸν σὸν Πάπαν. ἀλλ'
ἐγὼ ταύτῃ παρόμοιον εἶδον πολλάκις, καὶ σὺν ἐμοὶ ἄλλοι πολλοὶ ἐν τῇ ἁγίᾳ

κορυφῇ τοῦ ἁγίου σινὰ ὄρους περὶ δυσμὰς ἡλίου αἰθρίας οὔσης ὁρώμενον φῶς. ὅπως δὲ καὶ ὅπου τῆς κορυφῆς δείκνυται, οἴδασιν οἱ ἰδόντες. ἡμεῖς δὲ οὐ λέγομεν, ὅτι ἀνέκφορον ἦν τὸ θέαμα τοῖς περὶ ἡμῶν ἐκεῖσε ἀσκουμένοις ὁσίοις πατράσιν, ἄχρι τῶν καθ᾽ ἡμᾶς χρόνων.

Ἐῶ νῦν λέγειν ὅσαπερ ἱερᾶς χειρῶν ἐπιθέσεσιν οἱ ἱερεῖς ἐπευχόμενοι τοῖς νοσοῦσι τὰς ἰάσεις παρέχουσι, τούτους γὰρ ἀντὶ ἰατρῶν ὧν ἀμοιροῦσιν, εἴπερ καὶ εὐποροῖεν, εὐσεβῶς εἰσκαλοῦσι μετὰ πίστεως. ἐῶ λέγειν περὶ τῶν ἐξορκισμῶν περιφανῶς ὠφελούντων. ἐῶ λέγειν περὶ ἱερῶν καὶ εὐχῶν παντοίων. καὶ συνεχέστερον, μάλιστα ἐπ᾽ ἀνυδρίαις, ἐπὶ πολυομβρίαις, ἐπὶ σεισμῶν, ἐπὶ θαλαττίων κλυδώνων, ἐπὶ χειμώνων καὶ ὀλεθρίων ἀνέμων ἐπὶ λοιμοῦ καὶ τῶν τοιούτων ἀνιαρῶν, ἐν πᾶσιν ἐπιδεικνυμένου τοῦ παντοδυνάμου δημιουργοῦ διὰ τῶν ὁσίων ἔργων· ὅτι δεσπότων ἐπακούει τῶν φοβουμένων αὐτόν. καὶ ταῦτά γε οὐ μόνον ἐπὶ προσκαλουμένοις πιστοῖς, ἀλλὰ καὶ συνεχέστερον ἐπιπροσπίπτουσιν ἀπίστοις. τοσοῦτον δήπου ἐναργῶς διὰ τῶν εὐχομένων ἱερέων συνεργεῖ καὶ ἡ δύναμις τοῦ φιλανθρώπου Θεοῦ. καὶ πῶς ἄρα τὴν ἀνατολικὴν ἔφης ἐκκλησίαν ἁγίων ἀνδρῶν ἐστερημένην, καὶ θαυμάτων. καὶ σκότῳ περικεχυμένην αἰγυπτίῳ. ὅπου τοσοῦτον ἐπιλάμψασαν, μήτοιγε ἐπιλάμπουσαν τόγε νῦν ἔχον, οὐκ ἂν δείξαις τὴν λατινίδα ποτὲ, οὔτε ἀνδράσιν, οὔτ᾽ ἀρεταῖς, οὔτε θαύμασι. τὰς δὲ ἐν ἱεροῖς οἴκοις πανταχοῦ γινομένας τοῖς ἀσθενοῦσι θεραπείας, μακρὸν ἂν εἴη γράφειν.

ς΄ Ἥκω νῦν εἰς τὸ ἕκτον, ὅπῃ δυστυχέστερον τὴν ἀνατολίδα διακειμένην δοκεῖς ἀποφαίνεσθαι τῆς πάλαι συναγωγῆς, ἐπὶ διδασκαλίᾳ. ἥτινι δήπουθεν καὶ ἐν βαβυλῶνι προφήτης οὐκ ἐξέλιπεν. ἔσω, βαβυλῶνα ἡμῖν ἐν τοῖς παροῦσι χρόνοις ὑποθώμεθα τὴν ἑλλάδα, ἣ καὶ τὸ περίγειον ἔστιν οἰκουμένην. ἐπεὶ καὶ βαβυλῶνα τὴν ῥώμην ἐκάλει ποτὲ τῶν ἀποστόλων κορυφαῖος Πέτρος ἐν τῇ ἐπιστολῇ· μὴ γὰρ ἡμῖν ἀρχιερεῖς ἐκλείπουσι; μὴ γὰρ τὴν ἀρχαίαν οὐκ ἔχουσι δόξαν οἱ ποιμένες; μὴ γὰρ ἐν ἐκκλησίαις οὐκ ἀνακηρύττεται τὸ ἅγιον εὐαγγέλιον; μὴ γὰρ πρὸς τὰς ὑμῶν ἐπιθέσεις καὶ προσβολὰς (ἵνα γὰρ αὖ εἴπω ἐπερωτήσεις) οὐχ ὑπερεχοῦσι παρ᾽ ἡμῖν καὶ διδάσκαλοι; βαβαὶ τῆς σῆς φιλαυτίας, ὅτι μόνον σεαυτὸν ὑπολαμβάνων σοφὸν, ἰδιώτας ἐψήφισας ἀκρίτως τοὺς ἀνατολικοὺς πάντας. ἀλλ᾽ ἡμεῖς ὦ ἑταῖρε ὑποχωροῦμεν ὑμῖν ἀριστοτέλη καὶ πλάτωνα, ἄρατον, εὐκλείδην, καὶ πτολεμαῖον. ὀρφέα, καὶ ὅμηρον, καὶ ἡσίοδον. τραγικούς τε καὶ κωμῳδούς, λυρικούς, διθυραμβοποιοὺς, σατυρικοὺς, αἰπολικούς τε, καὶ παντοίους ἐποποιούς. εὐθείλεις καὶ ἡλιοδώρους καὶ τοιούτους, ὧν γέμουσιν αἱ σχολαὶ νῦν ὑμῶν καὶ αἱ ἀγοραί. ὑποχωροῦμεν πάντη πάντως ὑμῖν, τοὺς θωμᾶς, τοὺς λομπάρδους τοὺς σκότους, τοὺς βονηβεντούρας. ἡμῖν μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, οὐδὲν ἄλλο τι εἰδέναι, εἰ μὴ ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον. ἱκαναὶ ἡμῖν αἱ γραφαὶ, καὶ ταῖς γραφαῖς ἡμεῖς. καὶ οἱ περὶ ἡμῶν θεόπνευστοι Πατέρες, καὶ αἱ ἅγιαι σύνοδοι ἐπαρκοῦσιν ἡμῖν, τὰ παρ᾽ ὑμῖν ἠμελημένα. καὶ γὰρ οὐδ᾽ ἐν λόγῳ διδασκαλίας ἢ θεολογίας τιθέμεθα τὴν τῆς καθ᾽ ὑμᾶς σχολῆς, ἢ μᾶλλον

Πέτρου: α΄: κορ: ἐπ

ἢ μᾶλλον εἰπεῖν σχολῆς τεθρίαν. ἡμεῖς οἴδαμεν ὅτι τὴν ἀγαθὴν μερίδα ἐξε-
λεξάμεθα, ἥτις οὐκ ἀφαιρεθήσεται ἀφ' ἡμῶν.

Ἀλλὰ πῶς ὀνειδίζουσιν ἡμᾶς τὴν αἰχμαλωσίαν, παλίντροπος ἐπὶ τοῖς δι-
ωγμοῖς τὴν ἐκκλησίαν ὑπερλαμπομένην ἀπέφηνας τοῖς αἵμασι τῶν μαρ-
5 τύρων. καὶ μὴν τοιαύτη τῆς ἀνατολίδος νῦν ἡ κατάστασις. οὐ πάρεστι πόλις καὶ
τόπος, ὅπη τῶν ὀρθοδόξων ἡμῶν, οὐ προσεχέονται ὑπὲρ τῆς εὐσεβείας τὰ αἵ-
ματα. καὶ μειράκια ἑωράκαμεν πρὸ ὀλίγων ἐτῶν τῇ τομῇ τῆς μαχαίρας
ἀφόβως ὑποκλίναντα τὸν αὐχένα. οὐκ ἔχομεν ναὶ τῶν ἀρχαίων μαρτύρων
τὸ καύχημα, ὅπερ ὡς ὄφελον. ἀλλ' ὅπερ καὶ ἔχομεν οὐ μικρόν. οὐ δῆθεν ἀμοι-
10 ρεῖτε οἱ ὀνειδίζοντες. εἴπω καὶ τι θαυμασιώτερον. πῶς οἴεσθε τοὺς ὑπὲρ Χρι-
στοῦ κατεχομένους, καὶ διὰ τὴν ὁμολογίαν καθ' ἑκάστην ταλαιπωρουμένους, πει-
νῶντάς τε, καὶ διψῶντας, καὶ γυμνητεύοντας, καὶ κολαφιζομένους, καὶ ἀ-
στατοῦντας, καὶ λοιδορουμένους, διωκομένους τε; καὶ βλασφημουμένους, καὶ ὡς
περικαθάρματα νομιζομένους καὶ περίψημα, ἕως ἄρτι, καὶ ἔτι προσκοπῶντας ἱδρῶ-
15 τι τοῦ προσώπου οὐκ εἰς τρυφὴν οὐ μόνον, οὐκ εἰς δόξαν οὐκ εἰς θελήματα σαρ-
κός, ἀλλ' εἰς τὸ τελεῖν τοὺς βασιλικοὺς φόρους ὑπὲρ δύναμιν ὄντας. πῶς
οἴεσθε τοὺς τοιούτους; εἰ μὲν ἧσσον ἐκλατίνων μάρτυρας ἀντιλογίας ἐκτός, ὀνο-
μάσαιτε ἄν. μάρτυρας ἡμεῖς τοὺς ἡμετέρους τοιούτους ὄντας ἂν μὴ καλοίημεν,
ἀλλ' ἀθλητάς γε κρίνομεν καὶ ὁμολογητάς, τὸ μαρτυρίου συγγενὲς καὶ ἐφά-
20 μιλλον. ἴδετε τοιγαροῦν, ὁποία νῦν ἡ ἑλλὰς καὶ ἡ ὀρθόδοξος ἀνατολὴ ἀπὸ τοῦ
χωρισμοῦ ὑμῶν μάλιστα, τεταπεινωμένη μὲν κατὰ κόσμον, δεδοξασμένη δὲ κατὰ
θεόν, μηδὲν τῆς αἰγυπτιακῆς ὁμίχλης μετέχουσα, ἀλλὰ καὶ τῆς πατρικῆς
φωταυγίας κατὰ τὴν ἱερὰν πολιτείαν ὑπερλάμπουσα. ἐν παννυχίσιν ἑορ-
τάζουσα ἐν ἀγρυπνίαις πανηγυρίζουσα, ἐν ψαλμῳδίαις χαίρουσα εἰς ἔκπληξιν
25 καὶ θάμβος τῶν εἰδότων ὑμῶν, καὶ αὐτῶν τῶν ἀπίστων.

Πλὴν ἀλλ' ἴδωμεν καὶ τριῶν ὑμετέρων μεγάλων Παπῶν τὰς κατὰ τοῦ ἔθνους τῶν   ζ'
ἑλλήνων καὶ τῆς ἐκκλησίας προρρήσεις. ἔγωγε μέντοι λέοντα καὶ Γρηγόριον
ἀκούων ὑποφωνοῦντος συκαθ' ἡμῶν, εὐλαβοῦμαι τοῦ ὀνόματος. περὶ γὰρ
Νικολάου, οὐ γάρ μοι μέλει μοι. ἀλλ' ἀποκρούσαι τὴν κοινὴν ὕβριν ὀφείλομεν, καὶ
30 ψευδοπροφητεύοντας (εἰ ἄρα καὶ οὕτως εἰπεῖν) ἀνταποφῆναι. ὤφελες
μᾶλλον αὐτός, τῇ ἐκβάσει πειθόμενος, περικαλύψας τὴν ἐκ περιπαθείας ἀ-
μέτρου γύμνωσιν τῶν Πατέρων σου, οὐκ ἀπογυμνωθέντας αὐτοὺς τῆς ἀληθεί-
ας, εἰς τὴν ἀσχήμονα θέαν συνεφέλκειν ἡμᾶς. ἀλλ' ἰδοὺ καὶ ἄκοντας ἤγαγες,
καὶ ἐξετάζοντες εἴδομεν ἔκβασιν τῆς προφητείας ψευδῆ. τίνος ἠδίκει; προεῖ-
35 πεν, ἔφης, ὁ Λέων ὅτι ὁ Κωνσταντινουπόλεως θρόνος ἔμελλε διὰ τὴν ἔπαρσιν
εἰς προφανῆ περιπεσεῖν ἀπώλειαν. καὶ μὴν τὰ μὲν σκῆπτρα, τὸ στέφος, ἡ κο-
σμικὴ κατενήνεγκται φαντασία. ἀλλ' ἡ ἐκκλησία οὐδαμῶς. αὕτη γὰρ καὶ τοὺς
ἄλλους συνέχει καὶ στηρίζει θρόνους, καὶ δόξα χριστιανῶν ἀναδείκνυται; ἅμα
καὶ καύχημα. καὶ οὐκ αἰσχύνονται βασιλεῖς, καὶ δεσπόται τῆς γῆς οἷος καὶ τῆς
40 μεγάλης Μοσχοβίας ὁ Καῖσαρ, προσανέχειν εἰς εὐλογίαν καὶ ὑποτίθεσθαι.
ταυτὸ φῂς, προσπέλησι καὶ Γρηγόριος ὁ διάλογος διὰ τὴν οἰκουμενικοῦ προ-

σηρείαν, καὶ μὴν οὐδέποτε κατέληξεν ἡ τιμή, καὶ νῦν μᾶλλον ἐπαύξεται.
προσέθετο γελοίως καὶ ὁ ἐν μεγάλοις Πατράσι σου τεθνηκὼς μέγας Νικό-
λαος, ὅτι ἔμελλον οἱ ῥωμαῖοι διασπαρῆναι καὶ δουλωθῆναι εἰς πάντα τὰ ἔθνη
ὡς οἱ Ἰουδαῖοι. εἴπατε ὑμεῖς οἱ ἐπονειδίζοντες Βαβυλῶνα καὶ αἴγυπτον, τίς
Ναβουχοδονόσορ, ἢ Σαλαμανασάρ, ἢ τίς Φαραὼ Νεχαὼ μετῴκισε ῥωμαί-
ους ἐκ τῆς ἑλλάδος. ἢ μετοικίσας, ποῖ οὖν ἀπήγαγεν; ἡ ἑλλὰς καὶ τανῦν
ἑλλήνων ἀνάπλεως. αἱ ἰταλίαι ἰταλῶν καὶ ἀλλοεθνῶν ἄλλων. ῥωμαίων ἡμῶν
οὐδαμοῦ, πλὴν παρὰ τοῖς τῶν ἐθνῶν τοῖς δεσπόζουσιν ἐν αὐτοῖς. εἰπὲ ὁ ἱσπανός σύ,
ἐν ἱσπανίαις πόσους ἑώρακας ἕλληνας μετοικισθέντας; ἐν γαλλίαις, ἐν Γερ-
μανίαις, ἐν παννονίαις, ἐν σαρμάταις, ἐν βρετανίᾳ, ἐν ὑβερνίᾳ, ἐν σουε-
κίᾳ. οὐδεὶς πάντη ῥωμαίων δοῦλος ἢ ἀργυρώνητος. ποῦ τοίνυν αἱ προφη-
τεῖαι τῶν σῶν μεγάλων Παπῶν; ἐπὶ τίνι οὖν, ἢ ἐφ' ὑμῖν πληρωθῇ ἡ ἐν τῷ
Δευτερονομίῳ νουθεσία; προφήτης, φησίν, ὃς ἐὰν ἀσεβήσῃ λαλῆσαι ἐπὶ τῷ
ὀνόματί μου ῥῆμα ὃ οὐ προσέταξα λαλῆσαι, καὶ μὴ γένηται καὶ μὴ συμβῇ τοῦτο
τὸ ῥῆμα ὃ οὐκ ἐλάλησεν ὁ κύριος, ἐν ἀσεβείᾳ ἐλάλησεν ὁ προφήτης ἐκεῖνος,
οὐκ ἀφέξεσθε αὐτοῦ. εἰσάγεις καὶ προφητείαν ἑτέραν τοῦ ἐπὶ τῆς ἁλώσεως Νι-
κολάου πέμπτου, καθ' ἣν μετὰ τρία ἔτη τῆς ἐκριζώσεως τῶν ῥωμαίων, δίκην τῆς
εὐαγγελικῆς προειρημένης συκῆς. δείξωμεν οὖν ὅτι κατὰ τὸν σὸν ψευδογεννάδιον τὸ
πεπλασμένον θαυμάτων θαῦμα μέγιστον, ψεῦδος ἐφάνη τῶν ψευδῶν
α' τὸ ψευδέστατον. πρῶτον μὲν ὅτι εἰ καὶ ἑάλω ἡ Κωνσταντινούπολις καὶ ἐδουλώ-
θη, τὸ ἔθνος οὐδαμῶς ἐξερριζώθη, ὡς ἐν τοῖς ἄνω φωτὸς τηλαυγέστερον ἀ-
β' πεδείξαμεν. δεύτερον, ὅτι μετὰ τρία ἔτη προφητεύει. τὸ δὲ μετὰ ἔτος ἓν συμβέ-
βηκεν. οὐ περὶ πεντηκοστῷ τρίτῳ, ἀλλὰ δευτέρῳ. ἔτει ἐπὶ τῷ χιλιοστῷ τετρα-
κοσιοστῷ ἡ ἅλωσις γέγονε κατὰ τὸν ἀκριβῆ λογισμὸν τῆς πεντηκοστῆς, μαΐου, τό-
τε εἰκοστῇ ὀγδόῃ, ὄντων ἡλίου κύκλων :ις'. σελήνης δὲ πάλιν :ς'. ἰνδικτιῶνος
δεκάτης πέμπτης, καὶ γράμματος παρὰ λατίνοις κυριακοῦ B:A. κατὰ βί-
σεκτον. εἰ δὲ αὖ κατὰ τὸ πεντηκοστὸν τρίτον εἰκοστῇ μαΐου, γράμματος λατίνοις
κυριακοῦ G ἐγεγόνει ἔτος, συνέπεσεν αὖ τὸ πάσχα τριακοστῇ πρώτῃ μαρ-
τίου. καὶ ἡ πεντηκοστὴ :ιθ'. μαΐου. ἀλλ' ἡμῖν ἅλωσις συμβέβηκε :κη'. μαΐου
ἡμέρᾳ τρίτῃ. καὶ τῆς ἑβδομάδος καὶ τῆς πεντηκοστῆς. εἰ δὲ καὶ ὅπως δήποτε φή-
σεις τὴν ἅλωσιν προηγόρευσεν, ἔοικε προγινώσκοντι τὸν θάνατον ἐπὶ τοῦ τὰ λοί-
σθια πνέοντος. ἀλλ' ἔγωγε σοὶ μὴ ψευσάμενον ἀληθέντως ἀπαγγελῶ σοι
Νικόλαον, καθότι γεγραφὼς ἐκ συνειδήσεως ἀληθῶς εἶπεν. οἱ ῥωμαῖοι οὔτ'
ἀπεδέξαντο τὸν ἐν φλωρεντίᾳ ὅρον, οὔτ' ἐλπίς ἐστιν ἀποδέξασθαι. ἔστ' ἂν γὰρ
ὦσιν ῥωμαῖοι, καὶ ἀνατολικὴ ἐκκλησία, ψεῦδος καὶ πλάνην οὐ παρα-
δέξονται. πλὴν ἀλλ' οὐκ ὀφείλετε βασιλείας ἡμῖν ὀνειδίζειν καταστροφήν. ἢ καὶ
δούλωσιν, ὅπου γε πολλάκις καὶ μήκιστον καὶ ῥώμη, καὶ ἰταλίαι, καὶ ἀφρική, καὶ
ἱσπανίαι, ὑπὸ βαρβάρους καὶ ἀπίστους ὑπέκυψαν ὑποταγεῖσαι. καὶ τοῖς καιροῖς
μάλιστα Λέοντος καὶ Γρηγορίου τῶν ῥηθέντων. καὶ ἡ ῥώμη μὲν ἐξόχως τὸ πρῶτον ὑπὸ τοῦ
ἀλαρίκου ἑάλω γότθου, περὶ τὸ τετρακοσιοστὸν τεσσαρεσκαιδέκατον ἔτος. καὶ ὑπὸ ἀ-
ττίλα οὔννου ἐπὶ Λέοντος Πάπα ἡ ἰταλία προνομεύεται. καὶ πάλιν περὶ τὸ πεντακο-
σιοστὸν

σιοστὸν πεντηκοστὸν ἔννατον ἔτος ἡ ῥώμη ὑπὸ γιζερίχου ἀνανδάλου κυριεύεται, καὶ ὁμοίως ἡ ἀφρική. καὶ πάλιν ὑπὸ ὀδοάκρου γότθου περὶ τὸ τριακοσιοστὸν ἑβδομηκοστὸν ἕκτον. καὶ θεοδωρίχου καὶ τῆς αὐτοῦ θυγατρὸς ἀμαλασούντης. ἕως ὅτου τοὺς γότθους ἀπήλασε βελισάριος καὶ τοὺς οὐανδάλους καρχηδόνος, καὶ τῆς ἀφρικῆς, ἐπὶ ἰουστινιανοῦ. αὖθις τε ὑπὸ τοτίλα τοῦ γότθου τοῦ καὶ μάσιξ ὀνομαζομένου θεοῦ, ἐδουλώθη ῥώμη, περὶ τὸ πεντακοσιοστὸν πεντηκοστόν. τούτων δὲ μετὰ μικρὸν ὑπὸ ναρσῆ προσωσθέντων περὶ τὸ πεντακοσιοστὸν πεντηκοστὸν τρίτον. διεδέχθησαν τὴν ἐν ἰταλίᾳ τυραννίδα λογγοβάρδοι περὶ τὸ πεντακοσιοστὸν ὄγδοον. ἕως τῶν ἑπτακοσίων ἑβδομήκοντα καὶ ἐπέκεινα. περὶ δὲ τὸ ὀκτακοσιοστὸν τεσσαρακοστὸν οἱ σαρακηνοὶ τὴν ἰταλίαν ἐπιβάντες καὶ σικελίαν, ἀπουλίαν τε, καὶ καλαβρίαν, ὅτε μὲν λεηλατοῦντες, ὅτε δὲ καὶ δεσπόζοντες καθυπέβαλλον. εἶτα τὰς ἰσπανίας ἐπὶ πολὺ κατέσχον. τί οὖν οἱ τῶν πεντακοσίων ἐπέκεινα χρόνων δουλούμενοι, καὶ ὑπὸ τῶν νέων ῥωμαίων ἐλευθερούμενοι. τοὺς μήπω δουλωθέντας ἐξεπλήττετε ψευδοπροφητείαις, ἢ μᾶλλον ἀραῖς; καὶ μετὰ ταῦτα δουλωθέντας ἤδη περὶ τὰ διακόσια ὀκτωκαίδεκα ἔτη οὕτως ἐχθρωδῶς ἐπονειδίζοντες ἐπιτίθεσθε; εἰ δὲ καὶ ἐν ζυγοῖς ἴσοις ἀμφοτέρων τὴν δούλωσιν ταλαντεύσομεν κουφοτέραν πάντως εὑρήσομεν τὴν ἐπικειμένην ἡμῖν, προσιστάμενοι φιλανθρώπως τοῦ τῶν θαυμασίων θεοῦ.

Πρὸς δὲ τὸ ὄγδοον, ἐκεῖσε εἴπομεν τὰ ἀνήκοντα. η'

Καὶ πρὸς τὸ ἔννατον, ὀλίγα. ὅτι μὲν ἀπὸ θεομηνίας ἦν ἔργον ἡ ἅλωσις, εἰ μὲν εἴποις, οὐκ ἂν ἔγωγε σε μυστολέκτην εἴπω θεοῦ. ὅμως ἵνα καὶ τοῦτό σοι χαρίσομαι. τίνος ἡ ζημία; τῆς βασιλείας, ἢ τῆς ἐκκλησίας. ἡ μὲν ἐκκλησία ἕστηκε καὶ στηρίζεται θεοῦ χάριτι, πέπτωκε δ' ἡ βασιλεία. τοῖς οὖν βασιλεῦσιν, ἵν' εἴπω, κατὰ σὲ ἠγανάκτει θεὸς, τὴν ἐκκλησίαν εἰς ἀνόμους συνόδους ἐκβιαζομένους. πείθει μὲν γάρ με μᾶλλον ἡ τῶν βασιλειῶν ἱερὰ ἱστορία ὅτι ζητούντων διὰ Σαμουὴλ ὑπὸ θεοῦ βασιλέα πάλαι τῶν ἑβραίων, οὓς διὰ κριτῶν καὶ προφητῶν αὐτὸς διῴκει ὁ ὕψιστος. ἔδοξε τοσοῦτον ἀγανακτεῖν ὡς καὶ εἰπεῖν πρὸς τὸν προφήτην οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἢ ἐμὲ τοῦ μὴ βασιλεύειν ἐπ' αὐτῶν, καὶ σημεῖον ἔδωκε τῆς ὀργῆς αὐτοῦ ἐν καιρῷ θερισμοῦ φωνὰς, καὶ ὑετὸν, καὶ ἐφοβήθησαν πᾶς ὁ λαὸς τὸν Κύριον καὶ τὸν Σαμουήλ. καὶ ἐξωμολόγησαν τὴν ἁμαρτίαν αὐτῶν. ποῖον δὲ ἄρα τὸ αἴτιον, ὅτι πικρὸν ἐφάνη τὸ ῥῆμα ἐν ὀφθαλμοῖς Σαμουὴλ καὶ τοῦ Κυρίου; δηλονότι διὰ κριτῶν ἢ προφητῶν καὶ ἁγίων ἀνδρῶν ὑπὸ Κυρίου διακυβερνώμενοι, οὐδὲ πώποτ' αὖ περὶ τὸ σέβας ἡμάρτανον. ὑπὸ δὲ βασιλεῖς εἰκοσιτέσσαρας ὕστερον γενόμενοι, ὑπὸ τῶν δεκαπέντε εἰς εἰδωλολατρείαν ἐξετράπησαν, ἑπτὰ θεοσεβησάντων μόνων ἐν Ἰούδα. τουτέστι Δαυὶδ, ἀσὰ, Ἰωσαφὰτ, Ἀζαρίου τοῦ καὶ Ὀζίου, Ἰωάθαμ, Ἐζεκίου, καὶ Ἰωσίου, ἐν Ἰσραὴλ δὲ ἐννεακαίδεκα βασιλευσάντων οὐδεὶς θεοσεβὴς ἦν, κἀυτὸς δὲ Σαοὺλ ὁ καὶ θεολέκτης ὡς εἰπεῖν, τὴν ἐν τέλει παρέβας καὶ ἀπερρίφη. καὶ ἐν χριστιανοῖς, τοὺς ἐξήγειρε κατὰ τῆς ὀρθοδοξίας τοὺς μακροὺς πολέμους, καὶ ἐπικινδύνους οἱ βασιλεῖς, Κωνσταντῖνος φημὶ οὐάλης, καὶ Ἰουλιανὸς, ζήνων, βασιλίσκος, ἀνάστασιος κώνστας ἄλλος, ἢ Κωνστάντιος ἀρτέμιος, καὶ ἐκ τῶν

θ'

α' βασι: κεφ. η'

κεφ: ιβ'

εἰκονομά-

εἰκονομάχων οἱ τρεῖς λέοντες καὶ ὁ κοπρώνυμος Κωνσταντῖνος, καὶ τραυλὸς Μιχαὴλ, καὶ ὁ θεομισὴς Θεόφιλος. τίδ' ἀπώναντο, καὶ παρὰ τοῦ παλαιολόγου Μιχαὴλ τοῦ τὸν λατινισμὸν κινήσαντος; τί καὶ ἀπὸ τῶν ἀλληλομαχησάντων ὀρθοδόξων; εἰ μὴ ἀθώων, καὶ ἁγίων ἐκχύσεις αἱμάτων; ὥστε τῇ τῶν ἀρξάντων ἁμαρτίαις καὶ ἀσεβείαις, ἐπίγραψον τὴν τῆς βασιλείας ἔκπτωσιν. οὐ τῷ μὴ θέλειν παρὰ τὸ εὐσεβὲς τῶν ἁγίων Πατέρων καὶ συνόδων φρόνημα λατινίζειν ῥωμαίους ἢ τοὺς παρ' ὑμῖν γραικούς. πλὴν ἀλλ' οὐ δὲ τῷ υἱῷ ἀλλ' αὐτῷ τῷ ἁγίῳ πνεύματι ἡ δευτέρα τῆς πεντηκοστῆς καθ' ἡμᾶς ἀνατίθεται. ἀλλ' οὐδὲ ἡμέρα δευτέρα, τρίτη δὲ μᾶλλον ἡ : κθ' : τοῦ μαΐου συμπέπτωκεν. ὥστε καθάπερ σοφισθὲν οὕτω καὶ διαλυθὲν σου οἴχεται ἀφανὲς τὸ πρῶτον τεκμήριον. ἔχει δὲ καὶ :β' τεκμήριον τῶν τετρακοσίων ἐτῶν τετελεσμένον τὸν ἀριθμόν. πόθεν δ' εὗρες ὦ πολυμαθέστατε σὺ τοιοῦτον ἐν τῇ γραφῇ ὀργῆς εἶναι καὶ δίκης τὸν ἀριθμόν; ὅτι μὲν γὰρ ὁ πεντηκοστὸς ἀφέσεως ἔτος. ἔχομεν ἐν τῷ λευιτικῷ, ὅτι δὲ τὰ τετρακόσια ἤτοι ὀκτάκις πεντήκοντα οὐ δίκης ἢ ὀργῆς, ἀλλ' αἰωνίας ἀφέσεως δῆλον. τὸ γὰρ ἕβδομον, τέλος σαββατισμοῦ. τὸ δὲ ὄγδοον ἀρχή. καὶ ἀναγωγικώτερον ἐστὶ τὸ αἰώνιον, ὡς ὑπερβαῖνον τὸν τῆς δημιουργίας ἢ καὶ μεταβολῆς ἀριθμόν. ὅθεν καὶ τὸν ὄγδοον αἰῶνα οὐδέποτε παυσόμενον ἐκδεχόμεθα μετὰ τὴν συντέλειαν. εἰ οὖν ὁ ὄγδοος ἀριθμός, ἡ ἀρχὴ ἐστίν, ἢ αἰώνιος ἀριθμός, πάντως ἔσται κατὰ τὸν πρῶτον μέγαν σαββατισμόν, ὅς ἐστι τῆς ἀφέσεως, ὁ καλούμενος παρ' ἑβραίοις ἰωβηλαῖος. ὥστε ἐπειδὴ μετὰ τετρακόσια ἔτη, ἀφ' οὗ Μιχαὴλ ὁ κηρουλλάριος τοὺς λατίνους (ἢ εὐφημότερον εἰπεῖν) τοὺς καινοτόμους ἀναθέματι καθυπέβαλλεν, ἡ ἅλωσις ἐπηκολούθει, οὐ νομιστέον αὐτὴν ταύτην ἐκδίκησιν ἢ ὀργήν, ἀλλὰ μᾶλλον ἄφεσιν. ἔκτοτε γὰρ οὐκ ἐνωχλήθη ἔτι ἡ ἐκκλησία, ἀλλ' ἀνέσεως ὅσον περὶ τῶν εἰς πίστιν ἀνηκόντων ἐπέτυχε. καὶ ταῦτα μὲν σου τὰ σαθρὰ εἰς δογμάτων ἀνίδρυσιν καὶ καταρτισμὸν, θεμέλια, πολλῷ οὖν ἰσχυρότερα τὰ θεομηνίας, ἅπερ προεκομίσαμεν ἡμεῖς ἐκ τοῦ συροπούλου τεκμήρια προηγησάμενά τε καὶ ἐπακολουθήσαντα τῷ βασιλεῖ Ἰωάννῃ ἤδη τὰ πρὸς τὴν ἐπὶ τὴν σύνοδον ἐπιδημίαν στήσαντι, καὶ ἐκ τοῦ ἀπόπλου ἀπιομένῳ καὶ αὖθις ἐπανήκοντι.

Κεφ: κέ,

ι' Πρὸς δὲ τὸ δέκατον, ὅ ἐστιν Ἀποκάλυψις Μακαρίας τινὸς τῶν τῆς λατίνων μερίδος. εὖγε τῆς προφήτιδος, ὡς καὶ τῶν ἱερωτάτων σου ἄνωθεν προφητῶν. ὄντως διὰ τὸ μὴ εἶναι ἄνδρα ἐν Ἱερουσαλὴμ ἐβασίλευσε γυνή ποτε δεβόῤῥα· φαίημεν ἂν παραπλησίως, διὰ τὸ μὴ εἶναι ἱερεῖς, καὶ διδασκάλους καὶ ὁσίους, ἐν λατίνοις προφητεύει γυνή. οὕτως ἐδέησε τῷ παντὶ πόθῳ Θεῷ περὶ τῆς ῥωμαίων καταστροφῆς αὐτοὺς προνουθετῆσαι. καὶ οὐδένα εὗρεν ἐν αὐτοῖς ὅσιον, ἀλλ' ἐξ ἀλλοτρίας φωνῆς καὶ θρησκείας ἐξελέξατο γυναῖκα ἱεροκήρυκα; οὐκ ὤφελες ὦ τᾶν γυναικῶν ἡμῖν προβάλλειν ὀνειρόξεις καὶ ἐνύπνια, ὅπηγε καὶ τὸν αὐτοῦ ἱερῶν καὶ ἁγίων ἀνδρῶν τὰ καθ' ἡμῶν ἐξηλέγξαμεν. κἀπὶ τῇ σῇ βεργίτῃ, ὁμοίως ἀποφαινόμεθα τῶν δύο τὸ θάτερον, ἢ προφήτιδος οὔσης ὑμεῖς ἐγκατεμείξατε τὸν ψευδῆ τοῦτον χρησμόν, ἢ ὅτι χρησμολογήσασα, τοιαῦτα ἐκείνη προφήτης οὐκ ἦν: ἔχομεν γὰρ βεβαιότερον τὸν προφητικὸν κατὰ τὸν Κορυφαῖον λόγον: ᾧ καλῶς ποιοῦν-

Πέτρ: β',

Δευτ. ιγʹ.

τες προσέχομεν ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ. φησὶ γὰρ Μωυσῆς ὡς ἐκ
Θεοῦ στόματος: ἐὰν ἀναστῇ ἐν σοὶ προφήτης, ἢ ἐνυπνιαζόμενος ἐνύπνιον,
καὶ δώσει σημεῖον ἢ τέρας, καὶ ἔλθῃ τὸ σημεῖον ἢ τὸ τέρας, ὃ ἐλάλησε πρὸς
σὲ λέγων, πορευθῶμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις οὓς οὐκ οἴδατε. οὐκ
ἀκούσεσθε τῶν λόγων τοῦ προφήτου ἐκείνου, ὅτι πειράζει Κύριος ὁ Θεός σου
ὑμᾶς. καὶ ὁ προφήτης ἐκεῖνος ἢ ὁ ἐνυπνιαζόμενος, ἀποθανεῖται. ἐλάλησε
γὰρ πλανῆσαί σε ἀπὸ Κυρίου τοῦ Θεοῦ σου. ἀλλὰ καὶ πρὸς Γαλάτας ὁ ἀπόστολος,
καὶ τῶν ἀγγέλων ἀποτολμᾷ: εἴποτε κατ' ἀδύνατον παρὰ τὰ κηρυχθέντα εὐαγ-
γελίσονται. καὶ ἡμεῖς, φησί, καὶ ἄγγελος ἐξ οὐρανοῦ ἀνάθεμα ἔστω. ἡμεῖς
ἐκ τῶν ἀποστόλων, καὶ ἐκ τῶν οἰκουμενικῶν συνόδων οὐκ εὐηγγελίσθημεν ὑπο-
τάσσεσθαι τῇ ῥωμαϊκῇ ἐκκλησίᾳ, μάλιστα προφανῶς καινοτομούσῃ. ἀλλ' ἕκαστον
ἔθνος τῇ οἰκείᾳ κεφαλῇ ἤτοι τῷ Μητροπολίτῃ ὑποτάσσεσθαι ὡς ὁ τριακοστὸς τέ-
ταρτος κανὼν φησὶ τῶν ἁγίων ἀποστόλων: καὶ οἱ Μητροπολῖται τοῖς Πατριάρ-
χαις ὡς ὁ τῆς πρώτης συνόδου ἕκτος κανὼν διαγορεύει. καὶ ὁ εἰκοστὸς ὄγδοος
τῆς τετάρτης: καὶ οἱ Πατριάρχαι ταῖς συνόδοις μάλιστα ταῖς οἰκουμενικαῖς. ἤτοι
τῇ καθόλου ἐκκλησίᾳ. εἰς ἣν καὶ ὁμολογοῦσι καὶ πιστεύουσιν. ἕτερον δ' ἑτέρῳ
ὑποκύπτειν καὶ ὑποτάσσεσθαι, οὔτε νόμος θεῖος, οὔτε παράδοσις, οὔτε κα-
νὼν διατάττεται, εἰ μὴ ἄρα οἱ Πάπαι ἐκ τῆς κοιλίας αὐτῶν ἐξερεύγονται. καὶ
γυναῖκες αἱ παρ' ὑμῖν ἀποκαλύπτουσιν: ὅγουν ἄλλως κηρύσσουσιν ἢ τοιαῦτα ἡμῖν
ἐπισείων καὶ ἐκφοβῶν, ὡς ἐξ ἀποκαλύψεως, καὶ ὁ προφήτης, καὶ ἄγγελος,
ἀνάθεμα ἔστω. ψευδῶς ἐλάλησας, ἀπὸ κοιλίας αὐτοῦ ὡς ἐγγαστρίμυθος.
καὶ οὐκ ἀπὸ στόματος Θεοῦ. θαυμάζω δὲ ὑμᾶς ἄνδρας ὄντας καὶ ἱεροπρεπεῖς,
γυναικαρίων ὀνείροις οὕτω προσέχειν, εἰδότας ὅτι γέγραπται, Ἀδὰμ οὐκ ἠπα-
τήθη. ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. καὶ ἡμεῖς μετὰ τοῦ μεγάλου Βα-
σιλείου τὰ ἐν τῇ τούτου πρὸς νεοκαισαρεῖς ἐπιστολῇ. (ἧς ἡ ἀρχή, ὅλως μὲν) πρὸς
ὑμᾶς οὕτως αὐτολεξεὶ λέγομεν: τί χρὴ πρὸς ὀνείρους καταφεύγειν, καὶ ὀνειρο-
σκόπους μισθοῦσθαι. καὶ κατωτέρω: χρησμολόγοι δὲ καὶ ὀνειροσκόποι πάντες
ἐμορμολύττοντο, πόθεν ἄλλοθεν ταῦτα. ἢ οὐχὶ καὶ παιδὶ γνώρισμα; καὶ κατω-
τέρω. τὸ γὰρ σαβελλίου κακόν, πάλαι μὲν κινηθέν, κατασβεσθὲν δὲ τῇ παρα-
δόσει τοῦ μεγάλου Γρηγορίου ἐπιχειροῦσι νῦν ἀνανεοῦσθαι οὗτοι, οἱ φόβῳ τῶν
ἐλέγχων τοὺς καθ' ἡμᾶς ὀνείρους πλάττοντες. καὶ κατωτέρω εἴπερ ἐσωφρόνουν
ἐχρῆν εἰδέναι, ὅτι τοῖς ἀχράντοις, καὶ πάσης κηλῖδος κεκαθαρμέναις ψυχαῖς
τὸ προφητικὸν ἐναυγάζει χάρισμα. οὐ γὰρ πᾶν ἐνύπνιον εὐθὺς προφητεία,
ὡς φησὶ Ζαχαρίας: Κύριος ἐποίησε φαντασίαν καὶ ὑετὸν χειμερινὸν διότι
οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους, καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν. οὗτοι
δὲ κἀκεῖνο ἀγνοοῦσι, οἱ κατὰ τὸν Ἡσαΐαν ἐνυπνιαζόμενοι καὶ κοίτην φιλοῦντες νυστά-
ξαι. ὅτι πολλάκις ἐνέργεια πλάνης ἀποστέλλεται ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. καὶ
ἔστι πνεῦμα ψευδές, ὃ ἐν τοῖς ψευδοπροφήταις γινόμενον, τὸν Ἀχαὰβ ἐξη-
πάτησε. ταῦτα εἰδότας ἔδει μὴ τοσοῦτον ὑπεραρθῆναι ὥστε ἑαυτοῖς προφη-
τείαν προσμαρτυρεῖν. οἵγε δείκνυνται καὶ τοῦ οἰωνοσκόπου Βαλαὰμ τῆς ἀκριβείας
ἀπολειπόμενοι. εἰ μὲν οὖν ταῖς ἐντολαῖς τοῦ Κυρίου αἱ κατὰ τὸν ὕπνον αὐτῶν φαν-

ταξίαι συντρέχουσιν, ἀρκείσθωσαν τοῖς εὐαγγελίοις. οὐ δὲ μιᾶς βοηθείας ἐκ τῶν ὀνείρων πρὸς τὴν ἀξιοπιστίαν προσδεόμενοι. εἰ δὲ ὁ μὲν κύριος τὴν ἑαυτοῦ εἰρήνην ἀφῆκεν ἡμῖν, τὰ δὲ ὀνείρατα μάχην καὶ διάστασιν καὶ ἀγάπης ἀφανισμὸν ἀφηγεῖται, μὴ διδότωσαν καιρὸν τῷ διαβόλῳ διὰ τοῦ ὕπνου ταῖς ψυχαῖς αὐτῶν ἐπιβαίνειν. μὴ δὲ κυριώτερα ποιήτωσαν τὰ παρ' αὐτοῖς φαντάσματα τῶν σωτηρίων διδαγμάτων. ταῦτα μὲν προσφυῶς ὁ μέγας Βασίλειος πρὸς ὑμᾶς περὶ ἀποκαλύψεων. οὐδὲν μετ' αὐτόν τι προσθήσομεν, περὶ ὑμῶν ἐκείνου σαφῶς προφητεύσαντος, εἰ μὴ καὶ ἕτερον ἐπιλέγοντες πρὸς τοὺς αὐτοὺς γράφοντας τοῦ αὐτοῦ ἐν ἑτέρᾳ ἐπιστολῇ (ἧς ἡ ἀρχὴ ἡ μὲν συμφωνία) μικρὸν μετὰ τὴν ἀρχὴν ὁ μὲν φησι περὶ σαβέλλιον τὸν λίβυν καὶ μάρκελλον τὸν Γαλάτην ἐπὶ τοσοῦτον ἡμῶν κατηναυχύτησαν, ὥστε καὶ ὀνείρους τινὰς ἐφ' ἡμᾶς συμπλάσαι διαβάλλοντας τὰς διδασκαλίας ἡμῶν ὡς βλαβεράς.

ια'. Πρὸς δὲ τὸ ἑνδέκατον οὐ χρείαν ἔχομεν ἀπολογίας. οὐ γὰρ ἀνάθεσις περιέχεται, εἰ μὴ μόνον σκώμματα καὶ ὀνειδισμοὶ πρὸς ἃ λέγομεν οὐκ οἴδατε τί λαλεῖτε. ἐκβάλλετε πρῶτον τὴν δοκὸν τὴν ἐν τῷ ὀφθαλμῷ ὑμῶν, ἵνα ἐπιβλέψητε ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ ὑμῶν. μεταξὺ δὲ ἀμφοτέρων διακρινεῖ τὸ ἀψευδέστατον στόμα τοῦ Χριστοῦ λέγον: πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. ἄφετε αὐτούς· ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν. ὅσοι γὰρ τὸ τοῦ θείου νόμου φῶς, καὶ τὰς ἐκ Θεοῦ τῶν Πατέρων φρυκτωρίας ἢ οὐ βλέπουσιν, ἢ ἀποστρέφονται, τί ἄλλο τυγχάνουσιν ὄντες, ἀλλ' ἤπερ τυφλοί, ἢ φιλόσκοτοι, γέγραπται γάρ: λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου. φησὶ δὲ καὶ πρὸς Νικόδημον ὁ Κύριος: αὕτη ἐστὶν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς. ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ, ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς ἵνα φανερωθῇ τὰ ἔργα αὐτοῦ, ὅτι ἐν Θεῷ ἐστὶν εἰργασμένα. φῶς δὲ κρίσιν οὖν ἐξ ἁγίων γραφῶν, ἐκ παραδόσεων ἀρχαίων, ἐκ συνόδων οἰκουμενικῶν, ἐκ Πατέρων ἐγκρίτων καὶ ἐκ διδασκάλων θεοφόρων, οὐ μόνον οὐ παραιτούμεθα, ἀλλὰ καὶ μόνα ταῦτα ζηλοῦμεν καὶ στέργομεν. Παπῶν θεσπίσματα οὔτε παρελάβομεν, οὔτε δεχόμεθα, ἢ ψευδόγραφα εἶεν, ἢ ἐπίπλαστα, εἴτε καὶ γνήσια, παρ' ἡμῖν ἄκυρα, πλὴν τῶν ἐν ταῖς ἱεραῖς συνόδοις. ἢ τοιοῦτον ἡμῖν ἐκ τῆς ῥώμης προεδρευσάντων προβάλλετε φῶς, ἐκκαθάρατε τοῦ καπνοῦ τῆς ἀλαζονείας. καπνῶδες γάρ, ἐκτυφλοῖ μᾶλλον, ἢ φωτίζει φῶς. ὑμεῖς δὲ τοιούτῳ φωτὶ ὁδηγούμενοι, τὰς ἀρχαίας ἐξετράπητε τρίβους, καὶ τῷ λίθῳ τοῦ προσκόμματος προσεκρούσατε, καὶ τῇ πέτρᾳ τοῦ σκανδάλου, ἣν καὶ ὡς πύργον ὀχυρώσατε, τὴν ὁμόνοιαν λύσαντες τὰς ἀποστολικὰς παραδόσεις καὶ πατρικὰς ἀπολιπόντες καὶ κατὰ τὸν μέγαν φάναι Βασίλειον (πρὸς τοὺς πάλαι δυτικοὺς ἐπιστέλλοντα, περὶ τῶν κατὰ τῶν ἑῴων καινοτομούντων) μικροῦ δεῖν πεπλήρωται νῦν ἐν ὑμῖν. καταπεφρόνηται φησὶ τὰ τῶν Πατέρων δόγματα, ἀποστολικαὶ παραδόσεις, ἐξουδένωνται. νεωτέρων ἀνθρώπων ἐφευρέματα ταῖς ἐκκλησίαις ἐμπολιτεύεται.

Ματ: ιέ.

ψαλ: ιή.

Ἰωάν: γ'.

Βασιλ:

τεχνολο-

τεχνολογοῦσι λοιπὸν, οὐ θεολογοῦσιν οἱ ἄνθρωποι. ἡ τοῦ κόσμου σοφία τὰ πρωτεῖα
φέρεται, παρωσαμένη τὸ καύχημα τοῦ σταυροῦ. καὶ τοῦτο μὲν ἴσως καὶ ἀνεκτὸν ἂν
μὴ ἀπηνῶς ἡμῖν τοῖς ἀνατολικοῖς ἀμέμπτως τὰ τῶν συνόδων καὶ Πατέρων
πρεσβεύουσιν ἐπεφύεσθε, σχίσμα ἐγκαλοῦντες ἡμῖν καὶ αἵρεσιν. ποῖον δὲ τὸ
ἔγκλημα; ὑπεραπολογεῖται πρὸς ὑμᾶς πάλιν Βασίλειος (οὗ ἡ ἀρχὴ ὁ Κύ-
ριος ἡμῶν Ἰησοῦς Χριστὸς. ὅθεν καὶ σὺ παρέλαβες νενοθευμένην καὶ οἱονεὶ
παραπεφρασμένην συμπεραίνων τὴν μαρτυρίαν, τάχα πως εἰς εὐφημίαν λα-
τίνων) ἓν ἐστιν ἔγκλημα φησὶ, νῦν σφοδρῶς ἐκδικούμενον, ἡ ἀκριβὴς τήρη-
σις τῶν Πατρικῶν παραδόσεων. Τεκμήριον δὲ τῶν λεγομένων σαφέστατον, ὅτι
εἴ ποτε συνεφέλξη τε θέλοντες ἐκ τῶν ἀνατολικῶν εἰς τὴν ἡμῶν κοινωνίαν,
ἑνώσεως λόγῳ καὶ συμπνοίας, τῶν πάλαι παραδόσεων ἐξίστατε. ἄζυμα ἐπι-
τρέποντες νηστείας ἀφέντες, ἢ χαριζόμενοι συγχωρήσεως καὶ ὁμοιότητος λόγῳ.
λειτουργίας καὶ ἀκολουθίας διορθοῦντες, τὰ ἄδυτα ἐξανοίγοντες. καὶ λοιπὸν
τὰ πάντα κατὰ τὸ ἔθος ὑμῶν εἰς τὸ δοκοῦν ὡς ἐπὶ συμφωνίᾳ ἀναμοχλεύοντες.
μάρτυρες τῶν εἰρημένων καὶ γινομένων τὸ μαρωνειτῶν ἔθνος, οὐδὲν ἔτι σῶζον
εἰλικρινὲς τῆς τῶν ἀνατολικῶν ὧν ἦσαν μερίδος, εἰ καὶ τῆς ὀρθοδοξίας ἐξώ-
λισθεν. καὶ ἐξ ἡμῶν δ' αὐτῶν ὅσοι ὑπὸ παπικὴν τανῦν διατελοῦσι διοίκησιν
ταὐτόπως πρὸς βιαζόμενοι πάσχουσι. καὶ τὰ μὲν ἀρχαῖα καὶ ὑπέρογκα κατα-
λῦσαι, οὐδεὶς ἦν ὑμῖν φόβος. τὰ δὲ μικρὰ καὶ ὡς ἀληθῶς νεωτέρων ἐφευ-
ρέματα παραβαίνειν, πολὺς ὁ ἀγὼν, καὶ ἡ ἄμυνα. ἐπὶ τούτοις ἀπαιτεῖν τὴν
ἡμῶν πρὸς ὑμᾶς συμφωνίαν καὶ σύμπνοιαν μετὰ βασιλείου τοῦ μεγάλου συμπε-
ραίνων οὐδαμῶς πείσειας. οὐ γὰρ ἐπὶ τοιούτοις ἐκεῖνος καινοτομήμασι τῆς τῶν
δυτικῶν ἐπιδεῖται, ἀλλὰ πρὸς ἀνατροπὴν τῶν αἱρέσεων. πάντως δὲ μετὰ τοῦ
αὐτοῦ οὐρανοφάντορος ἀντιστρέψω τὴν παραίνεσιν πρὸς ὑμᾶς, ἣν ἐκεῖνος τοῖς
νεοκαισαρεῦσι κληρικοῖς ἐπιστέλλων εἰσηγήσατο (οὗ ἡ ἀρχὴ ἡ μὲν συμφωνία
κατὰ τὸ τέλος, σκοπεῖτε φησὶ, μὴ κώνωπα διυλίζετε, περὶ μὲν ἤχου φωνῆς
τοῦ κατὰ τὰς ψαλμῳδίας ἀκριβολογούμενοι τὰς δὲ μεγίστας τῶν ἐντολῶν παρα-
λύοντες. καὶ ἐπάγει, εἰς τούτους τοὺς λόγους ἤγαγεν ἡ ἀνάγκη τῆς ἀπολογίας,
ἵνα διδαχθῆτε ἐκβάλλειν τὴν δοκὸν τῶν ὀφθαλμῶν ὑμῶν. καὶ τότε ἐξαίρειν τὰ
ἀλλότρια κάρφη. πλὴν ἀλλὰ ταῦτα συγχωροῦμεν εἰ καὶ ὅτι οὐδὲν ἀνεξέτα-
στον παρὰ τῷ Θεῷ. μόνον ἐῤῥώσθω τὰ προηγούμενα, καὶ τὰς περὶ τὴν πίστιν και-
νοτομίας καταστείλατε. τὰς ὑποστάσεις μὴ ἀθετεῖτε, τὰς τῶν Πατέρων φω-
νὰς μὴ παρεξηγεῖσθε. εἰ δὲ μὴ ἕως ἂν ἐμπνέωμεν, καὶ δυνάμεθα φθέγγεσθαι,
ἀμήχανον ἡμᾶς ἐπὶ τοσαύτῃ λύμῃ ψυχῶν σιωπᾶν.

ΕΠΙΛΟΓΟΣ

Ταῦτα μὲν δὴ καὶ τοσαῦτα συνεχώρησεν ἡμῖν ἡ σύνοικος ἀῤῥωστία, πρὸς
τὰ παρὰ τοῦ φράτορος Πέτρου εἰπεῖν, πρὸς ὃν ἐξ αὐτῶν τῶν προοιμί-
ων ἠρξάμεθα διαλέγεσθαι. λυπεῖ δέ με τὸ μὴ περιεῖναι τὸν ἄνδρα
λαβεῖν καὶ ἰδεῖν, τὴν δυνατὴν ἡμῖν, πρὸς ἕκαστον τῶν αὐτοῦ προβλημάτων
προσενεχθεῖσαν ἀντίῤῥησιν. εἶχε γὰρ ἂν καὶ ἄλλους παιδεύειν μὴ προπετῶς οὕτως

ἐξοπλί-

ἐξοπλίζεσθαι καθ' ἡμῶν καὶ τῆς ἀληθείας αὐτῆς. νῦν δὲ μετ' ὀλίγας ἡμέ-
ρας ἀφ' οὗ τὰς θέσεις ταύτας συντεταχὼς, καὶ τὰ τούτων τμήματα, προ-
σέφερεν ἡμῖν, ἀποδήμησε περινοστῶν τὴν Παλαιστίνην ἅπασαν, καὶ γενόμενος
περί που τὰ ὅρια τῆς Γαλιλαίας καὶ Συρίας, τὸ ζῆν ἐξεμέτρησε μετὰ δυσο-
μοῦ ὀπαδῶν, καὶ συμφρατόρων αὐτοῦ. ἀλλ' ἔμπης ἐπεὶ ἐκεῖνος, οὐκ ἀ- 5
φ' ἑαυτοῦ μόνου, ἀλλ' ὡς ἀπὸ παντὸς τοῦ ἑαυτοῦ σχήματος τὰς θέσεις ταύτας,
καὶ τὰς τούτων συστάσεις, ἔγραψέ τε καὶ προσήγαγε, καὶ μόνος πατὴρ τῆς
βίβλου καλεῖσθαι οὐκ ἠξίωσε, ἀλλ' ἅπαν τὸ σύστημα τῶν συμφρατόρων αὐτοῦ,
ὡς δῆθεν ἐσκεμμένως ἄγαν καὶ λέγει καὶ γράφει, ταῦτα οὐκ αὐτὸς μόνος,
ἀλλ' ὁμογνώμονας ἔχων καὶ τοὺς περὶ αὐτὸν ἅπαντας. διὰ τοῦτο λοιπὸν δί- 10
καιον καὶ ἡμεῖς ἡγησάμεθα, τούτου δὴ μὴ περιόντος, ἐκείνοις τὰς ἀντιρρήσεις
ἡμῶν ταύτας ἀποδοῦναι.

Ἀλλὰ πρὸ τοῦ πρὸς τὸν ἐκείνου ἐπίλογον τὸν ἡμέτερον ἀντεπαγαγεῖν, δεῖν ἔ-
γνωμεν μικρά τινα προσθῆναι τῷ λόγῳ, ἀφ' ὧν ἡμᾶς οἱ καλοὶ οὗτοι φρά-
τορες ἐνταῦθα ἠργάσαντο, καὶ ὁσημέραι ἐργάζονται δεινὰ, σκευωρίας, ἐπι- 15
βουλὰς, ἐνόπλους ἐπαναστάσεις καὶ ταῦτα ἐντὸς ὄντες, καὶ μήπου μεμψέσθω
τις, παρέκβασιν τῶν πεπραγμένων εἶναι λέγων τὰ ῥηθησόμενα, οὐ γὰρ πάντη
ἀλλότρια ἐπεισάγομεν, ἀλλὰ καὶ οἰκεῖα πως τῇ πραγματείᾳ. δείκνυσι γὰρ ὁ-
λόγος καὶ λόγοις ὅτι καὶ ἔργοις καὶ συγγράμμασιν ἐμφαίνουσι τὴν πρὸς ἡμᾶς αὐ-
τῶν δυσμένειαν, καὶ τὸ μῖσος, καὶ ταῦτα ἐν μηδενὶ μηδέποτε ἠδικηκότας. 20

Οἶδεν ἡ γῆ, οἶδεν ὁ οὐρανὸς, ὅπως ἡμεῖς πρὸς τούτους εὐμενῶς διακείμεθα,
καὶ φιλικῶς αὐτοὺς προσιέμεθα ὡς τὸ τοῦ χριστοῦ περικειμένους ὄνομα μηδὲν
ἄλλο περιεργαζόμενοι μήτ' ἀνερευνῶντες τῇ τοῦ καιροῦ ἀνάγκῃ ἑπόμενοι. ἀλλ'
οἶδε Θεὸς, ὅτι τῇ ἡμετέρᾳ εὐμενείᾳ, δυσμένειαν οὗτοι ἀνθυπεξάγουσι,
ὁτὲ μὲν προφανῶς, ὁτὲ δὲ ἀφανῶς, καὶ ἀεὶ τὸ πρὸς ἡμᾶς ἔχθος ἐνδομυ- 25
χοῦντες καιροφυλακτοῦσι δεινόν τι ποιήσειν ἡμᾶς. ἐξὸν γὰρ αὐτοῖς εἰρηνικῶς
μεθ' ἡμῶν διάγειν, ἡσύχως τε καὶ ἀταράχως προσέρχεσθαι ὁσημέραι, καὶ γο-
νυκλιτεῖν καὶ προσκυνεῖν ἀκωλύτως οὓς ἡμεῖς τόπους κατέχοντες παραχωροῦ-
μεν αὐτοῖς ἐθέλοντι φιλανθρωπευόμενοι, ἀνεῳγμένων οὐσῶν πάντοτε τῶν ἱερῶν
πυλῶν, τοῦ τε ἁγίου τάφου, ἁγίου Γολγοθᾶ, καὶ ἁγίου σπηλαίου, οὗτοι οὐχ οὕ- 30
τως ἀρέσκονται, ἀλλ' ἐπεὶ ἔν τινι τόπῳ ἐρείσωσι τὸν πόδα, τέλεον ἀποσοβεῖν
ἡμᾶς ἐκεῖθεν θέλουσι, καὶ μόνοι κύριοι τῶν σεβασμίων ἀναδείκνυσθαι τόπων,
καὶ πρόσωπον ἀεὶ καθ' ἡμῶν ἀνιστᾶν σπουδάζουσι, μετὰ δὲ δικαίου τρόπου οὐχ οἷοί
τε τοῦτο κατορθοῦν (ἡμῖν γὰρ ἅπαντα ἄνωθεν δεδομένα τυγχάνουσιν ὁρισμοῖς
τε καὶ χρυσοβούλλοις ἰσχυροῖς τῶν ἀνέκαθεν τῆς ἁγίας ταυτησὶ πόλεως κρατησάν- 35
των) τὴν ἑτέραν τρέπονται, δωροδοκίαις δηλαδὴ καὶ ἀφθονίᾳ χρημάτων τοὺς
μεγιστᾶνας, καὶ τοὺς κρατοῦντας ὑποκλέπτουσι, καὶ τοῦτο αὐτοῖς ἀεὶ τὸ σπουδαζόμε-
νον. καὶ οὗτοι μὲν αὐτῶν εἰσὶν οἱ πρὸς ἡμᾶς ὁσημέραι, πόλεμοί τε καὶ μάχαι. οὗτοι
δὲ καὶ πρόξενοι μυρίων ταραχῶν, καὶ πάλαι γεγόνασι, καὶ ἐκ τοιούτων ἀρχῶν
ὁρμώμενοι, ἔνεδρα πικταίνουσι καθ' ἡμῶν. μακρὸν δ' ἂν εἴη πάντα τὰ παρὰ 40
τούτων προγεγονότα σκάνδαλα, καὶ τὰ ἐπιγεγονότα ἐν τοῖς ἡμετέροις χρόνοις,

λέγειν τε

λέγοντα καὶ γράφειν. οὐ μήν γε διὰ τοῦτο καὶ πάντων ἀποληφθήσομαι. ἀλλὰ δύο ἢ τριῶν μνημονεύσας τῶν ἄλλων ἀφέξομαι. καὶ ταῦτα οὐχ ὡς κατηγορούντων, ἀλλ' ὅπως τὰς μεταξὺ ἡμῶν καὶ αὐτῶν ἀνωμαλίας, καὶ ταραχὰς ἔχοιεν οἱ ἀκούοντες σαφῶς διαγνῶναι, τίνες οἱ τοῦ δικαίου ἀντεχόμενοι, καὶ τίνες οἱ τούτου μακρὰν ἀφιστάμενοι.

Εὕρομεν ἐν τοῖς ἀπομνημονεύμασι τῶν πρὸ ἡμῶν ἀοιδίμων καὶ μακαρίων Πατριαρχῶν, ὅτι ἐν ταῖς ἡμέραις τῆς Πατριαρχίας τοῦ ἀοιδίμου κὺρ Σωφρονίου, περί που τὸ χιλιοστὸν πεντακοσιοστὸν ἐννενηκοστὸν ἔτος τὸ σωτήριον, ὅτι ἐκ τῆς συμμορίας τῶν καλῶν τούτων Φρατόρων, οἱ ἐνταῦθα τότε τυγχάνοντες ἐπανέστησαν μετὰ πλείστης ὅσης δυνάμεως λαβεῖν ἀφ' ἡμῶν τὸν ἅγιον Γολγοθᾶν, ἀντέστη δὲ γενναίως ἐκεῖνος ὁ ἀείμνηστος ἀνταγωνισάμενος ἰσχυρῶς, καὶ Θεοῦ ἐπινεύοντος ἡ πλάστιγξ οὐχ ἐτερροζύγησεν, ἀλλ' ἐκεῖνοι μὲν ἡττήθησαν ἀποβληθέντες, ὁ δὲ Πατριάρχης νίκης ἤρατο τρόπαια. οὐχ ὅπλοις καὶ σιδήρῳ πολεμήσας, ἀλλὰ χρυσῷ καὶ ἀργύρῳ, οἷς καὶ οἱ ἀντίπαλοι τούτου ἐχρῶντο πρὸς ἄμυναν, ὁ πόσος δ' ἦν ὁ καταβληθεὶς σταθμὸς ἐν ταῖς ἐφημερίσιν ἐκείνου ἀναγέγραπται. ἀρκεῖ δὲ τοῦτο μόνον εἰπεῖν, ὅτι ἡττηθέντες ἐνετράπησαν.

αφϟ

Μετὰ τὴν τοῦ κὺρ Σωφρονίου παραίτησιν προβιβάζεται εἰς τὸν Πατριαρχικὸν θρόνον ὁ ἀοίδιμος Πατριάρχης κὺρ Θεοφάνης ὑπὸ τῶν δύο Πατριαρχῶν χειροτονηθεὶς Κυρίλλου Ἀλεξανδρείας, καὶ Δωροθέου Ἀντιοχείας, ἐνδημούντων τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ, προσκυνήσεως χάριν. ὁποῖος δ' ἦν οὗτος τὴν ἀρετὴν, καὶ τὴν μετριοφροσύνην, ἴσασιν οἱ τούτου πειραθέντες, καὶ ἔτι τῷ βίῳ περιόντες. λέγειν δὲ καὶ γράφειν τὰς ἐπηρείας ἃς παρὰ τῶν Φρατόρων ὑπέμεινεν ἐν ὅλοις εἴκοσιν ἔτεσι, βίβλον ὅλην συντάξειεν ἄν τις. ἐπάναγκες ὅμως δοκεῖ λίαν συντόμως τοῦτο μόνον εἰπεῖν. οὐκ οἶδ' ὅπως, ἢ τίσι τρόποις ὕστερον συνεχωρήθη τὸ τόπον τινὰ ἐν ἑνὶ μέρει ἔχειν, ἔντε τῷ ἁγίῳ Γολγοθᾷ κἀν τῷ ἁγίῳ σπηλαίῳ, ἵνα ἔχοιεν τελεῖν ἐκεῖσε τὴν λειτουργίαν αὐτῶν, καὶ τέως μὲν εἰρηνικοὶ καθεστήκεισαν μετὰ τῶν ἡμετέρων ἐντὸς τῶν διωρισμένων αὐτοῖς τόπων ἱστάμενοι, ὅπως δὲ τούτους ἀφῃρέθησαν ἐξωσθέντες ἐκεῖθεν δικαίως, λέξων ἤδη ἔρχομαι. υἱοὶ μὴ ὄντες εἰρήνης, τοὺς τῆς εἰρήνης δεσμοὺς εὐχερῶς διασπᾶν ἀεὶ προαιροῦνται. τὸ ἱερὸν ἅπαν ἐκεῖνο ἔδαφος τοῦ ἁγίου Γολγοθᾶ βατὸν ἦν πάσῃ φυλῇ Χριστιανῶν εἰς προσκύνησιν μόνον, οὐ μὴν δὲ καὶ ἱερουργεῖν, ἄλλοις ἐξῆν, ὅτι μὴ τῷ Πατριάρχῃ μόνῳ, καὶ τοῖς αὐτοῦ. λαβόντες δ' οἱ Φράγγοι ἔκδοσιν ὡς ἔφημεν ἱερουργεῖν ἐν ἑνὶ μέρει τούτου, κατωφρυώθησαν εὐθὺς, καὶ τὸν τόπον, ὡς δῆθεν ἴδιον αὐτοῖς χωρίσαι δικτύῳ παχεῖ καὶ κυκλώσειν ἐκ σιδήρου, ὡς ἄβατον εἶναι τοῖς ἄλλοις ἅπασι, κακῶς διενοήθησαν, καὶ ἴσως ἂν καὶ τὸ ἔργον εἰς πέρας ἤγαγον, τῶν ἡμετέρων σιωπώντων. ἀλλ' ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος κύριος, ἐξ αὐτῶν τούτων τὸ κώλυμα τοῦ ἐγχειρήματος ᾠκονόμησε γενέσθαι. οὐ γὰρ μόνον τὸν ὃν εἶχον τόπον διεμέτρησαν χωρῆσαι, ἀλλὰ καὶ μέρος τι ἁψῖδος προβάντες ἁρπάσαι ἤθελον, ὑφ' ἣν ἁψῖδα πρὸς μὲν ἀνατολὰς ἡ ἡμετέρα τράπεζα κεῖται, ἔπηχυ καὶ τὸ πλάτος

ἅπαν τοῦ τόξου τῆς ἀψῖδος. πρὸς δὲ δυσμὰς θρόνος τοῦ Πατριάρχου, ἐκ Μαρ-
μάρου πάλαι πεπήγνυται τὸ ἐκεῖσε πλάτος ἅπαν τοῦ τόξου κατέχων καὶ αὐτός.
τούτου δὴ τὸ πλάτος τὸ ἥμισυ ἀφελέσθαι πρὸς ἑαυτοὺς κακούργως ἠβουλήθη-
σαν, καὶ δὴ κολάπτει ἄνωθεν τῆς ἁγίας Τραπέζης, καὶ τοῦ πρὸς δυσμὰς Πα-
τριαρχικοῦ θρόνου ἀρξάμενοι, εἰς τὸ πηγνύειν ἐκεῖσε τὸ δυκτοῦ ἐκεῖνο σι-
δηροῦν κάγγελον, ποσοῦτον εἰς τὸ ἀποκλύσαι τὸν τόπον, ἀλλ' ἵνα διχῇ διελόν-
τες τήν τε ἁγίαν Τράπεζαν καὶ τὸν Πατριαρχικὸν θρόνον, ἄρξησαι τοῦ λοιποῦ
ἡμῖν ταῦτα ποιήσαντες, καὶ ἄκοντες ἐκεῖθεν ἐπαναστῶμεν ὡς διωκόμενοι. γνω-
σθείσης δὲ ταχέως τοῖς ἡμετέροις ἡ τούτων ματαία ἐπίνοια, καὶ τὸ σοφὸν ῥα-
διούργημα, θόρυβος εὐθὺς ἐγείρεται καὶ ταραχή. ἀφ' ὧν οὐ μόνον ἐκωλύ-
θησαν οἰκοδομεῖν τὴν πόλιν καὶ τὸν πύργον τῆς αὐτῶν ὑπερηφανίας, ἀλλὰ καὶ
τοῦ τολμήματος ἀξίαν τὴν δίκην ἔτισαν ἐξωθέντες ἐκεῖθεν ὡς ἀλλοτρίοις
ἐπιβαίνοντες τόποις, ὧν οὐδέποτε τὴν κυριότητα ἔλαβον, ἀλλὰ φιλοτιμία
τῶν ἡμετέρων συνεχωρήθησαν. ταῦτα τῶν καλῶν φρατόρων τὰ μηχανή-
ματα, καὶ οὐκ αἰδοῦνται τοιαῦτα δρῶντες, ἀλλὰ καὶ μισανθρωπίαν ἡμῖν πρὸς
τοὺς ἐν Ἰταλίᾳ Χριστιανοὺς ἐγκαλοῦσιν, ὡς διώκουσιν αὐτούς. καίτοιγε πρῶτοι
οὗτοι ἀδικημάτων ἀεὶ ἄρχονται, ζητοῦντες λῃστρικῶς τὰ μὴ τούτοις ἀνήκοντα
σφετερίσασθαι. καὶ τὸν μὲν ἅγιον Γολγοθᾶν ταῖς σφῶν αὐτῶν κακομηχανίαις
οὕτως ἀπώλεσαν, σώζονται δὲ καὶ μέχρι τοῦ δεῦρο αἱ ἐγκεκολαμμέναι ὀπαὶ ἐν
τοῖς μαρμάροις εἰς μαρτύριον αὐτοῖς καὶ πᾶσι τοῖς ὁρῶσιν. ἀλλ' ἔμπης οὐ-
τέλεον τῆς προσκυνήσεως ὑστερήθησαν τοῦ ἱεροῦ ἐκείνου τόπου, ὥσπερ καὶ τῶν ἄ-
λλων ἁπάντων, οἱ γὰρ ἔνδον κατὰ καιρὸν ἐκεῖσε πτωχευόμενοι, καίπερ ἰδίαν
ἔχοντες ἐκκλησίαν καὶ ἀλτάριον ἔνθα οἰκοῦσιν ἀλλὰ καὶ ὅταν προσκυνεῖν καὶ
προσεύχεσθαι βούλοιντο, ἀκωλύτως εἰσίασι, μηδενὸς αὐτοὺς εἴργοντος. καὶ
καθ' ἑκάστην ἡμέραν περὶ δείλην ἑσπέραν περιέρχονται μετὰ λιτῆς καὶ ψαλμῳ-
διῶν ἅπαντα τὸν ναόν, καὶ εἰς τὸν Γολγοθᾶν ἀνέρχονται, καὶ εἰς τὴν ἀποκαθήλω-
σιν καταβαίνουσιν, κἂν τῷ ἁγίῳ τάφῳ εἰσέρχονται, καὶ εἰς τὴν εὕρεσιν τοῦ
σταυροῦ κατέρχονται καὶ πάντα ἱερὸν καὶ σεβάσμιον τόπον ἔνδον τῆς ἐκκλησίας δι-
ερχόμενοι, ἐν ἑκάστῳ τὰς συντεθημένας αὐτοῖς εὐχὰς μετὰ παρακλήσεων ᾄ-
δουσι, μηδενὸς κατὰ μηδὲν παρενοχλοῦντος ἢ συγχέοντος τὴν αὐτῶν προ-
σευχήν, καὶ ταῦτα πάντα ποιεῖν συγχωρούμενοι ὡς χριστιανοί, εἰς ἔρεις καὶ μά-
χας ἀεὶ διεγείρονται.

Ὅπως δὲ καὶ ἀπὸ τοῦ ἁγίου σπηλαίου ἐξεβλήθησαν, συντόμως ἐροῦμεν. ἔχει
ὁ ἁγιώτατος ἐκεῖνος χῶρος πύλας εἰσόδου δύο, μίαν μὲν πρὸς ἄρ-
κτον, θατέραν δὲ πρὸς μεσημβρίαν ἀποβλέπουσαν. οἱ οὖν καλοὶ τότε φρά-
τορες, οὐκ οἶδ' ὅπως ἐξαπατήσαντες τὸν νεωκόρον, ἔλαβον παρ' ἐκείνου τὴν
κλεῖδα τῆς βλεπούσης πρὸς ἄρκτον πύλης, ἵν' ἀνοίγοντες ἔχοιεν ὁπότ' ἂν ἐ-
θέλοιεν προσκυνεῖν. τοῦ καιροῦ δὲ προβαίνοντος οὕτως, ἐπιλαθόμενοι ὑπ' ἀ-
λαζονίας ὅτι πύλην καὶ κλεῖδα κατέχουσιν ἀλλοτρίαν, ὡς ἰδίαν κακῶς διενοή-
θησαν κατέχειν, καὶ εἴργειν ἡμᾶς τῆς ἐκεῖθεν εἰσόδου καὶ ἀποσοβεῖν. κορυφωθὲν δὲ
τὸ κακὸν καθ' αὐτῶν ἐκστρατεύεται, ἐντεῦθεν τὰς αἰτίας λαβόν.

Ἑορτὴ ἦν ἡ τῶν Χριστοῦ γενεθλίων, ἐτέλεσαν δ' οὗτοι ταύτην πρὸ ἡμερῶν δέκα κατὰ τὸ αὐτῶν καλενδάριον, εἰρηνικῶς καὶ ἀπαραγχῶς τῶν δύο πυλῶν οὐσῶν ἀνεῳγμένων, ὡς ἤθελον. ἐπέστη δὲ καὶ ἡ ἡμετέρα ἑορτάσιμος ταύτης τῆς ἑορτῆς ἡμέρα. συναθροίζει, ὡς ἔθος ὁ Πατριάρχης τὸν ἑαυτοῦ λαὸν καὶ κλῆρον σὺν ἅμα τοῖς παρευρεθεῖσι τότε προσκυνηταῖς, ἐλθὼν δὲ εἰς Βηθλεὲμ μετὰ τούτων ἁπάντων ἀφ' ἑσπέρας ἐτέλεσε τὴν τῶν ὡρῶν ἀκολουθίαν. εἰς δὲ τὴν τοῦ ἑσπερινοῦ λιτὴν κατελθὼν εἰς τὸ ἅγιον σπήλαιον, διὰ τῶν δύο πυλῶν τὴν δίοδον ὡς ἔθος ποιήσασθαι, εὑρίσκει τὴν ἣν ἔλεγον οἱ Φράτοι ἰδίαν ἑαυτοῖς κεκλεισμένην. ἐν ὅσῳ δὲ τὰ τῆς λιτῆς ἐψάλλοντο στιχηρὰ (ἵνα συντέμνω τὸν λόγον) δὶς καὶ τρὶς ἀποστείλας προσκαλοῦντο τούτους ἐλθεῖν καὶ ἀνοῖξαι καὶ παρασχεῖν αὐτῷ τὴν συνήθη δίοδον, καὶ ἐξελθεῖν καὶ ἦν ᾄδων πρὸς ἀσπίδας κωφὰς καὶ τὰ ὦτα βυούσας. τελέσας τοίνυν τὴν λιτὴν (τί ἂν ἄλλο εἶχε καὶ δράσειεν) ὑπέστρεψε δι' ἧς εἰσῆλθε πύλης, μηδὲν ἄλλο εἰπών. ὑποστρέψας δὲ εἰς Ἱερουσαλὴμ εὐθὺς μηδὲν ὁμιλήσας, τῆς πρὸς τὴν Βυζάντιον ἄγουσαν ὁδοῦ ἥψατο, ὅρκῳ ἑαυτὸν ὑποβαλών, μὴ πρὸς τὸν ἴδιον ἐπανακάμψαι θρόνον, μὴ πρότερον ἐκ τοῦ ἁγίου σπηλαίου τοὺς Φράτας ἐξώσας, ὃ καὶ πεποίηκεν ὁ ἀοίμνηστος οὐ δώροις, οὐ χρήμασιν, ἀλλὰ δικαίᾳ τοῦ κρατοῦντος ψήφῳ, ἰδόντος πρότερον καὶ διαγνόντος τῶν πρὸ αὐτοῦ πάντων βασιλέων τὰ ψηφίσματα καὶ τὰς ἀποφάσεις ἐγγράφους μετὰ προσγραφῆς χρυσῆς ἑκάστου, διατρανοῦντα τοῖς γραικοῖς εἶναι τὸ ἀνέκαθεν πάντα τὰ ἅγια προσκυνήματα, οἷς ἐπακολουθῶν καὶ ὁ τότε τὰ βασιλικὰ σκῆπτρα κατέχων χρυσόβουλον ἕτερον παρ' ἰδίας αὐτοῦ χειρὸς ἐπιδέδωκεν. ἔκτοτε δὲ τόπος ἀφορισμένος αὐτοῖς οὐκ ἔστιν ἐν τῷ ἁγίῳ σπηλαίῳ, εἰ μὴ προσκυνεῖν ἐν αὐτῷ μόνῳ καὶ προσεύχεσθαι. τίνες οὖν πρὸς Θεοῦ, αἴτιοι τοῦ πολυχρονίου ἐκείνου πολέμου, καὶ τοῦ ἀφαιρεθῆναι τούτους ὃν ἔλαβον παρ' ἡμῶν τόπον, οὐχὶ ἡ ἀγνωμοσύνη τούτων καὶ ἰσχυρογνωμοσύνη; μὴ ἀξιούντων παραχωρῆσαι τῷ δεσπότῃ τοῦ ἱεροῦ τόπου ἐκείνου (τῷ Πατριάρχῃ φημὶ) τὴν δίοδον τῶν δύο πυλῶν, ἀλλ' ὡς ἰδίαν ἀφρόνως νομίζοντες, τὴν μίαν κεκλεισμένην κατεῖχον, φθόνου καὶ πεισμονῆς φανέντες ἥττονες.

Καὶ ταῦτα μὲν ἀεὶ διανοούμενοι δρῶσι καθ' ἡμῶν, οὐ θεσπίσμασιν ἐκκλησιαστικοῖς, οἱ ἐκκλησιαστικώτατοι, οὐ νόμοις πολιτικοῖς ἢ διατάγμασι βασιλικοῖς οἱ ἐννομώτατοι, οὐδ' ὅλως τῷ δικαίῳ ἢ τῇ ἀληθείᾳ ἐπερειδόμενοι, ἀλλ' ἐπὶ ἀφθονίᾳ χρημάτων μόνον αὐχοῦντες, ὡς πολλάκις αὐτῶν ἀκηκόαμεν ἐπαπειλούντων ἡμῖν. οὐδὲν γὰρ ἄλλο τὸ σπουδαζόμενον αὐτοῖς παροικοῦσιν ἐνταῦθα, ὅτι μὴ χρηματισμός, ἐπ' ἀγαθῷ οὐδενὶ καταναλισκόμενος, ἀλλὰ τὰ πλεῖστα εἰς τὸ ἀβροδίαιτον, εἶτα καὶ δώροις καὶ χρήμασιν ὑποκλέπτειν τὰς ψήφους, εἰς τὸ κατεπανίστασθαι ἡμῶν, καὶ τοῦτο αὐτοῖς ἔργον τὸ σκοπιμώτατον. καὶ τῶν κατὰ καιροὺς ἐπιφοιτώντων ἐνταῦθα προεστώτων αὐτῶν, ἄλλος ἄλλου φιλοτιμεῖται, δοκιμώτερος ἐπὶ τούτῳ δείκνυσθαι, ὅστις δηλαδὴ μάχας καὶ κρίσεις οἷός τε διεγείρει, καὶ τὸ πρᾶγμα ὡς λίαν ἔπαυλον, καὶ ἀπατηλόν. ἵν' ἔχειεν προσανακλαίειν ἅπασι τοῖς ἐν τῇ δύσει χριστιανοῖς βασιλεῦσιν, ὡς

δῆθεν δεινὰ πάσχοντες ἀεὶ παρ' ἡμῶν, καὶ δεῖσθαι χρημάτων πρὸς ἀντιπαρίστα-
σιν. οἶμαι δ' ἀληθῶς, ὅτι ἣ κἀκεῖνοι εἴδεσαν, ὅση καὶ ὅπως τὰ παρ' αὐ-
τῶν μετ' εὐλαβείας ἐλέους χάριν ἐπιδιδόμενα καταναλίσκονται, οὐδ' αὐτοῖς
ἀνεκτὸν ἂν εἴη.

Ἐξὸν γὰρ αὐτοῖς εἰρηνικῶς διάγειν, κρίσεις, μάχας, καὶ πολέμους ἐπιμη- 5
χανῶνται ἀεί, καὶ οὐκ οἶδ' ὅπως οἱ εὐλαβέστατοι οὗτοι φρέρες ἐξ ἀλλο-
δαπῆς μακρὰ πελάγη διαπερῶντες, ἐπὶ προσκυνήσει τῆς ἁγίας ταύτης γῆς,
δέον σὺν εὐλαβείᾳ προσέρχεσθαι, θυμῷ καὶ ὅπλοις ἐπέρχονται. καὶ ποτὲ
μὲν ὡς ἔφθημεν εἰπόντες, σκυταλίαις, ἄλλοτε καὶ ἀγχεμάχοις χρῶνται
ὅπλοις, ὡς αἱ μοχαρεῖς στρατιῶται. καὶ τῷ μὲν ζωοδόχῳ τάφῳ προσεδρεύου- 10
σι μέν, ἀλλ' οὐχ ὡς οἱ τοῦ Χριστοῦ μαθηταί, ἀλλ' ὡς ἡ τοῦ Πιλάτου κουστωδία.
ἐγνώσθησαν οἱ γεννάδαι ὁπλοθήκην ποιήσαντες τὴν ἔνδον τοῦ ἁγίου τάφου κατοι-
κίαν αὐτῶν, ὅπερ οὐκ ἄλλοτέ ποτε τετολμήκασι. καινὸν γὰρ αὖθις τὸ μηχά-
νημα. καὶ οὐ πᾶσι κατηγορῶν τοῖς ἐν ταῦθα ταῦτα διέξειμι. εἰσὶ γὰρ καί τι-
νες αὐτῶν εὐλαβεῖς τῷ ὄντι καὶ σχήματι καὶ πράγματι. οὗτοι δὲ καὶ εἰρήνης 15
εἰσὶ θηρευταί, ἀλλὰ τῶν ἀεὶ κατ' ἔτος ἐπιδημούντων, ὧν καὶ τὸ θράσος
καὶ τὰ τοιαῦτα τολμήματα ἐλευθερίᾳ γὰρ καὶ ἀνέτῳ βίῳ ἐκείνου συζῶντος ἐν
τοῖς ἑαυτῶν ἕκαστος μέρεσι, καὶ κατὰ τῶν μὴ ταὐτὰ τούτοις θρησκευόντων λό-
γοις καὶ ἔργοις ἐξοπλιζόμενοι καὶ μάλιστα ἡμῖν τοῖς ἀνατολικοῖς τοιαῦτα κἀν-
ταῦθα εἰς ἡμᾶς δρᾶν ἀδεῶς ἐθέλουσι, καὶ τούτων αὖθις ὅσοι πέρυσιν οὐ 20
τοῦ σχήματος ἡμμένοι. εἰσὶ δ' οἳ καὶ ἐκ τοῦ κοσμικοῦ συνειλεγμένοι τάγμα-
τος στρατιωτικοῦ δῆθεν, ἢ καὶ τῶν ἐκ τῆς ναυμαχίας διασωθέντων, τὸ σχῆ-
μα ἀμφιεσάμενοι, μόνον ἵνα τῆς ἁγίας ταυτησὶ ἐπιβῶσι γῆς (ἔθος γὰρ καὶ
τοῦτο παρ' αὐτοῖς) οὗτοι τὰ μάλιστα φόνον πνέουσι καθ' ἡμῶν καὶ ἀπειλήν.
οὗτοι καὶ κύριοι πάντων τῶν ἱερῶν τόπων τε καὶ προσκυνημάτων, οἰόμενοι εἶ- 25
ναι, οὐκ οἶδ' εἰ ἔκ τινος ματαίας καὶ ψευδοῦς κατειλημμένοι ὄντες προλή-
ψεως, ἢ ἐκ τῆς ἄνωθεν αὐτῶν πρὸς ἡμᾶς ἀπεχθείας ὁρμώμενοι, βλοσυρόν τι
ἀεὶ πρὸς ἡμᾶς καὶ τοὺς ἡμῶν ἀποβλέπουσι, καὶ ὡς φῶρας ἀλλοτρίων πραγ-
μάτων ὁρῶσι. καὶ μαρτυρεῖ μου τῷ λόγῳ τὰ χθὲς καὶ πρότερα παρ' αὐτῶν
ἔνδον τοῦ ἁγίου τάφου γεγενημένα, ἐξάκουστα πᾶσιν ἄχρι καὶ αὐτῆς Κωνσταντινου- 30
πόλεως, ἅπερ εἰ καὶ δῆλα πᾶσι καθέστηκεν, οὐκ ὀκνήσω δ' ὅμως καὶ ταῦτα
γραφῇ παραδοῦναι, τῇ συντομίᾳ χρησάμενος. μαρτυροῦσι τὰ γεγυμνω-
μένα τούτων ξίφη, τὰ παραξίφια, οἱ ῥόπαλοι, οἱ ἐξελθόντες ἐκεῖθεν, τῶν
ἡμετέρων τραυματίαι, πρὸς θάνατον αὐτοῖς αἱ πληγαὶ ἀφορῶσαι, τὰ ἐκχυθέν-
τα αἵματα, πρὸς τῆς ἱερᾶς ἡμῶν τραπέζης, οἱ ἡμαγμένοι ῥόπαλοι ἔτι σωζό- 35
μενοι παρ' ἡμῖν, καὶ τίνες οἱ δράσαντες; οἱ τὰς ῥακκίνους, καὶ βαθύας κα-
λύπτρας ἐπὶ κεφαλῆς, ἐν ταῖς προόδοις ἐπιφερόμενοι, κεκυφότες, καὶ
πρὸς γῆν νενευκότες. τίσι δὲ ταῦτ' ἔδρασαν; τοῖς ταλαιπώροις ὑπηρέ-
ταις ἡμῶν. πότε δὲ τετολμήκασι; περὶ ὥραν δήπου δευτέραν τῆς ἡμέρας·
σάββατον δ' ἦν, ἐπὶ τῆς ἱερᾶς μυσταγωγίας, ἱσταμένου τοῦ ἡμετέρου ἱερέως, καὶ 40
τῶν ὑπηρετῶν περιεσταμένων. καὶ τίνος ἕνεκεν; ἵν' ἐκεῖθεν ἀπὸ τῆς ἱερᾶς
τραπέ-

τραπέζης ὠθήσωσιν αὐτὰς, αὐτοὶ τῆς ἰδίας ἄρξονται λειτουργείας, μηδοπο-
σοῦν ἀνεχόμενοι καιρὸν διδόναι, τελειωθῆναι τὴν ἱερὰν ἡμῶν μυσταγωγίαν,
ἀλλ' ἄφνης ἀσχέτῳ θυμῷ ἐφορμήσαντες ὡς λῃσταὶ, τὸν ἱερέα καὶ τὸν διάκονον
τῶν ἱερῶν ἀμφίων εἷλκον. ἄλλος δέ τις αὐτῶν τῶν ἱερῶν ἀμφίων τῆς ἱερᾶς
τραπέζης δραξάμενος, ἐπάνω ἐχόντων τὸ ἱερὸν ἡμῶν ἀντιμίσιον ἐπικεί-
5 μενον ὡς ἔθος, καὶ τὸ θεῖον καὶ σεπτὸν εὐαγγέλιον, ἀπορρίπτειν ἤθελε. Ἕτε-
ρος δ' αὖ ἀνέπτυεν εἰς τὸ πρόσωπον τῶν παρισταμένων καὶ διανοίγων τὸ στόμα,
καὶ προτείνων τὴν γλῶσσαν σὺν ἀσχήμονι τῶν χειλέων διαστροφῇ ἐνέπαιζε
τούτοις ἀναιδῶς, καὶ θρασέως, ὥσπερ οἱ θρασυκάρδιοι στρατιῶται τῷ Χριστῷ.

Ὅτε δὲ ζήλῳ θείῳ πλησθεὶς ὁ τῶν ἱερῶν σκευῶν φύλαξ μικρὸν αὐτὸν ὠθή-
10 σας ἀποστῆναι, καὶ μὴ καταλακτίζειν, τῆς ἁγίας τραπέζης, περιετράπη
διολισθήσας ἐκπεσεῖν, ὀλίγου δὲ καὶ ἐπεπτώκει ὅλως. Τοῦτον οὖν ἰδόντες διολι-
σθήσαντα, οἱ καλοὶ ὁπλομάχοι, τάχει ποδὸς ὡς εἶχον πρὸς τὴν ὁπλοθήκην
αὐτῶν ἔδραμον, καὶ ἔνοπλοι ἐξελθόντες, ἐπιπίπτουσιν ὡς μαινόμενοι, ἀό-
πλοις τοῖς ἡμετέροις. οἱ πολεμισταὶ, τοῖς ἀπολέμοις. οἱ τὰ στρατιωτικὰ
15 διὰ βίου ἀσκοῦντες ἀνδράσιν ἐκ παιδὸς βίον ἰδιωτικὸν μετερχομένοις πρᾶόν
τε καὶ ἡσύχιον. τότε δὴ πρᾶγμα φρίκης γέμον ἐδείκνυτο. ἵλεως μοι Χριστὲ
βασιλεῦ, περὶ τῆς ἱερᾶς τραπέζης, ὅπου ἡ ἀναίμακτος ἐτελεῖτο θυσία, τὸ
ἔδαφος λύθροις ἀνθρωπίνων αἱμάτων πεφοινιγμένον ἑωρᾶτο. ὅπως δὲ καὶ τοῦτο
παρ' ἡμῶν τῇ σιγῇ παρεδόθη, οὐκ ἔστι παρόντος καιροῦ λέγειν.

20 Ταῦτα δὴ καὶ τοιαῦτα, ὦ βέλτιστοι Πατέρες (πρὸς ὑμᾶς γὰρ ἤδη ἐπαναστρέ-
ψω τὸν λόγον) τολμῶντες καὶ πράττοντες, οὐκ ὀρέννυσθε. οὐδ' ἀποκαμῶν-
τες φαίνεσθε, ἐξωτερικῶς καὶ χρημάτων βίᾳ πολεμεῖν ἡμῖν περὶ ἐξωτερι-
κῶν, ὡς ἂν εἴποιμεν πραγμάτων. εἰ δὲ καὶ μὴ πάντες ἐξωτερικὰ ἀλλὰ καὶ
πρὸς αὐτὰ τὰ παρ' ἡμῖν ὀρθῶς θρησκευόμενα καὶ εὐσεβῶς δογματιζόμενα,
25 τοσοῦτον διηγέρθητε, ὅπλοις τοῖς λόγοις καὶ τοῖς καθ' ἡμῶν συγγράμμασι χρη-
σάμενοι, καὶ βίβλον ὅλην συντεταχότες προσηνομίσατε, ἵνα τῷ δοκεῖν ἀμ-
φοτέρωθεν τρόπαιον καθ' ἡμῶν στῆσαι.

Ἀλλ' ἡμεῖς μετριοφρονέστερον τοῖς πράγμασι χρώμενοι, τοὺς μὲν ἔξωθεν
ὑμῶν πολέμους, καὶ τὰς ἐνέδρας ὡς οἷόν τε πρὸς τὸ εἰρηνικώτερον διαπραγ-
30 ματευόμεθα, πρὸς δὲ τὰ ἐγγράφως προσενεχθέντα, περὶ πίστεως ὄντα, καὶ
καταστάσεως ἐκκλησιαστικῆς, καὶ τυραννίδα ἄντικρυ καθ' ὑμῶν ἐπιψηφιζό-
μενα, καὶ τὸ πᾶν εἰπεῖν τῆς κοινῆς τῶν πιστῶν σωτηρίας ἡμᾶς ἀποκλείοντα, πῶς
ἔνι δυνατὸν σιωπῇ παραδραμεῖν.

Εὐθὺς μὲν οὖν ἐν τρισὶ τῆς πρώτης θέσεσιν ὑμῶν, μόνην καθολικὴν ἐκ-
35 κλησίαν, ὑπέθεσθε ὁριζόμενοι τὴν ῥωμαϊκήν. εἴπομεν δὲ καὶ ἡμεῖς δεί-
ξαντες, ὅτι ὁ ὅρος ἐκεῖνος ἐλλιπὴς ἐστὶ, καὶ διὰ τοῦτο ἀδόκιμος, καὶ ὅτι ἔθος
ὑμῖν ἢ ἐλλιπεῖς ἢ πλεονάσαντας προτείνειν τοὺς ὅρους. καὶ ὅτι οἱ ὀρθοδοξοῦντες,
καὶ ὀρθὰ φρονοῦντες περὶ τῆς ἐκκλησίας μίαν μόνην, ἁγίαν καθολικὴν καὶ
ἀποστολικὴν ἐκκλησίαν εἶναι βούλονται, τὴν οἰκουμενικὴν σύνοδον, συγκροτου-
40 μένην ὑπὸ τῶν πέντε Πατριαρχικῶν θρόνων, παρόντων Πατριαρχῶν, ἢ τοποτη-

ρι τῶν γνησίων, καὶ οὐ παρεγγεγραμμένων καὶ νόθων. καὶ ταῦτα μὲν πρὸς τὰς τρεῖς θέσεις.

Ἐλθόντες δὲ πρὸς τὴν τετάρτην θέσιν εὕρομεν ὑμᾶς σχοινίον ἐκ ψάμμου πλέκοντας, ἀναμετροῦντες γὰρ τὰς χρονολογίας συμφώνους ἐπεχειρήσατε δεῖξαι τὰς ἐκκλησίας, ἀνατολικὴν καὶ δυτικὴν, ἀπὸ Χριστοῦ μέχρις ὀκτακοσίων ἐτῶν. καὶ ὅτι ἀπ' ἐντεῦθεν ἡ ἀνατολικὴ ἐκκλησία ἀπεσχίσθη τῆς δυτικῆς. καὶ ὅτι πολλάκις ἡνώθησαν οἱ ἀνατολικοὶ μετ' αὐτῆς, καὶ πάλιν ἐσχίσθησαν.

Σκοπὸς δὲ ἐν τούτοις ὑμῖν τὴν ῥωμαϊκὴν δεικνύειν ἐκκλησίαν ἀσφαλῆ διαμεῖναι ἀπ' ἀρχῆς μέχρι τέλους, καὶ περὶ τὴν πίστιν ἀμετακίνητον· τὴν δὲ ἀνατολικὴν παραπεσοῦσαν καὶ σχισθεῖσαν ἀπ' αὐτῆς. διὸ καὶ σχισματικοὺς ἡμᾶς λέγετε· καὶ ἀκολούθως αἱρετικούς. ἃ δὴ πάντα διεξελθόντες πλατὺν κατεχέαμεν ἡμῶν γέλωτα τοιαῦτα λεγόντων, ὅμοιον γάρ ἐστι τὸ λεγόμενον ὑμῖν, ἀνδρὶ παροινοῦντι, καὶ τῷ ἐγκρατεῖ καὶ νήφοντι μέθην ἐγκαλοῦντι. ἐδείξαμεν γὰρ πρῶτον ἐν ἐκείνῃ τῇ χρονολογίᾳ ὑμῶν, ὥσπερ ἀντιχρονοτριβοῦντες καὶ ἡμεῖς, ὅτι εἰ καὶ περὶ τὴν πίστιν συμφώνως εἶχον αἱ ἐκκλησίαι, ἀλλ' ἄνωθεν καὶ ἀπ' αὐτῶν τῶν διαδόχων τῶν ἀποστόλων ἔριδές τινες ἐκκλησιαστικαὶ ἐπεπόλαζον, καὶ τούτων αἱ πλεῖσται ἀπὸ τῶν δυτικῶν ὑμῶν ἀναφυόμεναι διὰ τὸ φιλότιμον ἦσαν, ἀλλὰ καὶ πρὸς τὰς μαρτυρίας αἷς ἐχρήσασθε, παρά τε τῶν πατέρων καί τινων ἐπιστολῶν Παπῶν, ἢ πρὸς αὐτοὺς ἑτέρων νενοθευμένας καὶ παρακεχαραγμένας τὰς πλείστας εὕρομεν. εἰ δέ τι καὶ ὑγιὲς εἴρηται ἐγκωμίου χάριν, προσωπικὸν ὄν, νόμον οὐ συνίστησι.

Πολλάκις γὰρ οἱ ἀνατολικοὶ ὁρῶντες τοὺς τῆς πρεσβυτέρας ῥώμης προέδρους (καίπερ ἁγίους ὄντας ἀνθρώπινον δέ τι παθόντας) ὑψηλότερόν τι καὶ πέρα τοῦ δέοντος, περὶ τοῦ σφῶν θρόνου διανοηθέντας καὶ γεγραφότας ἐν ἰδίαις ἐπιστολαῖς, θεραπείας χάριν τὸ δοκεῖν ἀπεδέχοντο καὶ τοῖς ἴσοις, ἔσθ' ὅτε, ἐπῄνουν αὐτοὺς, τῶν ἐπαίνων ἐκείνων μὴ παραβλαπτόντων τὴν ἀδελφικὴν ὁμοψυχίαν καὶ ὁμόνοιαν. ἀλλ' ὄντως κατὰ τὸν εἰπόντα ἅγιον, θεραπευόμενα τὰ ὑπερήφανα ἤθη, ἑαυτῶν ὑπεροπτικώτερα γίνεσθαι πέφυκεν, καὶ ἵνα τὸ πᾶν συνελὼν εἴπω, ἐν ταύτῃ τῇ χρονολογίᾳ ἡμῶν ἄλλα προὐβάλλεσθε, καὶ ἕτερα δεικνύειν ἠγωνίζεσθε, προθέμενοι γὰρ δεῖξαι τὴν συμφωνίαν τῶν ἐκκλησιῶν ὑπολανθανόντως ἐπιχειρεῖτε τὴν αὐτοκρατορίαν δεικνύειν τοῦ Πάπα ἀρχαίαν εἶναι. καὶ πρὸς μὲν τὸ πρῶτον, ὡς εἴπομεν, τὸν ἐνόντα τρόπον ἀπηντήκαμεν, πρὸς δὲ τὸ: β', ὑμῶν, τὴν τοῦ προέδρου ὑμῶν διαθρυλλουμένην αὐτοκρατορίαν καθαρῶς ἐδείξαμεν, ὅτι οὐδέποτε ὁ Πάπας ἀπήντα ταῖς συνόδοις. οὐ δὲ αἱ ἐκκλησίαι πώποτε (ὡς ὑμεῖς βούλεσθε) ἐξήρτηντο τῆς αὐτοῦ ἐξουσίας. οὔτ' ἔχει τὸ ἐπιτάττειν ταῖς συνόδοις, μᾶλλον δὲ αἱ σύνοδοι ἐπιτάττουσι τῷ Πάπᾳ ὡς ἡ ἐν καρθαγένῃ τῷ ἰννοκεντίῳ, ἀλλ' οὔτ' ἀναντίρρητα εἶναι πάντῃ τὰ παρ' αὐτοῦ ἐκπεφασμένα. πολλοὶ γὰρ ἀντεῖπον τῷ Πάπᾳ, καὶ ὁ κυπριανός. τὰ δὲ παρά τινων ἐγκωμίου τρόπῳ ῥηθέντα τισὶ, περὶ τοῦ Μακαρίου Πέτρου, ὡς κανόνας οὐ παραδεκτέα. ἐδείξαμεν γὰρ ὅτι καὶ ἄλλοις ἀποστόλοις ὁμοταγέσι τῷ πέτρῳ ἁρμόζουσι, καὶ ὅτι καὶ ἄλλοις ἄλλα ἐγκώμια τῶν τοῦ Πέτρου ὑψηλότερα ἐπλέχθησαν, παρὰ τῶν αὐτέ-

καθε διδασκάλων τῆς ἐκκλησίας, καὶ ὅτι ὅσα ἴδιά τινι εἴρηται, κοινῇ πᾶσιν ἐφαρμόζει. εἰ δὲ ὑμεῖς ὅσα τῷ πέτρῳ εἴρηται καὶ μόνῳ τῷ πέτρῳ ταῦτα προσεῖναι δοκεῖτε, ὥρα ὑμῖν καὶ μόνον τὸν πέτρον καθεσθῆναι λέγειν κριτὴν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. δίχα τῶν λοιπῶν ἀποστόλων. ὁ γὰρ ἐκ δαμασκοῦ Ἰωάννης ἐν τοῖς συντεθεῖσιν αὐτῷ πρὸς αὐτὸν μελουργήμασι τοῖς παρ' ἡμῖν ᾀδομένοις ἐν τῇ σεβασμίᾳ τούτου ἑορτῇ ὧδέ πως φησίν.

Ὡς ὑπέρτερος τῶν ἀγγέλων ὁ Πέτρος ἐν σώματι, ἐν γὰρ τῇ ἐπιφανεῖ ἐλεύσει τούτου Χριστὸς ὁ Θεὸς κριτήν τε καὶ σύνεδρον ἔσεσθαι ἔφησεν. οὐδαμοῦ γὰρ ἐν ταῦθα τοὺς λοιποὺς ἀποστόλους ὁ ἱερὸς οὗτος ὑμνῳδὸς παραλειφθεὶς φαίνεται. τί οὖν ἐρεῖτε, ὅτι μόνῳ τῷ πέτρῳ διὰ τοῦτο ἡ ἐκεῖσε καθέδρα ἀφώρισται; καὶ ποῦ θήσετε τὴν τοῦ σωτῆρος φωνὴν φάσκουσαν πρὸς ἅπαντα τὸν χορὸν τῶν ἀποστόλων: ὑμεῖς ἐστὲ οἱ διαμεμενηκότες ἐν τοῖς πειρασμοῖς μου, καὶ διὰ τοῦτο διατίθεμαι ὑμῖν βασιλείαν, καὶ καθίσεσθε ἐπὶ δώδεκα θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Οὕτως οὖν ὥσπερ φῶτα τοι ἐκλαμβάνειν δεῖ τὰ προσωπικὰ ἐγκώμια, εἴτε ἀποστολικὰ εἶεν, εἴτε καὶ παπικά, καὶ μὴ ὡς κανονικά.

Ὅπως δὲ τρεῖς ἑνωθείσας τὰς ἐκκλησίας, καὶ ἀφ' ὑμῶν αὖθις ὡς αὐτοπλάκτων δῆθεν διασχισθείσας, ἐδείξαμεν ὁποῖαι ἦσαν αἱ ἑνώσεις ἐκεῖναι. καὶ ὅτι ἡ μὲν ἐν λατερανῷ τῆς ῥώμης ἐπὶ Ἰννοκεντίου Πάπα, ἐκ πάντων λατίνων συναθροισθεῖσα, ἐκράτουν γὰρ τότε λατῖνοι Κωνσταντινουπόλεως, Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ Ἱεροσολύμων, καὶ ὡς κρατοῦντες εἶχον καὶ λατίνους Πατριάρχας, οἱ καὶ μόνα ὀνόματα ἔχοντες Κωνσταντινουπόλεως, Ἀλεξανδρείας, Ἀντιοχείας, Ἱεροσολύμων Πατριαρχῶν. λατῖνοι δὲ καὶ ἐκ λατίνων ὄντες, τὴν σύνοδον ἐκείνην πλήρη ἐκ τούτου νομίζετε καὶ τελείαν, δρᾶμα καὶ σκηνὴν μᾶλλον οὖσαν, ἐκ τοιούτων νόθων Πατριαρχῶν συγκροτηθεῖσαν, ἢ οὐκ ἔχετε καὶ τὴν σήμερον τοιούτους στραβειτίδους (ἵν' ἰταλιστὶ εἴπω) Πατριάρχας, καταπεφρονημένους οὕτως, ὥστε ὑποκαθῆσθαι τῶν καρδηναλίων, ἐξ ὧν οἱ πλεῖστοι μήτε χρίσμα ἔχουσιν ἱερωσύνης.

Τὴν δ' ἐπὶ Μιχαὴλ τοῦ παλαιολόγου λεγομένην παρ' ὑμῶν ἕνωσιν, οὐδὲν ἄλλο ποιήσασαν ἡμεῖς ἐδείξαμεν, ὅτι μὴ διάστασιν τῶν ἀνατολικῶν αὐτῶν καὶ σχίσμα καθ' ἑαυτῶν, καὶ ὅτι πάντα τῆς βασιλικῆς δυναστείας καὶ βίας ἦσαν ἀποκυήματα, καὶ ὅτι κακῶς τοῦ βίου μεταστάντος τοῦ Μιχαὴλ ταχέως ἀπεκατέστησαν εἰς τὴν προτέραν εἰρήνην τὰ πράγματα, καὶ εἰς ὁμόνοιαν τὰ διεστῶτα ἐπανῆλθον: φιλεῖ γὰρ τὸ βίᾳ κρατούμενον, ἀφεθέν, ταχέως εἰς τὴν προτέραν στάσιν ἀποκαθίστασθαι.

Παραπλήσιον εἴπομεν παθεῖν τοὺς ἡμετέρους τοὺς ἐν τῇ Φλωρεντίᾳ γενομένους. βασιλικὴ γὰρ ἀνάγκη πραγμάτων, καθὰ καὶ ἐπὶ τοῦ Μιχαήλ, πρὸς τὴν μετὰ λατίνων ἕνωσιν ἐβίαζεν ἀμφοτέρους. ὁ μὲν γὰρ τὴν τοῦ καρόλου δεδοικὼς ἦν ἔφοδον, ὁ δὲ τὴν τοῦ ἀμηρᾶ. διαφέρει δὲ αὕτη ἐκείνης τῇ συστάσει, ὅτι ἐκ καθολικῆς συστάσεως ἤρξατο. εἶχε γὰρ βασιλέα, Πατριάρχην, τοποτηρητὰς Πατριαρχῶν, καὶ τοὺς ἐγκρίτους τῶν ἀνατολικῶν. ἐκείνη δὲ διὰ πρέσβεων καὶ

ἐπιστολῶν

ἐπισκόπων (οὐχ ὡς ὑμεῖς λέγετε ὅτι καὶ διὰ Πατριαρχῶν). ἅπερ οὖν ἤθελον οἱ
λατῖνοι ἠργάζοντο. καὶ πάλιν ἑκατέρα θατέρας διαφέρει τῇ διαστάσει καὶ
τοῖς σχίσμασι. καὶ γὰρ ἐπὶ Μιχαὴλ οἱ ἡμέτεροι καθ᾽ ἑαυτοὺς ἐστασίασαν, τῶν
κρειττόνων καὶ πλειόνων μὴ βουλομένων ὅλως προδοῦναι βασιλικῆς ἀνάγκης
ἕνεκα, τὸ ἀληθὲς καὶ ὀρθόδοξον δόγμα τῆς πίστεως. 5

Ἐν δὲ τῇ φλωρεντινῇ, καὶ πρὸ τῆς ἐνάρξεως αὐτῆς, οἱ λατῖνοι καθ᾽ ἑαυτοὺς
ἐμάχοντο, ἡ ἐν γερμανίᾳ σύνοδος μετὰ τοῦ Πάπα καὶ αὐτὸς μετ᾽ αὐτῆς,
καὶ κατ᾽ αὐτῆς ἐκινεῖτο, πάντα κάλων κινῶν ὅπως αὐτὴν διαταράξῃ καὶ
διαλύσῃ, καὶ ἄρῃ κατὰ πάντων οὗτος τὴν ἐξουσίαν. ὅπερ οὐκ ἄν ποτε τυχεῖν
ἠδυνήθη ἄν, εἰ μὴ ὁ καλὸς ἡμῶν αὐτοκράτωρ ῥωμαίων Ἰωάννης ὁ παλαιο- 10
λόγος φημί, δελεασθεὶς μετὰ πάσης τῆς περὶ αὐτὸν συνόδου, δουλοπρεπῶς ἀ-
γαγὼν πρὸς τοὺς πόδας αὐτοῦ, ὡς μὴ ὤφελεν, ἀφίκετο. ὅθεν μοι γὰρ ὅσα ἐκεῖ-
θεν τὰ κακὰ ἠκολούθησαν, ἡ μὲν γερμανικὴ σύνοδος, ἡ διορθοῦσα καὶ αὐτοὺς τοὺς
Πάπας κατήργηται, τῇ ἐπιδημίᾳ πρὸς τὸν Πάπαν τοῦ ἄνακτος. ὅπου γὰρ αὐτο-
κράτωρ, Πάπας, Πατριάρχαι, καὶ σύνοδος ἀντιλέγειν, ἄλλοις οὐκ ἐξῆν. 15
εἰ καὶ ἡ γερμανικὴ τότε σύνοδος ἔτι συνιστῶσα, τὸ καθ᾽ ἑαυτὴν οὐκ ὤκνησεν.
ἤργησε γὰρ τὸν Πάπαν, ὡς ἔφημεν ἀληθινόν, καὶ ἀντ᾽ αὐτοῦ ἄλλον ἀπεκατέστησε.
καὶ τὴν φλωρεντινὴν τοῦ ἀληθοῦς σύνοδον σχισματικὴν ἀπεφήνατο καὶ ταῦ-
τα πάντα διεξοδικώτερον φέρεται ἐν ταῖς τῶν λατίνων βίβλοις ἐν αἷς περὶ τῆς
ἐν Κωνσταντίᾳ συνόδου διεξίασιν, εἰ καὶ ὡς ἀπόκρυφον τὴν βίβλον φυλά- 20
ττετε. ἓν μὲν δὴ τοῦτο καὶ πρῶτον κακὸν εἰργάσατο ἡ πρὸς Πάπαν ἐπιδημία τοῦ
ἄνακτος. ἕτερον δ᾽ ὅτι τὸν Πάπαν ὑπερύψωσε τοῖς ποσὶν αὐτοῦ προκυλιν-
δούμενος ἐπὶ τρισὶν ὅλοις ἔτεσι, καὶ δουλοπρεπῶς τὴν κεφαλὴν τοῖς ἐκεί-
νου ποσὶ προσάγων καὶ κατασπαζόμενος. καὶ πρὸς πᾶσαν ἐκείνου κατανεύων
βούλησιν. ἐξ ὧν ἁπάντων ἐγένετο, τὸν μὲν πολὺ τοῦ δέοντος ὑπεραρθῆναι. 25
τὰ δὲ ἡμέτερα λίαν ἐξ ὕψους αὐτῷ ὁρώμενα μικρὰ φαίνεσθαι ὡς ἂν εἴποις ἐ-
λέφαντα, ἀφ᾽ ὑψηλοῦ ὄρους κάτωθεν εἰς τὴν ὑπόρροιαν ἔβλεπε, καὶ προσέ-
τι πᾶσαν ἐλπίδα περιαιρεθῆναι ἑνώσεως, τῶν ἀνατολικῶν ἔκτοτε τὰς τῶν λα-
τίνων διαθέσεις καταμαθόντων. ἐῶ λέγειν, καὶ ὅτι κατά τινα θεομηνίαν ἐπὶ
τοῖς τότε παρὰ τοῦ Βασιλέως καὶ τῆς ἐκκλησίας διαπραχθεῖσι, τέλεον ἀφῄρη- 30
το ἡ βασιλεία, οὐ γὰρ πάνυ τοι ἀρεστὰ οἶμαι τῇ θείᾳ προνοίᾳ ἔδοξεν, τὰ κατὰ τοὺς
ἄνακτας Μιχαὴλ καὶ Ἰωάννην πεπραγμένα, τῆς αὐτῶν συστάσεως ἕνεκα, τὴν
ἐκκλησίαν οὕτω συγχέαι καὶ διαταράξαι. οὕτως ἡμεῖς γνώμης ἔχομεν, περὶ
ὧν ὑμεῖς ἑνώσεως λέγετε. καὶ ταῦτα μὲν πρὸς τὴν ἐν τῇ ιδʹ ὑμῶν θέσει
χρονολογίαν. 35

Ἐν δὲ τῇ πέμπτῃ ὑμῶν θέσει γενόμενοι, ὅπου τὸ σχίσμα ἡμᾶς εἰργασμέ-
νους ὑπεμφαίνετε, ὡς ἀπὸ τοῦ καθόλου τῆς ῥωμαϊκῆς ἐκκλησίας σώμα-
τος ἀποσχισθέντας, ὡς οὐδενὸς λόγου τὴν θέσιν ὑμῶν ταύτην ἐχομένην
διελύσαμεν, καὶ διὰ πλειόνων ἀπεδείξαμεν, τὴν ῥωμαϊκὴν ἐκκλησίαν μερι-
κὴν οὖσαν, τὴν δ᾽ ἀνατολικὴν καθόλου. εὐλόγως ἐκείνην μᾶλλον σχισθεῖσαν 40
ἀπὸ τῆς ἀνατολικῆς καὶ οὐχ αὕτη ἀπ᾽ ἐκείνης. ὡς οὐ δὲ τὸ ὅλον ἀπὸ τοῦ μέρους, ἀλλὰ
τὸ ἀνά-

τὸ ἀνάπαλιν, τὸ ὅλον ἀπὸ τοῦ μέρους χωρισθὲν σχιζόμενον λέγεται.

ε' Πρὸς τὸ πρῶτον τμῆμα ταύτης τῆς : ε : θέσεως ἀπὸ τῆς κοινωνίας τῆς ἀ-
νατολικῆς ἐκκλησίας πρὸς τὴν δυτικὴν διαφέρετε, ὅτι ἡ ῥωμαϊκὴ ἐκκλη-
σία ἦν ἀληθὴς ἐκκλησία, ὅτι ἔμεινεν ἐν τῇ αὐτῇ πίστει καὶ μετὰ τὸν χωρισμόν.
5 ὑμεῖς πρὸς τοῦτο ἀρκούντως, καὶ ὡς ἐχρῆν ἐδείξαμεν, ὅτι οὐκ ἐνέμεινεν ἐν
τῇ αὐτῇ πίστει. καὶ πρὸς τοὺς συλλογισμοὺς ἐκείνους καὶ τὰς μαρτυρίας τὸν ἐνόντα
τρόπον μετὰ τῆς ἀληθείας ἀπηντήσαμεν.

β' Εἰς δὲ τὸ : β' : τμῆμα κατασφαλιζόμενοι τὴν τοῦ Πάπα ἐξουσίαν φατέ, ἐ-
ὰν καὶ καινοτομήσῃ ἡ δυτικὴ ἐκκλησία, οὐκ ἔχει ἀνακρίνουσαν οὐδὲ μίαν
10 σύνοδον. πᾶσα γὰρ σύνοδος, μὴ κατακελεύσει τοῦ Πάπα συγκροτηθεῖσα ἀνίσχυ-
ρός ἐστι καὶ παρὰ κανόνας, καὶ ὅτι οὐδὲν ὡς αἱρετικὸν κρίνεται περὶ συνοδικῆς
διακρίσεως. καὶ ἀλλ' ἄττα. πατέρες τίμιοι τούτοις ὅμοια περιβαλλόμενοι ἀγω-
νίζεσθε δεικνύειν, ὅτι τὸν ἀντιλέγοντα οὐκ ἔχετε πρὸς πᾶν, ὅτι οὖν εἴπητε.
ἡμεῖς ὅμως τῇ ἀληθείᾳ συμμάχῳ χρησάμενοι, ἔκ τε κανόνων ἱερῶν, καὶ
15 ῥήσεων διδασκάλων ἀνατολικῶν τε καὶ δυτικῶν ὁποίαν τὴν ἰσχὺν ἔχουσι ταῦ-
τα, ἀπεδείξαμεν. καὶ ὅτι ἀλλήλοις ἀντιφάσκετε, καὶ ἀσύμφωνα ἑαυτοῖς λέ-
γετε, καὶ τὰ ζητούμενα ὡς ὁμολογούμενα λαμβάνετε καὶ ὑποτίθεσθε.

Οὐ δὲ ἀγωνίζεσθε δεικνύειν ἐκ τῆς ἀναμαρτησίας τῆς ῥωμαϊκῆς πίστεως, ἢ
προσκεῖνται λατῖνοι, ὅτι δηλαδὴ τὴν πίστιν ἔχει ἡ ῥωμαϊκὴ ἐκκλησία ἐξ
20 ἐπαγγελίας, διὸ καὶ οὐ δύναται ἁμαρτάνειν, καὶ ῥήσεις γραφικὰς παρεξηγη-
μένας εἰσφέρετε. ἀπὸ μαρτυριῶν τινῶν, ἐν σχήματι ἐγκωμίου εἰρημέ-
νων, πρὸς ἃ δὴ πάντα ἡμεῖς εἴπομεν, ὅτι οὐχ ἡ ῥώμη μόνη οὐδ' ἄλλη τις κατὰ
τὴν ῥώμην μερικὴ ἐκκλησία τὴν ἐξ ἐπαγγελίας πίστιν πεπλούτηκε πώποτε,
ἀλλὰ ἡ καθολικὴ ἅπασα ἐκκλησία, ἥτις οὐκ ἔστι μόνη ἡ ῥωμαίων καὶ λατίνων,
25 ἀλλ' ὁμοῦ ἅπασιν, καὶ πρὸς ταῦτα πολλαῖς ἐχρησάμεθα μαρτυρίαις ἁγίων
Πατέρων ἀνατολικῶν καὶ δυτικῶν. τὰς δὲ μαρτυρίας ἃς ὑμεῖς προσηγάγετε
ἀπὸ Πατέρων ἁγίων καὶ διδασκάλων ἐδείξαμεν τὰς μὲν μὴ συμβαλλομένας
πρὸς τὸ προκείμενον, τὰς δὲ καὶ παρεξηγημένας παρ' ὑμῶν, καὶ ἄλλας ἐν σχή-
ματι ἐγκωμίου εἰρημένας δόγμα μὴ συνιστώσας, τὰς δὲ τῶν Παπῶν μαρ-
30 τυρίας μεγαλαυχούντων καὶ ὑπὲρ ἑαυτῶν μαρτυρούντων δικαίως, ἀπεβάλ-
λομεν. ἐσημειωσάμεθα ἐν τούτῳ καὶ τὰς ὅσας νενοθευμένας μαρτυρίας προ-
σηγάγετε, οὐκ οἴδαμεν δὲ ἢ ὑμεῖς αὐτοὶ ταύτας ἐνοθεύσατε ἢ παρὰ τῶν ἡμε-
τέρων διδασκάλων τῶν σχολαστικῶν οὕτω ταύτας παρελάβετε, ᾧ καὶ μᾶλλον
συντίθεμαι. περὶ γὰρ τῆς προσενεχθείσης παρ' ὑμῶν μαρτυρίας ἀπὸ τῶν τοῦ
35 Κυρίλλου θησαυρῶν ἠρωτήσαμεν, εἴπου τῶν ἄλλων τοῦ Κυρίλλου πραγματειῶν
ταύτην εὕρατε. ἐν τοῖς θησαυροῖς γὰρ ὡς ἔφατε, οὐδὲν τοιοῦτον φέρεται,
ἀπεκρίθητε ὅτι παρὰ τῷ ἀκινάτῃ θωμᾷ οὕτω κεῖται ἐν τῇ κατὰ ἑλλήνων πρα-
γματείᾳ.

δ' Ἐν τῷ : δ' : τμήματι τὴν μοναρχίαν ἐν τῇ ἐκκλησίᾳ κρεῖττον ἀριστοκρα-
40 τίας, διὰ μακρῶν λόγων πειρώμενος δεικνύειν εἰς ἀπεραντολογίας ἐμ-
πίμπλετε διὰ πλείστων ληρημάτων. ταύτην δὴ δοκοῦντες ἀποδεῖξαι, τέλος

τὴν

τὴν ἐκκλησίαν ὁρατὴν οὖσαν, ἀνάγκη καὶ κεφαλὴν ἔχειν ὁρατήν, τὸν Πάπαν
λέγετε. ἡμεῖς δὲ ἀριδήλως ἐδείξαμεν καὶ μοναρχίαν καὶ ἀριστοκρατίαν ἐν
τῇ ἐκκλησίᾳ, καὶ πῶς καὶ ὅπως ἑκάτερα. περὶ δὲ τῆς ὁρατῆς ἐκκλησίας, καὶ
τῆς ἀοράτου, ἣν ὑμεῖς ἀναπλάττετε κεφαλῆς, εἰς δεκατέσσαρα σημαινόμε-
να τὸ τῆς ἐκκλησίας διελόντες ὄνομα, τὴν ἀλήθειαν παρεστήσαμεν, διαλύσαντες
τὰ ἀηδῆ, καὶ ἄκαιρα, καὶ ἐπαχθῆ προβλήματα.

ε′ Τὸ δὲ :ε′. τμῆμα πειρᾶται δεικνύειν τὸν Πέτρον, Κορυφαῖον, ἔξαρχον, καὶ
κεφαλὴν τῆς καθόλου ἐκκλησίας, καὶ τῶν ἀποστόλων αὐτῶν, ἵνα καὶ τῷ
τούτου διαδόχῳ ταῦτα προσαρμόσῃ, καὶ ἐν τούτῳ πολλὰς εἰσήξατε μαρτυ-
ρίας, καὶ τὰς πλείστας νόθους, ἢ μηδὲν συνᾳδούσας. πρὸς ἃς ἡμεῖς τὰς τὸ
ἐναντίον μᾶλλον δεικνυούσας ἀντεισήξαμεν, τοὺς δὲ συλλογισμοὺς ὑμῶν, σοφί-
σματα καὶ παρασυλλογισμοὺς ἀπεδείξαμεν.

ϛ′ Τὸ :ϛ′. τμῆμα δεῖξαι ἐπιχειρεῖ τὴν προσηγορίαν ταύτην τοῦ καθολικοῦ μόνῃ
τῇ λατινικῇ ἐκκλησίᾳ προσεῖναι ἐκ τριῶν τινῶν πραγμάτων, ἐκ τοῦ τόπου,
ὅτι πανταχοῦ. ἐκ τοῦ χρόνου, ὅτι ἀρχαῖον. καὶ ἐκ τοῦ πλήθους τῶν ὑφ' αὐ-
τήν. ἀλλὰ καὶ ταῦτα ὡς παιδαριώδη μεγαλαυχήματα, καὶ ψευδῆ συντό-
μως ἀπηλέγξαμεν.

ζ′ Καὶ τὸ :ζ′ δὲ, τὸ φάσκον ὅτι πολλάκις ἡ ἀνατολικὴ ἐκκλησία ἡνώθη τῇ λατι-
νικῇ, καὶ πάλιν ἀπεσχίσθη, ὡς ματαίας ἔχουσαν ὑπολήψεως ἀπεδείξαμεν.
καὶ μηδέποτε ὁλοτελῶς ταύτην ἑνωθῆναι τῇ λατινικῇ παρεστήσαμεν, ἀφ' οὗ ἡ προ-
σθήκη ἀναφανδὸν πεπαρρησίασται ὅτι μή, ποτὲ μὲν σκηνικῶς, ἄλλοτε δὲ ἐν μέ-
ρει τινὶ τοὐλάχιστον καὶ τοῦτο μετὰ βίας πολλῆς καὶ ἀνάγκης γινόμενον, καὶ τα-
χέως διαλυόμενον ὡς τὰ ἀτελῆ καὶ ἀσθενῆ ἀμβλώματα, τῇ αὐτῇ ἡμέρᾳ ζωῆς
ὁμοῦ καὶ θανάτου γευσάμενα, πρὸ τοῦ τῷ ἡλιακῷ καταυγασθῆναι φωτί.

η′ Γενόμενοι ἐν τῷ :η′. τμήματι δοκεῖτε δυσχερῶς ἄγαν ἀγανακτεῖν διὰ τὴν
ἀθέτησιν τοῦ Φλωρεντινοῦ ἐκείνου (ὡς μὴ ὤφελε τὴν ἀρχὴν γενέσθαι) συνε-
δρίου, καὶ πολλὰ μὲν ὑμεῖς παράγετε εἰς σύστασιν ἐκείνου, ὅτι δηλαδή, ἦν
νόμιμον, δίκαιον ἐλεύθερον καὶ ἔστ' ἄλλα, ἃ δὴ πάντα ψευδῶν ἀνάπλεα ἡ-
μεῖς ἀπεδείξαμεν, οὐ μόνον ἐκ τῆς παρ' ἡμῖν τοῦ Συροπούλου συγγραφῆς, ἀλλὰ
καὶ ἐκ τῶν ἐν Ῥώμῃ τυπωθέντων πρακτικῶν ἵν' ἐξ ἀμφοτέρων γνόντες ἀκραι-
φνῶς τὰ τότε δραματουργηθέντα ἐρυθριάσητε ἴσως σύνοδον ἐκείνην λέγειν,
καὶ μὴ μᾶλλον Καϊαφαϊκὸν συνέδριον.

θ′ Τὸ δὲ :θ′. ὑμῶν τμῆμα γλῶσσαν ὑβρίστριαν κινεῖ, οὐκ οἶδ' ὅπως εἴπω μᾶλλον,
ἀναιδῶς καὶ ἀμαθῶς, ὑβρίζετε τοὺς ἄνδρας τοὺς ὄντας θαυμαζομένους ἐπὶ σοφίᾳ
καὶ βίου ὀρθότητι, καὶ τῇ ἄλλῃ πάσῃ ἀρετῇ κεκοσμημένους, ἐπ' οὐδενὶ αὐτοὺς
ἄλλο ἐγκαλεῖν ἔχοντες, εἰ μὴ ὅτι τῷ Πάπᾳ, καὶ ταῖς αὐτοῦ καινοτομίαις
ἀντέστησαν, ὅτι τούτου τυχὸν ἕνεκα δυστυχῶς τὸν βίον κατέλυσαν. ἓν μὲν
δὴ τοῦτο. ἕτερον δ' ὅτι οἱ τὰ ὑμέτερα ἀνακρίνοντες καὶ καθ' ὑμῶν τι
ἐγγεγραφότες τυγχάνουσιν, ἀσύμφωνοι πρὸς ἑαυτοὺς φαίνονται. καὶ πρὸς
μὲν τὸ :α′: ἁγίων ἀνδρῶν καταψευδομένους ὑμᾶς ἀπεδείξαμεν. καὶ πρὸς
τὸ :β′. μετρίως ἀπηντήσαμεν. λέγομεν δὲ καὶ νῦν, ἐκβάλλετε :α′. τὴν δο-
κὴν ἀπὸ

κὴν ἀπὸ τῶν ὀφθαλμῶν ὑμῶν, καὶ τότε διορᾶν ἔξητε. τίνος ἐκκλησίας διδάσκαλοι ἀσύμφωνοι εἰσὶν, οἱ τῆς ἀνατολικῆς, ἢ τῆς δυτικῆς. ὑμῶν ὑμεῖς γὰρ ὁρμαθὸν Παπῶν ἔχομεν ἀσυμφωνούντων ἐν πολλοῖς, οὕσπερ καταλέγειν ἐν οἷς διαφέρονται συγγεγραφότας μακρὸν ἂν εἴη, καὶ τῷ ἐπιλόγῳ ἀνοίκειον. τοὺς δ' ὑμετέρους σχολαστικοὺς ὅπη καὶ ἐν ὅσοις διαφέρονται αὐτοὶ ἂν εἴποιτε. καὶ μάλιστα τοὺς στρεφομένους ὑμῶν νόας τῆς ἀκινάπην, καὶ τὸ σκότον.

Τὸ δέκατον καὶ τελευταῖον, οὐδὲν ἄλλο τέλος ἔχει, εἰ μὴ ὅτι ὀνειδίσαι ἡμῖν τὰς δυστυχίας τοῦ γένους, καὶ τὴν ἀσθένειαν, πλούτῳ, καὶ τῇ ἄλλῃ κοσμικῇ δόξῃ, καὶ φαντασίᾳ περιγράφειν, ὅπερ οὐκ ἂν ἡμῖν ἐδεξάμην τοῦ εὐαγγελίου ἄλλους εἶναι τοὺς ἀληθεῖς τῆς εὐσεβείας χαρακτῆρας, ἐν οἷς κατὰ Χριστὸν ζῶσι διαγορεύοντος, καὶ μακαρίζοντος τοὺς ἔχοντας τούτους, ὅμως οὐδὲν πρὸς τὰ ὀνείδη ὑμῶν διεταράχθημεν. ἔθος γὰρ ὑμῖν τοῦτο, τὴν πενίαν ἡμῖν ὀνειδίζειν. τὸ τοῦ Δαβὶδ δὲ μόνον καὶ μετὰ Δαβὶδ πρὸς ὑμᾶς ἀντιφθεγγόμεθα, ἕως πότε ἐπιτίθεσθε πάντες ὑμεῖς ἐφ' ἡμᾶς, ὡς τοίχῳ κεκλισμένῳ καὶ φραγμῷ ὠσμένῳ; καὶ ὡς πρὸς τοὺς πικροὺς τοῦ Ἰὼβ φίλους τοὺς μὴ καλῶς τοῖς τῆς προνοίας λόγοις ἐμβατεύοντας ἀποκρινόμεθα. τίς ἐξ ὑμῶν Ἐλιφὰζ ἐστὶν ὁ Θαιμανίτης καὶ λέγων, εἰ δὲ τὸ ῥῆμα ἀληθινὸν ἐγένετο ἐν τοῖς λόγοις σου, οὐδὲν ἄν σοι τοῦτο κακὸν ἀπήντησεν; ἵν' εἴπωμεν πρὸς αὐτὸν, οὐκ ἐψευσάμεθα ῥήματα ἅγια Θεοῦ ἡμῶν. τίς δὲ καὶ Βαλδὰδ ὁ Σαυχίτης ὁ φάσκων πρὸς τὸν ἀδάμαντα, οὐχ ἑώρακας ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτης, ἵνα ἀκούσῃ, οἶδα ὅτι οὐκ ἠσέβησα. ἐλθέτω καὶ ὁ Σωφὰρ τοῦ Μιναίου ὑποδυόμενος πρόσωπον, καὶ τὰ ἐκείνου πρὸς ἡμᾶς ἐπιπλήττων καὶ ἀπειλῶν τάδε πικρῶς. τότε γνώσῃ ὅτι ἄξιά σοι ἀπέβη ὑπὸ Κυρίου ὧν ἥμαρτες. λέξομεν γὰρ καὶ πρὸς τοῦτον, δίκαιος ἀνὴρ καὶ ἄμεμπτος ἐγενήθη εἰς χλεύασμα. καὶ οὕτω μὲν ἰδίως πρὸς ἕνα ἕκαστον. κοινῇ δὲ πρὸς τοὺς τρεῖς ἢ καὶ πρὸς πάντας, ὥσπερ ἐκεῖνος ὁ πολύαθλος, ἀτὰρ καὶ ὑμεῖς ἐπέβητε ἡμῖν πολλάκις ἀνελεημόνως, καὶ ἔτι ἐπιβαίνετε. καὶ αὖθις, ὑμεῖς δὲ ἐστὲ ἰατροὶ ἄδικοι. καὶ ταῦτα πρὸς τό: ἰσ: ὑμῶν τμῆμα, ἁρμοζόντως ἐρρανισμένα τὰ τοῦ Ἰὼβ λέγομεν. ἀλλ' ἵνα δὲ καὶ ἡμεῖς μὴ πάνυ χαίρειν σχολάζητε ἀρκούντως οἶμαι, καὶ πρὸς ἓν ἕκαστον, τῶν καθ' ἡμῶν μεγαλαυχούντων ὑμῶν εἴρηται ἡμῖν ἐκεῖσε.

Ἔλθωμεν δὴ καὶ πρὸς τὰ πρὸς ἡμᾶς αὐτοὺς ἰδίως παρ' ὑμῶν εἰρημένα. ἀγαθοὶ γὰρ ἡμῖν σύμβουλοι γεγενῆσθαι δοκεῖτε ἐφ' ᾧ καὶ χάριτας ἂν ὁμολογήσαιμεν ὑμῖν, εἴγε συνορῶντες ἦμεν, ἐπ' ἀγαθῷ τινὶ παροτρυνομένους ἡμεῖς. φατὲ γὰρ οὕτω. Καὶ σὺ δὲ ὦ περιφανέστατε πρόεδρε, παρὰ τοὺς λοιποὺς εἰς ἡμᾶς φιλανθρωπότερε, καὶ ἡμῶν, καὶ τῶν σῶν φείδου, καὶ σταυροῦ. τὴν σεβασμίαν πολιὰν, ἐν ἀσκήσει τετελεσμένην, μετ' εἰρήνης ἐστεμμένην, κατάθου πρὸς τοὺς Πατέρας. καὶ μετ' ὀλίγα. ἐθέλεις οὖν μεθ' ὑγιαιστέρας βουλῆς, τὸν Ἰγνατίου κλῆρον, ἢ τὸν Φωτίου κομίσασθαι, κἂν τῇ κατὰ Φλωρεντίαν ἑνώσει μετὰ Ἰωσὴφ ὑπογράφειν, ἢ μετὰ τοῦ Ἐφέσου ἀποστρέφεσθαι ἐκ τῶν σῶν ἀρείους ἔχεις συμφυλέτας ἀκολουθήσων. θάνατος καὶ ζωὴ τὴν σὴν ἀναμένουσι κρίσιν, οὗ ἐὰν θέλῃς πρότεινε χεῖρα καὶ οἰκεῖον καὶ αἰώνιον τὸ σκοπεῖν τὸ

" προσαιρετέον. τοῦτο δεόμεθα ἐπ' ἀγαθῷ ἐκλαμβάνειν, καὶ τὰ γραφόμενα, καὶ
" τὰ λεγόμενα, ζῆλον γὰρ καὶ ἔνωσιν καὶ ἀγάπην ἀπὸ καρδίας ἐμπνέουσιν.

α´ Ἀλλ' ὦ τί ἄν τις εἰπὼν ἡμᾶς ὀρθῶς προσείποι; τί δὲ καὶ :ά, θαυμάσειεν ὑμῶν; τὴν ἀπειρίαν, ἢ τὴν αὐθάδειαν; τίς ὁ διδάξας ὑμᾶς ὦ βέλτιστοι; προσφωνεῖν οὕτω τοὺς Πατριάρχας καὶ ἐπιφανεστάτους ἀποκαλεῖν. ὄντως ἀσύνηθες παρ' ἡμῖν τὸ ἐπιφώνημα, καὶ πᾶσι τοῖς ἀνατολικοῖς. καινὴ δὲ, εὖ οἶδα, παρ' ὑμῖν ἡ ὀνοματοποιΐα. διὸ καὶ τοὺς ἐν Ἰταλίᾳ ἔδει παρ' ὑμῖν παρεγγράπτους, καὶ σχήματι μόνῳ Πατριάρχας οὕτω προσφωνεῖν. δεῖ γὰρ ὄντως δεῖ καὶ τὰ ταπεινότερα τῶν ὀνομάτων, ὡς νόθοις ἐπιτιθέναι, τοῦτο γὰρ ποιεῖτε. πολὺ γὰρ (εἰ καὶ ἀτάκτως λίαν) ὑποβιβάζετε τούτους, τῶν λεγομένων καρδηναλίων, καὶ τοῦτο διὰ τοὺς ὅρκους. ὅτι δὲ πόῤῥω πού τῆς ἐκκλησιαστικῆς τάξεως τὸ πρᾶγμα καθέστηκε, παντί που δῆλον ἐστί. πῶς γὰρ πρὸς Θεοῦ δίκαιον καρδηνάλεις ἀναγνώστου τυχὸν, μόνον χειροτονίαν ἔχοντας, ἔσθ' ὅτε δὲ καὶ οὐδὲ σφραγίδα ὅλως, προκαθέζεσθαι ἐπισκόπων, ἀρχιεπισκόπων, καὶ λεγομένων παρ' ὑμῖν Πατριαρχῶν, τὸ ἀνώτατον καὶ πάντων ὑπερκείμενον τῆς ἀρχιερωσύνης χρίσμα ἐχόντων; ὄντως τοῦτό ἐστι τὸ τῆς παροιμίας: " ἄνω ποταμῶν " τὰ ῥεύματα, καὶ οὐχ ὁ βοῦς τὴν ἅμαξαν, ἀλλ' ἡ ἅμαξα τὸν βοῦν. ἀλλ' ὡς εἴπομεν, οἱ παρ' ὑμῖν Πατριάρχαι, τοιοῦτοι ὄντες, λεγέσθωσαν οὕτω καὶ ἀκουέτωσαν. οἱ δὲ τῆς ἀνατολικῆς ἐκκλησίας, νόμιμοι καὶ νομίμως τοὺς ἑαυτῶν θρόνους κατέχοντες, ἁγιώτατοι, παναγιώτατοι, καὶ Μακαριώτατοι, ἐξ ἀρχῆς ἤκουον, κἂν τοῦτο διέλαθεν ὑμᾶς, ἢ ὑπ' ἀπειρίας ἢ ἐθελοκακίας.

Ὅτι δὲ φιλανθρωποτέρους παρὰ τοὺς λοιποὺς πρὸς ὑμᾶς ὁμολογεῖτε γενέσθαι ἡμᾶς, ἀληθὲς μὲν, πολιτικώτερον δέ. ἀλλ' ὑμεῖς ἴσως τὸ ἐπιεικὲς ἡμῶν καὶ φιλάνθρωπον, ἔκλυτον περὶ τὴν πίστιν ἡγήσασθε. καὶ εἰ τοῦτο, στερεᾷ πέτρᾳ προσεκόψατε. ἐπιεικεῖς μὲν γὰρ ἡμεῖς τἆλλα, καὶ εἰρηνικοί. τὸ ἐπιεικὲς γὰρ ἡμῶν, γινώσκεσθαι πᾶσιν ἀνθρώποις, ἐδιδάχθημεν. καὶ τὸ ἀγαθὸν πρὸς πάντας ἐργάζεσθαι. ὅπου δὲ περὶ Θεοῦ, καὶ θεῖος ὁ λόγος, καὶ λίαν μαχηταὶ, κατὰ τὸν ἱερὸν φάναι Γρηγόριον.

Ὅτου δὲ ὡς ἀγαθοὶ σύμβουλοι προσέρχεσθε ἡμῖν, καὶ φείδεσθαι ἡμῶν αὐτῶν, καὶ τῶν ἡμετέρων λέγοντες, τουτέστι, πείθειν ἡμᾶς καὶ τοὺς ἡμετέρους διδάσκει ὑπείκειν τοῖς παρ' ὑμῶν λεγομένοις, ἀφιδεῖν μᾶλλον ἐστὶ τῆς ἡμῶν σωτηρίας, ἣν ἐλπίζομεν οὐκ ἐκ τῶν ἡμετέρων ἔργων. οὐ γὰρ ἐποιήσαμεν τι ἀγαθὸν ἐπὶ τῆς γῆς, ἀλλ' ἐκ τῆς ἀποφυγῆς τῆς τῶν ἑτεροδοξούντων καινοφωνίας, καὶ καινοτομίας ἁπάσης, καὶ ἀσπάζεσθαι τὴν ἀληθῆ καὶ ὀρθόδοξον ὁμολογίαν τῆς καθαρᾶς καὶ ἀμωμήτου ἡμῶν πίστεως, φυλάττοντες αὐτὴν ἀπαρασάλευτον, καὶ ἀμετακίνητον, καθὰ δὴ παρελάβομεν αὐτὴν παρὰ τῆς ὀρθοδόξου ἁγίας καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας τῆς ἀνατολικῆς. ἐν ᾗ ὁμολογίᾳ βεβαπτίσμεθα, ᾗ καὶ συνανετράφημεν, καὶ συγγεγηράκαμεν, μεθ' ἧς καὶ συναπελθεῖν τῶν τῇδε εὐχόμεθα.

Παρακαλοῦντες δὲ μεθ' ὑγιεστέρας παραινοῦντες βουλῆς, ἐκλέξασθαι ἡμᾶς ἢ τὸν Ἰγνατίου, ἢ τὸν Φωτίου κλῆρον κομίσασθαι; ὅμοιόν τι δοκεῖτε ποιεῖν,

ὡσπερεὶ

ὥσπερεὶ τις τὸν ἥλιον διαλάμπειν παρεκελεύετο. ἡ γὰρ ἡμετέρα ὑγιὴς γνώμη φανότερον ἡλίου διαυγάζει, ὅτι τὸν κλῆρον Ἰγνατίου καὶ Φωτίου παλαίποτε ἠσπασάμεθα. ὀρθοδόξους γὰρ ἀμφοτέρους ἔχομεν κἂν ὅ,τι ἂν ὑμεῖς περὶ Ἰγνατίου εἴποιτε. τὸ δὲ ὑπογράφειν μετὰ Ἰωσὴφ οὐκ οἶδα ἥντινα ὑπογραφὴν ἐννοεῖτε τοῦ Ἰωσήφ. ἡμεῖς γὰρ περὶ ἐκείνου τοῦτο εὕρομεν, ὅτι ἰδίως μὲν ἔγραψεν, ἁπλῶς οὑτωσί, ὅτι στέργει τὴν ἕνωσιν, οὐκ ἔφθασε δὲ κἂν τῷ θρυλλουμένῳ ὅρῳ ὑπογράψαι. προαφήρπασε γὰρ θανάτῳ αἰφνιδίῳ παρὰ Θεοῦ, διατεμόντος καὶ ἐκ μέσου ποιησαμένου τὸ κακόν. καὶ πῶς οὖν γαθοὶ μετὰ τοῦ τοιούτου ὑπογράφειν ἡμᾶς παραινεῖτε; εὖγε τῆς ἀληθείας συμβουλῆς. ἀκολουθεῖν τοῖς συμφυλέταις, ὀρθοδοξοῦσι, καὶ ἀδελφὰ φρονοῦσι, λίαν θεοσεβὲς, καὶ ἐπίδοξον. παρεγκλίνασι δὲ καὶ τοῖς ἑτεροδοξοῦσι αὐτομολήσασι, οἷος ὁ Βησσαρίων καὶ ἄλλοι, ἀποτρόπαιον μᾶλλον ἡγούμεθα. καὶ ἐῶ λέγειν ὅτι καὶ οἱ ὑποκλίναντες, ἔγνωσαν ἀκριβῶς ὕστερον, ὅτι τὴν ἑαυτῶν συνείδησιν ἔβλαψαν ἀποστάντες τῆς ἑαυτῶν μητρὸς ὀρθοδόξου ἐκκλησίας. ὅπου καὶ οἱ πλεῖστοι τούτων καθωμολόγουν ὕστερον, καὶ αὐτὸς ὁ Βησσαρίων, ὁ κορυφαῖος τῶν ἀποστάντων [?], ἔργῳ δέδειχεν. ἐν γὰρ τῇ Κρήτῃ δώδεκα ἱερεῖς οὐ Λατίνους, ἀλλὰ Γραικοὺς, ταῖς ἑαυτοῦ διαθήκαις ἐνέγραψεν ἐπὶ ῥητῷ σιτηρεσίῳ, τὰ κατ᾽ ἔτος αὐτοῦ μνημόσυνα ἐπιτελεῖν, καὶ τὰς λειτουργίας.

Ὅτι δὲ κατὰ ζῆλον ταῦτα γράφειν πρὸς ἡμᾶς φατέ. ζῆλον μὲν ἔχετε φαίην ἂν καὶ αὐτὸς, ἀλλ᾽ οὐ κατ᾽ ἐπίγνωσιν. οὐ γὰρ ζηλοῦντες ἐζηλώκατε κατὰ τὸν Θεσβίτην, Κυρίῳ παντοκράτορι, ἀλλὰ τῷ Πάπᾳ τῆς ἐκκλησίας (ὡς νομίζετε) αὐτοκράτορι. ὅστις εἴγε τῶν ἰδίων ὅρων ἐντὸς ἵστατο, πολλὰς ἂν ἐκαρποῦτο παρ᾽ ἡμῶν τὰς τιμὰς, καὶ προεδρίας τῆς προσηκούσης ἠξιοῦτο. νῦν δὲ τῇ δεδομένῃ αὐτῷ παρὰ Θεοῦ δωρεᾷ καὶ ἀξίᾳ οὐκ εἰς δέον χρωμένου, αὐτὴ ἡ ἀξία ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ κριτοῦ κατηγορήσει ὑμῶν, τῶν ταύτην εἰς τὸ ὑπέρμετρον πειρωμένων ὑπερβιβάζειν. ἑνώσεως δ᾽ ἕνεκα, ὅπου φατὲ ταῦτα γεγραφέναι, μηδέποτε ταύτην ἐποιήσητε, ἕως ἂν μὴ παραιρεθῇ τὸ τὴν μεγίστην διάστασιν ταύτην ἐργασάμενον, ὅπερ ἐστὶν ἡ ἐν τῷ συμβόλῳ τολμηθεῖσα προσθήκη. ὅτι δὲ καὶ ἐμπνέουσι τὰ γραφόμενα καὶ λεγόμενα ἀγάπην ἀπὸ καρδίας, τὴν τοιαύτην ἀγάπην ἡμεῖς, κατὰ μετάθεσίν τινα, καὶ ἐναλλαγὴν στοιχείου ἀπάτην μᾶλλον εὑρίσκομεν.

Ἀλλ᾽ ὦ πάντες ὑμεῖς οἱ ἐν τῇ ἀνατολικῇ ἀνθιστάμενοι καὶ ἐπιβουλεύοντες ἐκκλησίᾳ, ἐκνήψατε τοῦ τύφου καὶ τῆς ἀπάτης, καὶ ἀναζωγραφίσαντες τῷ νῷ ἴδετε ταύτην, πόλιν τινὰ οὖσαν, ἐπάνω ὄρους ὑψηλοῦ κειμένην, τείχεσιν ἐρυμνοῖς, τοῖς βίβλοις τῆς θείας γραφῆς, περικυκλουμένην τε καὶ περιπεφραγμένην, πύργοις ἰσχυροῖς ἑπτὰ, ταῖς οἰκουμενικαῖς καὶ θεοπνεύστοις συνόδοις, κατωχυρωμένην, καὶ ἀριστοκρατουμένην ὑπὸ σοφῶν καὶ φρονίμων ἀνδρῶν δώδεκα τῶν δώδεκα ἀποστόλων, καὶ τῶν, οὓς αὐτοὶ κατέστησαν διαδόχων, ἐπὶ δὲ τὰς ἐπάλξεις τῶν τειχῶν τῆς πόλεως, ἀγρύπνους ἱσταμένους φύλακας καὶ γενναίους ἀνταγωνιστὰς, πατέρων πλῆθος, καὶ διδασκάλων. Διονυσίους φημὶ, Ἱεροθέους Ἀθανασίους, καὶ Βασιλείους, Γρηγορίους, καὶ Κυρίλλους, καὶ Χρυσοστό-

μυστὴς καὶ Μαξίμους Κελλεστίνους, Συλβέστρους Ἰουλίους, Λέβουλας, Κυπριανοὺς, Ἀμβροσίους, αὐγουστίνους, καὶ ἁπλῶς τὰς τοπικὰς, καὶ οἰκουμενικὰς συνόδους ἑπτὰ καὶ τοὺς τούτοις ἐξηκριβωμένους ἀκολούθους τοὺς Δαμασκηνοὺς, καὶ ἅπαντας ἄλλους, ἐνδυναμουμένους, οὐκ ἐν λόγοις ἀνθρωπίνης σοφίας, ἀλλὰ τῷ κράτει τῆς ἰσχύος τοῦ Θεοῦ. ἐξοπλιζομένους οὐ τῇ ματαίᾳ τοῦ κόσμου σοφίᾳ, ἀλλ' ἐνδεδυμένους τὴν πανοπλίαν τοῦ πνεύματος, καὶ ταύτῃ μόνῃ δυναμένους ἀνθίστασθαι πρὸς τὰς τῶν αἱρετικῶν μεθοδείας. περιεζωσμένους τὴν ὀσφὺν ἐν τῇ ἀληθείᾳ καὶ ἐνδεδυμένους τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὡραίους τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, καὶ περιβεβλημένον ἔχοντας τὸν τῆς πίστεως θυρεὸν. οὕτω τούτους ἐξώπλισαν οἱ δώδεκα, οὓς ὁ Χριστὸς ἄρχοντας ἐπὶ πᾶσαν κατέστησε τὴν γῆν. οὕτω γὰρ ἐὰν ἴδητε τὴν ἀνατολικὴν ἐκκλησίαν, ὡς πόλιν φημὶ νοητὴν, οὐκ ἄνθρωπον καὶ αὐτὸν ἕνα ἐφιστάμενον ταύτης ἀλλ' αὐτὸν τὸν Χριστὸν γνωρίσητε, τὸν καὶ οἰκοδομήσαντα ταύτην τῷ ἰδίῳ αἵματι, οὗ καὶ ἡ σημαία ἐπὶ τῶν ἐπάλξεων πασῶν καὶ τῶν πύργων ἠμαγμένη καὶ αἰθερία ἀναδείκνυται. ἔνδοθεν δὲ τῆς πόλεως ἀναπαυομένους ἡμᾶς εὑρήσητε, μηδὲν ἄλλο φροντίζοντας, ἢ διανοουμένους, παρ' ὃ ἐκεῖνοι διακελεύονται. πρὸς τοιαύτην οὖν πόλιν αἱ ἀπειληθεῖσαι παρ' ὑμῶν πόρρωθεν φοβεραὶ σάλπιγγες, καὶ τὰ πολεμικὰ, ἃ ἐκρούσατε ὄργανα, ἵνα τὴν ἰσχὺν ἔχουσιν; εἰ μὴ ὅτι ψόφοι κοῦφοι, καὶ ἀδρανεῖς κρότοι ἀποδεικνύμενοι.

Καὶ πείσθητέ μοι ἀδελφοὶ (ἀδελφοὺς γὰρ ἔτι καλῶ ὑμᾶς) τὰ ἀληθῆ λέγοντι, ὅτι οὐδέποτ' ἂν προήχθην εἰς λόγους τοιούτους, ὑμῶν μὴ καταναγκασάντων ἐν οἷς γράφοντες ὑβρίζητε ἡμᾶς, καὶ τῆς ἐν Χριστῷ κοινῆς τῶν πιστῶν σωτηρίας ἀποκλείετε, ὅπερ οὐδέποτε παρ' ἄλλου τινὸς τῶν ἰταλῶν ἠκούσαμεν. δύο γὰρ ταῦτα ἐκ τῶν ὑμετέρων μεμαθήκαμεν λόγων. α' πρῶτον μὲν ἐν οἵᾳ δήποτε τάξει ἡμᾶς τοὺς ἀνατολικοὺς ἔχετε, καὶ ὅτι οὐκ ἐν τοῖς σωζομένοις. ἵλεως ὑμῖν τῆς δυσφημίας Χριστὸς γένοιτο. β' δεύτερον, ὅτι οὐδὲν ἰσχυρὸν οὐδὲ ἀντίρρητον λέγειν ἔχετε.

Καὶ ταῦτα μὲν ἡμεῖς πρὸς τὰς παρὰ τῶν φρατόρων θέσεις ιϛ', καὶ συλλογισμούς. τοὺς δ' ἐντυγχάνοντας τῶν ἡμετέρων τῷ παρόντι πενιχρῷ πονήματι, ἀντιβολῶ μὴ ἀποβλέπειν πρὸς τὸ ταπεινὸν τῶν νοημάτων, καὶ τὸ ἀκαλὲς τῆς φράσεως. οὐ γὰρ δεινότητος μετέχομεν ῥητορικῆς ἰδιῶται γὰρ ἐσμὲν τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει ἵνα κατὰ Παῦλον εἴπω, μὴ ὢν Παῦλος, ἀλλὰ Παύλου. τούτου γὰρ εἶναι ὀπαδὸς καὶ μαθητὴς καὶ φιλῶ καὶ ἀσπάζομαι.

Τέλος.

ἜΚΘΕΣΙΣ ΠΙΣΤΕΩΣ ΤΟΥ ὙΠΟΓΕΓΡΑΜΜΕΝΟΥ, ἭΤΙΣ ΕὙΡΕΘΗ ἘΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΣΕΣΑΘΡΩΜΕΝΗ, ΚΑΙ ΜΟΛΙΣ ἈΝΑΓΝΩΣΘΕΙΣΑ, ΜΕΤΕΓΡΑΦΗ ἘΝΤΑΥΘΑ ΕἸΣ ΜΝΗΜΗΝ ΠΡΟΣΤΑΓῊ ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ἹΕΡΟΣΟΛΥΜΩΝ ΚΥΡ ΝΕΚΤΑΡΙΟΥ ΠΑΡΑ ΤΟΥ ἸΔΙΟΥ ἈΡΧΙΔΙΑΚΟΝΟΥ ΑΥΤΟΥ ΚΥΡ ΔΟΣΙΘΕΟΥ.

Ἐν τῇ ἐν Φλωρεντίᾳ γενομένῃ συνόδῳ περὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν παραγενόμενος καὶ αὐτὸς, οὐχ ὡς ἀναπληρῶν τόπον, καὶ χρείαν ἐν αὐτῇ, ἀλλ' ὡς ὀπαδὸς καὶ ὑπηρέτης τοῦ τότε οἰκουμενικοῦ Πατριάρχου κληρικὸς ὢν ἐκείνου, καὶ τὸ συμπέρασμα ἐκείνης τῆς συνόδου (ἤγουν τὴν ἕνωσιν) μετὰ τῶν λατινικῶν δογμάτων, καὶ τῆς ἐν τῷ συμβόλῳ προσθήκης, καὶ τῶν ἄλλων ὧν ὁ ἐκεῖσε ὅρος διαλαμβάνει, μετὰ τῶν στερξάντων, καὶ αὐτὸς παραδεξάμενος, κοινωνῶν τε τοῖς παραδεδομένοις, καὶ δεφενδεύουσιν αὐτὰ, καὶ ποιῶν ὅσα καὶ αὐτοὶ ἐποίουν μέχρι τῆς Πατριαρχίας τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἁγιωτάτου καὶ ἀοιδίμου Πατριάρχου κὺρ Ἰσιδώρου, δι' ὃ καὶ ἀναγκασθεὶς ὁ ἀοίδιμος ἐκεῖνος Πατριάρχης μετὰ συνόδου τινὸς, ψῆφον ἐξήνεγκε κατ' ἐμοῦ, ὥσπερ καὶ κατ' ἄλλων τινῶν, ὡς δῆθεν ἀπαγορεύσας τὴν ἐμὴν μετάνοιαν καὶ διόρθωσιν, ὅπερ μαθὼν ἐγὼ, καὶ δεινὸν ἡγησάμενος, καὶ τῆς καθολικῆς ἐκκλησίας τῶν γραικῶν ἀποκεκομμένος, καὶ ἐκκήρυκτος ὀφθείην, ἐν ᾗ καὶ ἐγεννήθην, καὶ ἀνετράφην, καὶ ἱεράθην, καὶ ἣν ἁγίαν καὶ ὀρθόδοξον, καὶ ὁμολογῶ, καὶ φρονῶ, καὶ κηρύττω, εἰ γὰρ ἔδοξα κἀκεῖνα τὰ λατινικὰ παραδέξασθαι, ἀλλ' ὡς σύμφωνα νομίσας τοῖς πρεσβευομένοις παρὰ τῆς γραικῶν ἐκκλησίας ὀρθοδόξοις δόγμασιν, ὡς οἱ ἐκεῖσε ταῦτα δόξαντες κρίνειν αὐτὰ ἀπεφήναντο, ταῦτα παρεδεξάμην. τῇ δὲ τοῦ Θεοῦ χάριτι βέλτιον περὶ τούτων βουλευσάμενος, τὴν μὲν ἀπὸ τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ὀρθοδόξου ἐκκλησίας τῶν γραικῶν ἔκστασιν ἀφόρητον ἡγούμενος, διὸ καὶ ἔτι περιόντος τῷ βίῳ τοῦ μακαρίτου, καὶ ἀοιδίμου Πατριάρχου κὺρ Ἰσιδώρου. πολλάκις παρεκάλεσα αὐτὸν ἀμέσως, καὶ διὰ πολλῶν ἀξιολόγων, καὶ χρησίμων ἀνδρῶν, καὶ μετὰ τὴν πρὸς κύριον ἐκείνου ἐκδημίαν, τὸν νῦν παναγιώτατόν μου δεσπότην καὶ αὐθέντην τὸν οἰκουμενικὸν Πατριάρχην, ὁμοίως καὶ διὰ πολλῶν μεγάλων, καὶ ἀξιολόγων ἀνδρῶν παρεκάλεσα, ἵνα μοι εὐεργετήσῃ συγγνώμην ἐφ' οἷς ἐπλανήθην, καὶ ἔστερξα, καὶ ἐφρόνησα μέχρις οὗ εἶπον καιροῦ, καὶ δωρήσηταί μοι παραδοχὴν ἐν τῇ ἁγίᾳ τοῦ Χριστοῦ ἐκκλησίᾳ, συγχώρησιν τῆς ἱερωσύνης καὶ τὸ ἐνεργεῖν αὐτήν. ὃς καὶ εὐχερῶς μὲν οὐκ εἶχε τοῦτο ποιῆσαι, εἰ μὴ μετὰ διακρίσεως συνοδικῆς. γενομένων δὲ συνόδων πανιερωτάτων ἀρχιερέων ἱκανῶν, καὶ κατὰ διάκρισιν συγγνωμονησάντων ἐμοὶ καὶ συγχωρήσεως τυχῶν ψηφισαμένων, ἐπεὶ καὶ λίβελλον ὀρθοδόξου πίστεως, καὶ ὁμολογίαν παρασχεῖν ἀπαιτήθην, ἤδη μετὰ πάσης μου προαιρέσεως, καὶ γνώμης ἐπὶ θεῷ μάρτυρι καὶ τοῖς ἁγίοις ἀγγέλοις, καὶ πᾶσι τοῖς ἁγίοις, ὁμολογῶ καρδίᾳ, καὶ στόματι χωρίς τινὸς

ὑποκείσθαι, καὶ τὸ ἄλλα μὲν φρονεῖν, ἄλλα δὲ λέγειν, καὶ φρονῶ καθὼς ὁμολογοῦ ἄνωθεν ἡ ἁγία καθολικὴ ἐκκλησία τῶν γραικῶν, ὅτι ὁ Πατὴρ ἄναρχος καὶ ἀναίτιος, αἴτιος δὲ τοῦ υἱοῦ, καὶ τοῦ πνεύματος, τοῦ μὲν γεννητῶς, τοῦ δὲ ἐκπορευτῶς

καὶ διὰ τοῦ υἱοῦ λέγεται ὡς μόνος αἴτιος λέγεται.

τοῦ υἱοῦ φωνῆς μηδόλως εἰσαγούσης τὸν υἱὸν αἴτιον εἶναι

ἢ καθ᾽ ἑαυτὸν, ἢ μετὰ τοῦ Πατρὸς, ὡς εἶναι τὸν υἱὸν, καὶ τὸν Πατέρα

καὶ ἀλλόκοτον ὑπόληψιν καὶ μίαν ἀρχὴν τοῦ Πατρος, τοῦτο παρὰ τῆς

λατινικῆς οὖν δόξης ἀποβάλλομαι, καὶ ἀθετῶ, καὶ ἀποστρέφομαι, τοὺς δὲ τοῦτο φρονοῦντας ἀκοινωνήτους ἔχω, καὶ ἀποβλήτους, καὶ πόῤῥω τῆς τῶν χριστιανῶν ὀρθοδόξου πίστεως. διὰ τοῦτο, καὶ τὴν ἐν τῷ συμβόλῳ προσθήκην κακῶς καὶ ἀθέσμως ὁμολογῶ γεγονέναι, καὶ ἀποκηρύττω, καὶ ἄλλο πᾶν ἔθος τῆς τῶν λατίνων ἐκκλησίας ἀποκηρυττόμενον ἀπὸ τῆς καθ᾽ ἡμᾶς ἁγίας τῶν γραικῶν ἐκκλησίας ἀθετῶ καὶ ἀποστρέφομαι, καὶ πάντα τὰ κατὰ τῆς ἡμετέρας ἐκκλησίας παρ᾽ ἐκείνων γεγονότα συγγράμματα, καὶ τῆς δόξης, καὶ τῶν ἐθῶν ἀθετῶ, καὶ ἀποστρέφομαι. καὶ ἄλλην πᾶσαν καὶ παντοίαν αἵρεσιν ἀποβληθεῖσαν, καὶ ἀναθεματισθεῖσαν παρὰ τῶν ἁγίων οἰκουμενικῶν ἑπτὰ συνόδων, καὶ τῶν τοπικῶν ἀναθεματίζω καὶ αὐτὸς, καὶ ἀποστρέφομαι, ὥσπερ καὶ τὴν κακοδοξίαν Βαρλαάμ τε, καὶ ἀκινδύνου, καὶ τῶν ὁμοφρόνων αὐτοῖς. ἐξέχομαι δὲ ὁλοσχερῶς τῶν εὐαγγελικῶν, καὶ ἀποστολικῶν, καὶ πατρικῶν δογμάτων, καὶ διδαγμάτων. δοξάζων καὶ φρονῶν ὅσα ἡ ἁγία τοῦ Χριστοῦ τῶν γραικῶν ἐκκλησίαν δοξάζει, καὶ φρονεῖ. ταύτην μου τὴν ὁμολογίαν ὅλῳ νῷ, καὶ καρδίᾳ φρονῶν, καὶ ῥήματι ὁμολογῶν, καὶ τῇ χειρὶ συγγραφόμενος, καὶ ὑπογράφων παραδίδωμι τῷ παναγιωτάτῳ μου αὐθέντῃ καὶ δεσπότῃ τῷ οἰκουμενικῷ Πατριάρχῃ· καὶ δι᾽ αὐτοῦ τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, μεθ᾽ ἧς καὶ βιώσαιμι, καὶ ἀποβιώσαιμι τῇ τοῦ Θεοῦ ἰσχύϊ ἐνδυναμούμενος πρεσβείαις τῆς Θεοτόκου ἀμήν.

Ὁ νομοφύλαξ διάκονος λέων στέργων, καὶ βεβαιῶν ὑπέγραψα.

Ὄπισθεν δὲ τῆς ὁμολογίας ταύτης ἐν τῷ ἀνωτέρῳ μέρει ἦν ταῦτα τὰ κάτωθεν γεγραμμένα τῇ ἰδίᾳ χειρὶ τοῦ ὑπογεγραμμένου Μητροπολίτου, ἅτινα ἐστὶ τάδε.

Ἐγὼ ὁ ταπεινὸς Μητροπολίτης νικομηδείας Μακάριος συγχώρησιν αἰτήσας ἐκ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ Πατριάρχου, καὶ τῆς καθολικῆς ἐκκλησίας ἐφ᾽ οἷς ἔδοξα κατὰ τοὺς παρελθόντας χρόνους ἁμαρτεῖν εἰς αὐτὴν, καὶ ἀπαιτηθεὶς ὁμολογίαν, εὑρέθη δὲ ἐνταῦθα ἐκτεθειμένη ὄπισθεν. ταύτην στέργω, καὶ ἀσπάζομαι καὶ αὐτὸς ὅλῃ ψυχῇ καὶ παραδίδωμι τῷ παναγιωτάτῳ μου δεσπότῃ τῷ οἰκουμενικῷ Πατριάρχῃ, καὶ δι᾽ αὐτοῦ τῇ ὀρθοδόξῳ καθολικῇ μεγάλῃ ἐκκλησίᾳ τῶν γραικῶν, ἣν καὶ ὑπογράφω οἰκειοχείρως διὰ τὸ βέβαιον, μηνὸς φευρουαρίου. ιβ΄. τοῦ ,ςϡοβ ἔτους.

Ὁ ταπεινὸς Μητροπολίτης νικομηδείας Μακάριος τὰ ἄνωθεν γεγραμμένα στέργων ὑπέγραψα.

ἀπο-

Ἀπολογία καὶ ἀναφορὰ πρὸς τὸν βασιλέα, τῶν ἀρχιερέων καὶ ἑτέρων κληρικῶν, περὶ τῆς ἐν Φλωρεντίᾳ συνόδου.

Τολμηρῶς ἀναφερόμενοι τῇ κραταιᾷ καὶ ἁγίᾳ βασιλείᾳ σου δέσποτα ἡμῶν βασιλεῦ. χθὲς μὲν τὰς ἡμετέρας ἀποκρίσεις δεδώκαμεν, τοῖς ἐνδοξοτάτοις ἄρχουσιν αὐτοσχεδίῳ γραφῇ, ὡς ἂν ἀνενέγκωσιν αὐτὰ τῷ θείῳ σου κράτει, ἐπεὶ δὲ προσέταξε τὸ θεῖον σου κράτος, καὶ ὑπογραφῆς ἡμετέρας προστεθῆναι ταῖς ἀποκρίσεσιν ἐν ὡριμωτέρᾳ βουλῇ καὶ σχολῇ πλείονι συνελθόντες, τὴν παροῦσαν συντεθήκαμεν ἀναφοράν, ᾗ καὶ τὰ ἡμέτερα ὀνόματα ὑπογράφομεν, οὐκ εἰδότες μὲν τὸν τῆς ἁγίας βασιλείας σου σκοπόν, ποιοῦντες δ' ὅμως τὸ προσταττόμενον ἀπειθῶς, ἐν ἁπλῇ καὶ ἀποικίλῳ καρδίᾳ. ἃ γὰρ ἀποκρινόμεθα καὶ ἀναφέρομεν, οὐδὲ χεραίνομεν καὶ ὑπογραφαῖς βεβαιῶσαι, ἐπεὶ καὶ μεθ' ὑπογραφῶν, καὶ ἄνευ ὑπογραφῶν, τῆς ἡμετέρας διανοίας, ὁμολογουμένως εἰσί. ἀναφέρομεν οὖν, ὡς ἐχρῆν μὲν ἡμᾶς πολλάκις ἐρωτηθέντας καὶ ἀποκριναμένους μηκέτι λοιπὸν ἐνοχλεῖσθαι, ταῖς αὐταῖς καὶ περὶ τῶν αὐτῶν ἐρωτήσεσιν. ἔδει καὶ ἡμᾶς ἄγειν σχολὴν, καὶ σιωπῇ λοιπὸν πρεσβεύειν τἀληθῆ. ἀρκοῦσαν ἀπόκρισιν τὴν διὰ τῶν ἔργων παρεχομένους. ἐπεὶ δὲ τὴν ἡμῶν σιωπὴν ἐπικίνδυνον γινώσκομεν οὖσαν τοῖς ἁπλουστέροις, οὓς εἰκὸς ἐστὶ διὰ τὴν συμβᾶσαν τῇ ἐκκλησίᾳ ταραχὴν σκανδαλίζεσθαι, ἅμα δὲ ὀφείλομεν λόγον, ὑπὲρ τῆς ἐν ἡμῖν διδόναι πίστεως, κατὰ τὴν ἀποστολικὴν ἐκείνην φωνήν. καὶ πρὸ πάντων ἱκανοποιεῖν ὀφείλομεν τῷ θείῳ σου κράτει ἐν πᾶσι τοῖς πρέπουσι, διὰ ταῦτα καὶ κοπιῶντες χαίρομεν, καὶ ἀποκρινόμεθα περὶ ὧν ἐρωτώμεθα. τὴν μὲν οὖν τῆς ἐκκλησίας εἰρήνην, οὕτω περὶ πλείστου ποιούμεθα καὶ οὕτως ἐπιθυμοῦμεν τὴν ἡμετέραν ἐκκλησίαν αὖθις ἰδεῖν εἰρηνεύουσαν, ὥσθ' ὑπὲρ τῆς εἰρήνης αὐτῆς καὶ πολλῶν ἀνεχόμεθα δυσχερῶν. οὐδὲν δὲ μέγα ποιοῦντες, δι' ἣν καὶ θεῖναι τὰς ἡμετέρας ψυχὰς ἐσμὲν ἕτοιμοι, ἐπειδὰν ἕκαστος, ὅ,τε καιρὸς ἥ,τε χρεία καλεῖ, ὃ μέντοι ποιοῦμεν ἔργοις τοῦτο καὶ λόγοις τῇ τοῦ Χριστοῦ χάριτι παρρησιαζόμεθα. οὐδὲ γὰρ λέληθεν ἡμᾶς, ὁπόσον ἐστὶ τὸ τῆς εἰρήνης καλὸν, ἐν πᾶσι πράγμασι. τὴν δὲ ἐν τοῖς πνευματικοῖς ἀγαθοῖς εἰρήνην ὅσα καὶ ἐν μείζοσιν ἐστὶν, μείζονα τε καὶ τιμιώτερον εἰδότες, πολλῷ πλέον, τῷ ταύτης πόθῳ δικαιώμεθα. εἰ δὲ καὶ δοκοῦμεν προσίστασθαι τῷ τῆς εἰρήνης καλῷ, ἀλλὰ τοὐναντίον μᾶλλον. ὑπὲρ τῆς ἀληθινῆς εἰρήνης ἡμῖν ἡ ἔνστασις ἐστὶ πᾶσα. ἐπὶ τῷ τῆς εἰρήνης πρυτάνει μεταλεύουσι τὰς ἐλπίδας, ὅτι οὐ περιόψεται τὴν αὐτοῦ ἐκκλησίαν ξαινομένην οὕτω δεινῶς καὶ σπαραττομένην ἀλλ' εἰς ἓν φρόνημα συνάξει πάντας ἀληθινόν. καὶ ὑπὲρ τοῦ τοιαύτην εἰρήνην γενέσθαι, φεύγομεν ἀπὸ τῆς εἰρήνης εἰς ἣν νῦν προσκαλούμεθα. ἀλλὰ περὶ μὲν τῆς ἡμετέρας ἐνστάσεως, ὅτι οὐκ ἐπὶ διαιρέσει τῶν ἐκκλησιῶν τοῦ Χριστοῦ, ἀλλὰ μᾶλλον ἐπ' ἐλπίδι τῆς ἀληθοῦς καὶ γνησίας εἰρήνης καὶ συστάσει τῆς ἀληθείας ἐστὶ, καὶ ὅπως τῆς ἐκκλησιαστικῆς εἰρήνης εὕρωμεν, πολλὰ ἔχοντες δεικνύναι καὶ ἔργα καὶ λόγους, παραιτούμεθα. ἀρκεῖ γὰρ ὁ Θεὸς ἄνωθεν ἐπιμαρτυρῶν τῇ ἡμῶν συνειδήσει. ἐπεὶ δὲ ζητεῖ παρ' ἡμῶν τὸ θεῖον σου κράτος τίνα εἰσὶ τὰ σκανδαλίζοντα ἡμᾶς, καὶ ἀφιστῶντα τοῦ ὅρου τῆς ἐν Φλωρεντίᾳ συνόδου,

καὶ τῆς δι' αὐτοῦ γενομένης εἰρήνης, ταῦτα μὲν ἄλλου ἂν εἴη καιροῦ καὶ ἀριθμῆσαι
καὶ ἐξετάσαι. ἓν μετὰ ταῦτα ἐροῦμεν, καὶ νῦν εὐσεβῶς οὕτω σοι λέγομεν παραι-
τούμεθα τοῦ γινῶς τὰς ἄλλας διαφορὰς ἡμῶν πρὸς λατίνους, οὐ μικρὰς καὶ
αὐτὰς οὔσας. ἐν ᾧ ὅρῳ τῷ νῦν ἐκείνῳ γέγραπται, ὅτι θεμιτῶς καὶ εὐλόγως
προσετέθη τὸ καὶ ἐκ τοῦ υἱοῦ ἐν τῷ συμβόλῳ τῆς πίστεως. τοῦτο δὲ οὐκ ἔστιν ἀληθὲς 5
καὶ οἱ συναρπαγέντες ὑπεγράψαμεν, ὅσοι δὴ καὶ ὑπέγραψαν. οὐ δὲ γὰρ ἠδυ-
νάμεθα ποιῆσαι εἶναι θεμιτὸν τὸ ἀθέμιτον. ἕως ἂν τοὺς κειμένους νόμους μέλ-
λομεν σώζειν. ἡμεῖς δὲ συνήλθομεν ἐκεῖ κατὰ τοὺς κειμένους κρινοῦντες νόμους.
ἔτι γέγραπται ὅτι ἐν τῷ (δι' υἱοῦ), ἡ (διὰ) πρόθεσις, σημαίνει τὸν υἱὸν κατὰ τοὺς
γραικοὺς, αἰτίαν εἶναι τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως. τοῦτο δὲ οὐκ ἔστιν 10
ἀληθὲς, ὅτι κατὰ τοὺς γραικοὺς, ἔστιν ὁ υἱὸς αἴτιος καὶ τοῦ ἁγίου πνεύματος. καὶ
ἡ (διὰ) πρόθεσις τοῦτο βούλεται. οὐδεὶς γὰρ τῶν γραικῶν διδασκάλων λέγει τὸν υἱὸν
αἴτιον εἶναι τοῦ ἁγίου πνεύματος, ἢ ἐν ᾧ δι' υἱοῦ σημαίνεσθαι αἰτίαν. ἀλλὰ τοὐναν-
τίον μᾶλλον λέγουσιν, ὅτι ὁ υἱὸς οὐκ ἔστιν αἴτιος. καὶ ὅτι μόνος αἴτιος ὁ πατὴρ
τοῦ πνεύματος. οὐκ ἐξῆν δὲ ἡμῖν λέγειν οὐδ' ἔξεστιν, ὅπερ οὐ λέγουσιν οἱ διδάσκαλοι 15
ἡμῶν. οὐ δὲ ἄλλο τινὶ πρέπει ἡμῖν πείθεσθαι, ἂν ἄλλο τι λέγωμεν, παρ' ὃ οἱ δι-
δάσκαλοι λέγουσι. ἔτι δὲ λέγουσιν οἱ λατῖνοι τὸν υἱὸν ἀρχὴν εἶναι τοῦ πνεύμα-
τος, ἡμεῖς δὲ τοῦτο οὐ παραδεχόμεθα. μίαν γὰρ ἀρχὴν υἱοῦ καὶ πνεύματος πιστεύ-
ομεν τὸν Πατέρα μόνον μὴ δὲ μίαν ὑπόστασιν θείαν ἄλλην ἐν τῷ κατηγορή-
ματι τούτῳ τῆς ἀρχῆς συμπαραλαμβάνοντες. ἔτι λέγουσι τὸ πνεῦμα, ὑφί- 20
στασθαι ἢ ἔχειν τὸ ὑφεστὼς εἶναι καὶ ἐκ τοῦ υἱοῦ. ἡμεῖς δὲ τῶν ἡμετέρων διδασκά-
λων ἀκούομεν, ἐκ τοῦ Πατρὸς ὑφεστάναι λεγόντων, ἐκ τοῦ υἱοῦ μὴ ἔχειν τὴν
ὕπαρξιν. ἀλλὰ τοῦ εἶναι καθάπερ καὶ τοῦ Πατρὸς. καὶ ἐκ τοῦ Πατρὸς διὰ τοῦ
υἱοῦ προϊέναι διὰ τὴν τῆς θείας οὐσίας ἑνότητα. καὶ διὰ τοῦ Χριστοῦ. τουτέστι τοῦ
υἱοῦ τοῦ Θεοῦ. χορηγεῖσθαι τῇ κτίσει φυσικῶς καὶ οὐσιωδῶς, ἀλλ' οὐ κατὰ μέθεξιν. 25
καὶ διὰ ταῦτα λέγομεν, ὅτι ἕως ἂν ὁ ὅρος ἐκεῖνος διαμένῃ. καὶ ἐλέγχων
τὴν ἡμετέραν συναρπαγὴν, καὶ ὑπευθύνους ἡμᾶς ποιῶν τῷ κρίματι τοῦ Θεοῦ.
καὶ τὴν ἀνατολικὴν ἐκκλησίαν δεσμεύων, ἀλλοτρίᾳ καὶ ἀγνώστῳ διδασκα-
λίᾳ πίστεως. ἡμεῖς οὐδὲ μίαν μετὰ λατίνων ἔχομεν ἕνωσιν. καὶ εἴ τις τὴν
ἐκ συναρπαγῆς ὁμολογίαν ἡμῶν κυρίως εἶναι βούλεται καὶ στέργει αὐτὴν. τοῦ- 30
τον, οὔτε λέγομεν, οὔτε ἐροῦμεν ποτὲ, τῆς ἡμετέρας ἐκκλησίας εἶναι. ὡς
ἀλλότρια καὶ ἀήθη διαφυλάττοντα δόγματα. καὶ τοῦτο λέγομεν κοινῇ πάντες.
οἵ τε ὑπογράψαντες, οἵ τε μὴ ὑπογράψαντες, ἐπεὶ καὶ ἀπαιτεῖ παρ' ἡμῶν
τὸ θεῖον σου κράτος. καὶ τίς ἂν ἀληθὴς ὁ τρόπος γένοιτο τῆς ἀληθινῆς καὶ βε-
βαίας εἰρήνης, καὶ πῶς ἂν λυθείη τὰ ἐν ἡμῖν σκάνδαλα πρὸς δόξαν Θεοῦ, ἀνα- 35
φερόμεν ὅτι ἐὰν σύνοδος ἐνταῦθα πάλιν συγκροτηθῇ μετ' ἐλευθερίας. τὸ
ἐνδεὲς ἐκείνης θεραπευθείη τῆς συνόδου. τοῦτο γὰρ καὶ ἄλλοτέ πολλάκις ἐν
τῇ ἐκκλησίᾳ γεγένηται. καὶ ἅμα εἰ σύνοδος μερικὴ ἡ τὴν προσθήκην ἐργα-
σαμένη τὸ ἐνδεὲς ὡς οἱ λατῖνοι λέγουσι τοῦ ἀνενδεοῦς συμβόλου ἐτόλμησεν ἀνα-
πληρῶσαι. τί κωλύει καὶ νῦν οἰκουμενικὴν σύνοδον γενομένην ἐνταῦθα, τὸ ἐν- 40
δέον καὶ ἐνοχλοῦν τῆς γεγονυίας συνόδου εὐπρεπῶς διορθώσασθαι. ἀλλ' ὅτι
μὲν

μὲν ῥᾴδιόν ἐστι σύνοδον συνελθεῖν, ἐὰν μόνον βουληθῶσι Λατῖνοι. καὶ μὴ
καθάπερ ἕρμαιόν τινος δραξάμενοι τῆς προπετῶς ἐκεῖ γενομένης ὁμολογίας
ἡμῶν ἔχονται. τοῦτο καὶ ἡμεῖς δεξόμεθα, ἐὰν εἰς τὸν περὶ τούτου καταστῶμεν λό-
γον. καὶ πᾶσι δὲ φανερόν ἐστι τὸ τοῦ πράγματος πρόχειρον. μία μόνον ἔσται
5 δυσχέρεια, ἡ ἐκ τοῦ μὴ βούλεσθαι. ὅτι δὲ πᾶσα ἀνάγκη τοῦτο γενέσθαι, τίς ἀ-
γνοεῖ; φανερὸν γάρ ἐστιν ὅτι οἱ ἁγιώτατοι Πατριάρχαι περὶ τῆς γενομένης ἑνώ-
σεως, φρονοῦσι καὶ γράφουσι. καὶ πάντες οἱ τῆς ἀνατολικῆς ἐκκλησίας. εἰ δὲ
ἄνευ συνόδου τοιαύτης, λῦσαι τὰ σκάνδαλα βουληθείημεν οὐδεὶς ἡμῖν προσέ-
ξει λοιπόν. οὐ δὲ διαλάμψει τὸ τῆς εἰρήνης καλόν. εἰς πάντα τὰ ἡμῖν προκεί-
10 μενα γένη. διὰ τοῦτο οἷς ἂν εἴη φροντίζειν τῆς ἐκκλησιαστικῆς εἰρήνης κανο-
νικῶς, σύνοδον συγκροτησάτωσαν. ἣν δυνατόν ἐστιν ἐν ταύτῃ γενέσθαι διαλε-
γάτω. κἀκείνη ἡ σύνοδος, ἢ ἀνατρέψει, ἢ βεβαιώσει τὰ γεγενημένα. καὶ ὅ-
λως τὸ περὶ τῆς ἐκκλησιῶν εἰρήνης σὺν Θεῷ, τελεώτατα προνοήσεται εὐθύνειν.
ἕως ἂν μήτε οἰκουμενικὴν ἔχει δύναμιν, μήτε τῆς ἡμετέρας δόξης ᾖ. καὶ πρὸς
15 τούτοις οὐδὲ συμπέρασμα ἀθετοῦμεν, ὑφ' ἑτέρων γεγενημένον, ἀλλὰ ὃ κακῶς
αὐτοὶ συνεπεράναμεν, τοῦτο ἀρνούμεθα. ὅσοι δὲ οὐκ ἐποιήσαμεν τοῦτο τὸ συμ-
πέρασμα, ἡμεῖς καὶ πολλοὶ δικαιότερον ἀφιστάμεθα ἅπαντες. διότι οἱ ποιή-
σαντες τοῦτο, νῦν ἀρνοῦνται αὐτό. ἐπειδὴ δὲ καὶ περὶ οἰκονομίας γέγονε λόγος,
ἀναφέρομεν καὶ πρὸς τοῦτο. ὅτι τὸ οἰκονομεῖν τῆς ἐκκλησίας ἐστί, συμφώνου τε
20 οὔσης καὶ ἀστασιάστου πρὸς ἑαυτήν. καὶ ἐχούσης τὸ κράτος καὶ τὴν ἐλευθερί-
αν αὐτῆς. οὐχ ἑνὸς ἢ δύο τινῶν ἢ τεσσάρων, οὐδὲ τῶν τυχόντων προσώπων.
ἀλλὰ ἀρχιερέων. ὡς ὁ ἱερὸς τῆς Ἀλεξανδρείας εἶπε Κύριλλος: ἐὰν γάρ τι- „
νες ἀφ' ἡμῶν οἰκονομίαν δέξωνται, ἄνευ τοῦ τὴν ἐκκλησίαν, εἰς τὴν ἑαυτῆς
ἐλευθερίαν ἐπανελθεῖν, οὗτοι οὐκ οἰκονομίαν ποιήσουσιν, ἀλλὰ μετατε- „
25 θήσονται πρὸς τὴν λατινικὴν ἐκκλησίαν καὶ δόξαν. τῷ γὰρ τῆς οἰκονομίας ὁ ὀρ- „
θὸς λόγος μεταχειρίζεται. τότε τὸ δόγμα τῆς εὐσεβείας, οὐδὲν παραβλά- „
πτεται, ὁ προειρημένος εἶπε Κύριλλος. λοιπὸν ἐὰν ἅγιος ὁ Πατριάρχης „
πληροφορήσῃ ἡμᾶς, ὅτι τὴν αὐτὴν ἔχει δόξαν μεθ' ἡμῶν. καὶ πληροφορήσῃ
οὕτως ὡς ἡμεῖς ἀπαιτήσωμεν εἰς ἱκανοποίησιν τῆς ἡμῶν συνειδήσεως, τότε
30 συνελθόντες ὁμοσκεψόμεθα καὶ περὶ οἰκονομίας. καὶ εἴτι ἂν ἡμῖν τότε δόξῃ
κοινῇ συμπεπεισμένοις μετὰ θεόν, γράψομεν πρὸς τοὺς ἁγιωτάτους Πατριάρχας,
καὶ ἐὰν ἐκεῖνοι συντεθῶσι, τῇ ἀναφανησομένῃ τότε γνώμῃ ἡμῶν, γενήσεται.
ἐπεὶ ἡμεῖς οὐδενὶ δυνάμεθα τῶν ἁγιωτάτων Πατριαρχῶν ἐκείνων διΐστασθαι,
οὐδὲ πράττειν τι, ἄνευ τῆς ἐκείνων γνώμης. ταῦτα πληρεστέρως ἀναφέρομεν τῇ
35 ἁγίᾳ σου βασιλείᾳ, καὶ διὰ τὸν ὁρισμὸν αὐτῆς ὑπογράφομεν.
Νικομηδείας Μακάριος. ὁ Τουρνόβου Ἰγνάτιος. ὁ Μολδοβλαχίας Δαμι-
ανός. ὁ Πέργης καὶ Ἀτταλείας, Θεόγνωστος. ὁ ταπεινὸς Μητροπολίτης Δέρκου
Ἀνάκιος. ὁ μέγας Χαρτοφύλαξ καὶ ἀρχιδιάκονος ὁ Βαλσαμών. ὁ
μέγας ἐκκλησιάρχης διάκονος Σίλβεστρος ὁ Συρόπουλος. ὁ ἡγούμενος
40 τῶν Στουδίων Θεόδουλος ἱερομόναχος. ὁ Ἰσίδωρος ἱερομόναχος καὶ πνευ-
ματικός. ὁ ἐλάχιστος ἐν ἱερομονάχοις καὶ πνευματικοῖς Νεόφυτος.

Ἰωσὴφ ἱερομόναχος καὶ ἡγούμενος τοῦ Κοσμιδίου. Ὁ Παντοκρατορινὸς ἡγού-
μενος, γερόντιος ἱερομόναχος. Τῆς Περιβλέπτου ἡγούμενος, Κύριλλος
ἱερομόναχος. Γερμανὸς ἱερομόναχος τῆς μεγάλης Βασιλείου. Ὁ ἱερομνήμων,
διάκονος Θεόδωρος ὁ Γαλλιανός.

Ὅροι τῶν ἁγιωτάτων τριῶν ἱεραρχῶν τῶν ἐν τῇ Συρίᾳ. Φιλοθέου Ἀλεξανδρείας. 5
Δωροθέου Ἀντιοχείας, καὶ Ἰωακεὶμ Ἱεροσολύμων, κατὰ τῆς ἐν
Φλωρεντίᾳ συνόδου.

Ἐπειδὴ ἧκε καὶ ἐνταῦθα ὁ πανιερώτατος Μητροπολίτης τῆς ἁγιωτάτης Μη-
τροπόλεως Καισαρείας Καππαδοκίας, ὁ καὶ πρωτόθρονός τε καὶ ἔξαρ-
χος πάσης ἀνατολῆς, ἅμα μὲν προσκυνῆσαι τὸν πάνσεπτον καὶ θεῖον τοῦ Κυ- 10
ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τάφον, καὶ τοὺς ἐν Ἱεροσολύμοις ἱστορῆσαι ἱεροὺς τόπους
πρὸς οὓς τὰ παράδοξα ἐτελέσθησαν τῆς Χριστοῦ οἰκονομίας μυστήρια. ἅμα δὲ
κοινώσασθαι πρὸς ἡμᾶς καὶ τὸ τῆς ὀρθοδοξίας καὶ εὐσεβείας χριστιανῶν μέγα
μυστήριον. καὶ δηλοποιῆσαι τὰ ἐν Κωνσταντινουπόλει σκάνδαλα πάντα. διὰ τὴν
συναθροισθεῖσαν κουστωδίαν ἐν Φλωρεντίᾳ πρὸς Ἰταλίαν μιαρὰν σύνοδον. 15
καὶ τὰ τῶν Λατίνων σὺν τῷ εὐγενεῖ Πάπα δοξάσασαν, ἅπερ οὐκ ἔξεστι. τήν
τε προσθήκην δηλαδὴ ἐν τῷ τῆς πίστεως ἡμῶν θείῳ καὶ ἀμωμήτῳ συμβόλῳ.
ἀπογράψασαν καὶ πεισθεῖσαν, ὡς καὶ ἐκ τοῦ υἱοῦ τὸ θεῖον ἐκπορεύεται πνεῦμα.
τά τε ἄζυμα συγχωρήσαντες πρὸς ἡμᾶς θύεσθαι. καὶ μνημονεύειν διὰ τοῦτον
τὸν Πάπαν, καὶ Βασιλεῖ τῶν Ῥωμαίων Ἰωάννῃ τῷ Παλαιολόγῳ, λατινόφρονι. 20
καὶ τοὺς μὲν πιστούς τε καὶ ὀρθοδόξους, ἀπειλῶν. διώκων, τυραννῶν, ἐπιτιμῶν,
τοὺς δ' ἀπίστους καὶ κακοδόξους, προσκαλῶν, τιμῶν, ὡς τῆς ἑαυτοῦ αἱρέσεως
σύμφρονας. καὶ ὑπερεκπερισσοῦ μάλιστα προσποιούμενος τούτους. καὶ ἀντι-
πάθειαν τῆς ὀρθοδοξίας καὶ εὐσεβείας. ὡς ἐκ τούτου τοῦ τρόπου καὶ Μητροπολί-
δια βέβηλα, καὶ μιαρὰ ἐπισκοπίδια, πανταχοῦ εἰς τοὺς θείους καὶ ἁγίους θρόνους 25
τῆς ἁγίας μεγάλης Κωνσταντινουπόλεως προτρέψας, ὡς ὑπὸ τὴν ἑαυτοῦ τάχα
ἐνορίαν ὑποκειμένους. ἔδειξεν ὅπως ὁ εἰρημένος πανιερώτατος Μητροπο-
λίτης κὺρ Ἀρσένιος τῆς ἁγιωτάτης Μητροπόλεως μεγάλης Καισαρείας
Καππαδοκίας, πρωτόθρονός τε καὶ ἔξαρχος πάσης ἀνατολῆς. ὡς οὐ μόνον
πρὸς τὰς ἄλλας ἐκκλησίας ὁ μητραλοίας Πατριάρχης τὰς παρανόμους χει- 30
ροτονείας προτρέψας λατινοφρόνοις, ἀλλ' ἤδη καὶ πρὸς τὴν ἐπαρχίαν τῆς ἀνα-
τολῆς πάσης, τέτταρας ὁ ἀχειροτόνητος, κεχειροτόνηκε Μητροπολίδια, καὶ
ἐπισκοπίδια. πρός τε τὴν Ἀμασίαν δηλονότι, Νεοκαισάρειάν τε ἱκανὰ καὶ
Μωκισσόν, τὰ τῶν Λατίνων πάντα καὶ φρονοῦντα καὶ πράττοντα. οὐ καὶ οὐ μόνον ἐν
τεῦθεν τὴν ἑαυτῶν ἀνεχόμεθα φθορὰν καὶ ἀπώλειαν, ἀλλά γε μετὰ τὴν τοσαύ- 35
την τόλμαν, καὶ τοὺς ὑπὸ τοῦ Χριστοῦ ποίμνην ἅπαντας ἐκεῖσε χριστιανοὺς, οὕτως
ἀπατῶντας, καὶ διαφθείροντας καὶ πολλὰ τῇ ὀρθοδόξῳ ἐκκλησίᾳ σκάνδαλα
προξενοῦντας. διὰ τοῦτο ὁ εὐσεβὴς καὶ πιστότατος καὶ τῆς ὀρθοδοξίας πάσης ὑπερ-
μαχός τε καὶ ζηλωτὴς οὗτος δὲ ὁ εἰρημένος πανιερώτατος Μητροπολίτης Και-
σαρείας Καππαδοκίας, μὴ ἀνεχόμενος ὁρᾶν τὴν τῆς ἐκκλησίας Χριστοῦ και- 40
νοτομίαν. καὶ λύμην τῶν ἑτεροδόξων, πρὸς τὴν ὀρθοτάτην καὶ ὑγιαίνουσαν ἡμῶν
πίστιν.

πίστιν, ἠξίωσε συνοδικῶς λαβεῖν γνώμην παρ' ἡμῶν τῶν τριῶν ὀρθοδόξων ἀρχιερέων, τῶν τῇ συρίᾳ, τοῦτε δηλονότι Φιλοθέου ἀλεξανδρείας, Ἰωακεὶμ Ἱεροσολύμων, καὶ Δωροθέου ἀντιοχείας, ὅπως ἀποβάλῃ τοὺς μὴ ὀρθῶς φρονοῦντας, ἐκ πάσης τῆς ἐξαρχίας αὐτοῦ, ὡς ὅτι πρωτογενέστερος καὶ ὀρθόδοξος ὤν. ἐν δ' ἕνι τοι καὶ ὁρίζομεν ἡμεῖς συνοδικῶς ὁμοῦ ἐν τῷ ὀνόματι τῆς ὁμοουσίου καὶ ζωαρχικῆς καὶ ἀδιαιρέτου τριάδος, τοὺς μὴ ὑπ' ἀρετῆς καὶ εὐσεβείας χειροτονηθέντας Μητροπολίτας τε καὶ ἐπισκόπους πανταχοῦ καὶ ἐν ἅπασιν, ἔτι τε ἡγουμένους ὁμοῦ καὶ πνευματικοὺς τάχα, ὡσαύτως τε ἱερεῖς καὶ διακόνους, καὶ πάσης ἐκκλησιαστικῆς ἁπλῶς ψήφου, ἀλλὰ βεβήλους ὄντας καὶ ἀναξίους, τοὺς δὲ τῆς αἱρέσεώς τε καὶ διωγμοῦ τῆς ὀρθοδοξίας δραξαμένους καιρὸν μόνον ἔδραμον ἀναξίως, καινοδοξίας μόνης καὶ αἱρέσεως τρόπῳ, πρὸς ἐπισκοπάς τε καὶ Μητροπόλεις ὡς δῆθεν τάχα σωτῆρες ψυχῶν, ἵνα σὺν αὐτοῖς μᾶλλον φθείρωσι καὶ τὸ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἅπαν ὀρθόδοξον ποίμνιον μηδ' ὅλως φόβον Θεοῦ καὶ δικαιοσύνης καὶ εὐσεβείας κεκτημένους καρπὸν, ἀλλὰ καταφρονητὰς καὶ ἀναιδεῖς ὄντας πρὸς εὐσέβειαν πᾶσαν, τούτους ὁρίζομεν ἀπὸ τῆς σήμερον ἀργοὺς καὶ ἀνιέρους εἶναι πάσης ἱεροπραξίας καὶ ἐκκλησιαστικῆς καταστάσεως, ἄχρις ἂν ἐξετασθῇ ἡ εὐσέβεια κοινῶς τε καὶ οἰκουμενικῶς. οὗτοι μὲν οὖν ταῦτα παθόντες ἔστωσαν ἀργοὶ καὶ ἀνίεροι. ἀντέροντας δὲ καὶ ἀνθισταμένους ληστρικῶς τε καὶ παρανόμως, ἔστωσαν καὶ ἀφωρισμένοι καὶ κεχωρισμένοι, καὶ ἀλλοτριωμένοι τῆς ἁγίας καὶ ὑπερουσίου καὶ ὁμοουσίου τριάδος ὡς ἀπειθεῖς καὶ ἀντίλογοι. ὡσαύτως δὲ καὶ οἱ τούτους δεχόμενοι καὶ συναινοῦντες ἐν τοῖς τοιούτοις καὶ ὑπερασπίζοντες. ἀποκαθιστῶμεν δ' ὅμως κήρυκα τῆς εὐσεβείας καὶ ὀρθοδοξίας τὸν ἄνωθεν εἰρημένον πανιερώτατον Μητροπολίτην, τὸν καὶ ὑπέρτιμον καὶ ἔξαρχον πάσης ἀνατολῆς, κηρύξαι πανταχοῦ τὴν εὐσέβειαν, μὴ αἰδούμενος πρὸς ἀλήθειαν πρόσωπον βασιλέως ἢ Πατριάρχου τοῦ μὴ ὀρθῶς φρονοῦντος καὶ πράττοντος, μὴ δὲ πλουσίου καὶ ἄρχοντος, ἢ τοῦ τυχόντος αὐτοῦ, ἀλλὰ παρρησίᾳ τῇ πίστει καὶ ὀρθοδοξίᾳ κατέχων, ἀφόβως καὶ ἀδιστάκτως κατὰ τὴν ἐντολὴν, ἔχειν αὐτὸν ἄδειαν ἀπὸ τοῦ νῦν ἕνεκεν εὐσεβείας ἐλέγξαι, ἐπιτιμῆσαι καὶ διορθῶσαι τοὺς μὴ ὀρθῶς φρονοῦντας ἐν παντὶ τόπῳ, ἐφ' ὅσον ἂν ἰσχύοι ἐδόθη ὁ παρ' ἡμῶν αὐτοῖς εἰληφὼς τὴν συγγνώμην. διὰ τῆς δοθείσης ἡμῖν χάριτος καὶ δυνάμεως τοῦ παναγίου πνεύματος, ὃν καὶ ὀφείλονται τοῦτον τηρῆσαι, ἀδωροδοκήτως τε καὶ ὀρθῶς τὴν εὐσέβειαν, οὗ ἕνεκεν ἐπεδόθη αὐτῷ καὶ ἡ ἔγγραφος ἡμῶν συγγνώμη συνοδικῶς, ἀπογραφὲν ἰδιοχείρως ἐν μηνὶ Ἀπριλλίῳ τοῦ :,ϛϡνά: ἔτους, τῆς νῦν τρεχούσης ἰνδικτιῶνος, ϛ΄.

Ὁμολογία κυρίου Ἰωσὴφ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Ἐπεὶ βιάζομαι παρά τινων συνθέσθαι τῷ λατινικῷ δόγματι, τὴν ἐκπόρευσιν ὁμολογεῖν τοῦ παναγίου πνεύματος ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ, καὶ ὅτι τὴν ὕπαρξιν ἔχει ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ υἱοῦ τῆς αὐτῆς ὑποστάσεως, ὡς νοεῖσθαι ἐντεῦθεν δύο ἀρχὰς, καὶ δύο αἰτίας, καὶ τὸ πανάγιον πνεῦμα σύνθετον, ἐγὼ τῇ ἁγίᾳ θεολογίᾳ τοῦ υἱοῦ τοῦ θεοῦ στοίχων, τῇ διδασκούσῃ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ ἅγιον πνεῦμα, μὴ

λεγό-

λεγούσῃ καὶ ἐξ αὐτοῦ, ἀλλὰ δὴ καὶ τῷ ἠγαπημένῳ μαθητῇ καὶ ἐπιστηθίῳ τῷ θεολό-
γῳ καὶ εὐαγγελιστῇ Ἰωάννῃ τῷ ταύτην ἐκθεμένῳ πειθόμενος.

Ἐνηχημέναι πανσόφως ἐξέθεντο, αἷς δὴ καὶ μετ' αὐτὰς ἅγιαι συνόδοι ἐπηκολού-
θησαν, τὸ ἅγιον σύμβολον στέρξασαι καὶ βεβαιώσασαι, καὶ τοὺς ἐπ' αὐτῷ προσ-
θήκην ἢ ἔλλειψιν ποιησομένους, ἱερωμένους μὲν ὄντας, παντελεῖ καθαιρέσει
ὑποβαλλούσαις, μοναχοὺς δὲ καὶ λαϊκοὺς βαρυνούσαις τῷ ἀναθέματι, πρὸς δὲ
τούτοις καὶ τὰς διαφόρους ὑποτυπώσεις τῶν μεγάλων φωστήρων καὶ ἁγίων Πατέ-
ρων ἡμῶν, τῶν ἁγίων Παπῶν τῆς παλαιᾶς ῥώμης, καὶ τῆς καθ' ἡμᾶς, σοφῶν
καὶ γενναίων ἀνδρῶν ἀσπαζόμενος, αἳ ἀριδήλως παριστῶσι τὴν ἐκπόρευσιν τοῦ
ἁγίου πνεύματος ἐκ τοῦ Πατρὸς εἶναι καὶ οὐχὶ ἐκ τοῦ υἱοῦ, καὶ αἴτιον μόνον τὸν Πα-
τέρα τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἀνακηρύττουσιν, οὐδύναμαι συνθέσθαι τῷ
λατινικῷ δόγματι καθὼς καὶ οἱ τοῦτο δοξάζοντες, κἀμὲ συνδοξάζειν προ-
τρέπουσι, καὶ ὅπερ οὐκ ἐτόλμησαν προσθῆναι ἐπὶ τῇ θεολογίᾳ τῇ τοῦ υἱοῦ, ἐπὶ
τῇ ἐκπορεύσει τοῦ παναγίου πνεύματος, οἱ τῆς :β': καὶ ἁγίας συνόδου θεοφό-
ροι Πατέρες ἑκατὸν πεντήκοντα, ἐν οἷς καὶ διέλαμψαν, οἱ ἄτινες φωστῆρες
μεγάλοι ὁ μέγας ἐν θεολόγοις Γρηγόριος, καὶ ὁ τούτου ὁμώνυμος καὶ ὁμότρο-
πος κατά γε λόγον καὶ ἀρετὴν Νυσσαέων Γρηγόριος, καὶ ὁ τούτοις συνό-
μιλος Ἀμφιλόχιος Ἰκονίου, ἐμὲ ἢ προσθῆναι ἢ ἐννοῆσαι ἢ φθέγξασθαι, καὶ
ὡς οἱ νέοι ἄρτι θεολόγοι τοῖς λατίνοις ἑπόμενοι, τὴν ἐκπόρευσιν λέγουσιν ἔχειν
καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, κἀντεῦθεν κατεπαιρόμενοι τοῦ υἱοῦ ὡς ἐλλειπῶς
θεολογήσαντος περὶ τοῦ ἁγίου πνεύματος, καὶ λογιωτέρους καὶ πνευματικωτέρους
λογιζόμενοι ἑαυτοὺς ὑπὲρ τοὺς :ρν': ἁγίους θεοφόρους Πατέρας ἡμῶν, τοὺς
ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ δευτέρᾳ συνόδῳ. καὶ γὰρ ὁπηνίκα τὸν τῆς ἀρχιερω-
σύνης θεῖον ζυγὸν ἔμελλον δέξασθαι οἰκειοχείρως, ἔγραψα τὸ ἅγιον σύμβολον
φυλάττειν ἀπαράτρεπτον, ὡσαύτως καὶ τοὺς θείους καὶ ἱερούς. εἰ οὖν τὸ ἅγιον
πνεῦμα εἴποιμι, καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, πρὸς τὴν νοουμένην βλασφημί-
αν ἐντεῦθεν καὶ ἐπιορκίας ἔγκλημα προσάψω ἐμαυτῷ, καὶ ἐκ τούτων τῇ καθαι-
ρέσει ὑπόδικον ἐμαυτὸν ποιήσομαι ἐκπαντός. διὰ γοῦν ταῦτα τὰ ἀναγε-
γραμμένα τῇ τοῦ ὑπεραγάθου Θεοῦ ἐνισχυόμενος ἀντιλήψει καὶ βοηθείᾳ, οὔ-
ποτε ὁμολογήσω τὴν ἐκπόρευσιν ἔχειν τὸ παναγίον πνεῦμα καὶ ἐκ τοῦ υἱοῦ, ἀλλ'
οὐδὲ τὴν ὕπαρξιν τῆς αὐτοῦ ὑποστάσεως ὁμολογήσω τοῦτον ἔχειν ἐκ τοῦ πατρὸς
καὶ τοῦ υἱοῦ, τὸν πατέρα γὰρ μόνον μεμάθηκα προβολέα τοῦ παναγίου πνεύματος,
ὥσπερ δὴ καὶ τοῦ υἱοῦ γεννήτορα, δεδίδαγμαι δὲ παρὰ τοῦ μεγάλου καὶ ἁγίου πατρὸς
ἡμῶν Ἰωάννου τοῦ χρυσοστόμου ὅπως χρὴ πιστεύειν περὶ τὸ τέλος τοῦ τεσσαρες
καιδεκάτου λόγου αὐτοῦ, τοῦ ῥηθέντος εἰς τὴν παραβολὴν τοῦ σωτηρίου, τήν,
» ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, οὕτω πῶς ὁμολογοῦν-
» τος. πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, πιστεύω, οὐκ ἐρευνῶ,
» οὐδύναμαι τὸν ἀκατάληπτον. πιστεύω, οὐ μετρῶ τὸν ἀμέτρητον, ἐὰν πιστεύω,
» φωτίζομαι τὴν ψυχήν, ἐὰν περιεργάζομαι, σκοτίζομαι τὸν λογισμόν, ἂν
» πιστεύω καλῶς, ὑψοῦμαι πρὸς Κύκλον ἐὰν ζητήσω περιέργως καταφέρομαι
» πρὸς βυθόν. εἶτα καὶ τὴν περὶ τοῦ υἱοῦ θεολογίαν ὁμολογήσας, οὕτω καὶ περὶ τοῦ

ἁγίου

ἁγίου πνεύματος διαγορεύει. πιστεύω καὶ εἰς τὸ ἅγιον πνεῦμα, τὸ πνεῦ-
μα τῆς ἀληθείας, τὸ παρὰ τοῦ πατρὸς ἐκπορευόμενον, τῆς τριάδος συμπλη-
ρωτικόν. αὐτῷ θαῤῥῶ τὸν ἐμὸν ἁγιασμόν, αὐτῷ θαῤῥῶ τὴν ἐκ τῶν νεκρῶν
ἐξανάστασιν. ὁ αὐτὸς εἰς τὸ εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου, ἀποκρίνε-
5 ται ὡς ἀπὸ τοῦ προφήτου λέγων, ὅτι μὲν εἶδον, εἶδον. τὸ δὲ πῶς, οὐκ οἶδα. καὶ
μετ' ὀλίγον ἐπιφέρει, τὰ γεγραμμένα δέχομαι, τὰ μὴ γεγραμμένα οὐκ
ἐπιζητῶ. τὰ παραδεδομένα ἀσπάζομαι, τὰ μὴ παραδεδομένα, οὐ πολυπρα-
γμονῶ. ἀκούω δὲ καὶ τοῦ μεγάλου Βασιλείου εἰς τὸν περὶ πίστεως λόγον λέγον-
τος οὕτως, φανερὰ ἔκπτωσις πίστεως, καὶ ὑπερηφανίας κατηγορία ἢ ἀθετεῖν
10 τι τῶν γεγραμμένων, ἢ ἐπεισάγειν τῶν μὴ γεγραμμένων. τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ εἰπόντος, τὰ ἐμὰ πρόβατα τῆς φωνῆς μου ἀκούει, καὶ πρὸ τούτου εἰρη-
κότος, ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι
οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. ταῦτα οἶδα καὶ μεμάθηκα θεμέλιον
εἶναι τῆς εὐσεβοῦς ἡμῶν πίστεως, ὡς νενομοθετημένα καὶ παραδεδομένα παρὰ
15 τοῦ δεσπότου Χριστοῦ καὶ ἁγίου Θεοῦ ἡμῶν. παρὰ τῶν ἁγίων καὶ θεοκηρύκων ἀ-
ποστόλων, καὶ παρὰ τῶν θεσπεσίων καὶ ἁγίων θεοφόρων πατέρων ἡμῶν, τῶν δια-
λαμψάντων ἐν ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις. ἐν τούτοις οὖν στηρι-
ζόμενος καὶ τὰς συνοδικὰς ἐπιτιμήσεις εἴκων καὶ φοβούμενος, οὐ τολμῶ ὡς ἀ-
νωτέρω εἴρηται συνθέσθαι τῷ λατινικῷ δόγματι, ἀλλ' οὐδὲ συγκοινωνήσω δυ-
20 ναμένος ὑπὸ Θεοῦ τοῖς τοῦτο παραδεχομένοις καὶ δογματίζουσιν ὡς ἀνα-
τρέπουσι τὸ εὐαγγέλιον κατὰ τὸν μέγαν χρυσόστομον, λέγοντα οὕτως. ὁ μικρὸν
τοῦ εὐαγγελίου παραβαίνων, ὅλον τὸ εὐαγγέλιον ἀνατρέπει, καὶ ὡς καταφρο-
νητὰς τῶν τὸ ἅγιον σύμβολον παραδεδωκότων τῆς ἡμῶν πίστεως ἁγίων πατέρων.
ταύτην τὴν ὁμολογίαν πρὸς μὲν τοὺς βιάζοντας, ποιοῦμαι ὡς ἀπολογίαν.
25 πρὸς δὲ τοὺς θέλοντας ὁμοφρονεῖν μοι, ἐκτέθηκα ὡς κεφάλαιον. καὶ οὔποτε
μετὰ τῆς τοῦ Θεοῦ βοηθείας τῆς τοιαύτης μου εὐσεβοῦς καὶ καλῆς ὁμολογίας
ἐκπέσοιμι, ἅτε δὴ θεμέλιον ἀῤῥαγὲς ἔχων τό τε ἅγιον εὐαγγέλιον, καὶ τὰς
παραδόσεις τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἡμῶν.

ΛΟΓΟΣ ΣΥΝΕΧΗΣ ΤΗ ΑΝΩΤΕΡΩ ΠΡΑΓΜΑΤΕΙΑ ΤΟΥ ΑΝΤΟΥ ΚΥΡ ΝΕΚΤΑΡΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ. ΠΕΡΙ ΑΝΑΒΑΠΤΙΣΜΟΥ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΗΜ ΦΡΑΤΟΡΩΝ.

5 Τὰ τῶν καινοτομιῶν τοίνυν τοῦ Πάπα, καὶ τῶν αὐτοῦ θιασωτῶν, ὅσα ἐδόκουν
εἶναι τῶν ἄλλων βαρύτερα καὶ νεώτερα, διεξελθόντες, καὶ τὸν ἐνόντα
πρὸς ταῦτα τρόπον ἀπαντήσαντες, νῦν ἐπὶ τὸν κολοφῶνα τούτων ἔρχομαι,
καινοτομίαν τινὰ (αἰδοῦμαι γὰρ λέγειν καὶ αἵρεσιν, ὡς οὔπω πᾶσι λατίνοις οἶ-
10 μαι δήλην) παρὰ τοῖς ἐν ταύτῃ φράτορσι, καὶ τοῖς ἐν πολωνίᾳ οὖσιν ἰησυ-
ΐταις, ἐφευρεθεῖσαν τε, καὶ κακῶς τολμηθεῖσαν, διεξελθεῖν. αὕτη καὶ γὰρ
τῶν ἄλλων ἁπάντων πολλῷ ὑπερέχει τῷ μέτρῳ τῆς βεβηλότητος. καὶ ἀπιστείτω
μηδεὶς, πράγματά τε καὶ τόπος, καὶ ὀνόματα, σαφῶς διεξιούμενοι.
Οἱ μὲν γὰρ ἐν ταύτῃ φράτορες, καὶ ἀναβαπτίζειν τετολμήκασι τοὺς ἀφ' ἡμῶν
15 ἀποστάντας, καὶ πρὸς ἐκείνους δραμόντας, καὶ τέως μὲν τὸ πρᾶγμα, ὡς δοκεῖ
λάθρα γινόμενον ἦν. διεγνώσθη δὲ ὑπό τινος ἡμετέρου μοναχοῦ ἱερέως ἐκ
πόλεως ῥυθίμνης τῆς κατὰ κρήτην, μελχισεδὲκ ὄνομα τούτῳ, γνώριμος δ' ἦν
ὁ ἀνὴρ, τοῖς τ' ἐν βυζαντίῳ, καὶ θρᾴκῃ, νήσοις τε καὶ τῇ λοιπῇ ἑλλάδι, ἐπ'
ἐκκλησίας κηρύττων τὸ εὐαγγέλιον. τούτῳ οὖν τὰς διατριβὰς ἐν ταύτῃ ποι-
20 ουμένῳ, σκοπὸς ὑπεισῆλθεν ἐς ἰταλίαν, ἢ καὶ αὐτὴν τὴν ῥώμην ἀφικέσθαι,
προσέρχεται τοιγαροῦν τοῖς φράτορσιν, ὑπισχνεῖται καθολικὸς γενέσθαι (ὅπερ
οὗτοι ὡς ἰδιάζον αὐτοῖς ὄνομα ἐπιτίθενται) αἰτεῖ δὲ καὶ συστατικὰ παρ' αὐτῶν
λαβεῖν, οἱ δὲ καὶ ἀσμένως ὑποδέχονται τὸν ἄνδρα, καὶ πάντα παρασχεῖν ὧν
δέεται συντίθενται, εἰ μόνον σημεῖον ἀσφαλὲς αὐτοῖς παρέξῃ, ὅτι ἀπὸ καρδίας
25 πεπίστευκε. ὁ δὲ ἅπαν παρέξειν ὡμολόγει, ὅσα αὐτοῖς πρὸς πίστιν ἀκριβῆ
συντείνειν δοκεῖ. ὅθεν παραλαβὼν αὐτὸν εἷς τῶν ἱερωμένων, εἴσεισιν ἐν τῇ ἑ-
αυτῶν ἐκκλησίᾳ, καὶ τὴν παρ' αὐτῶν λεγομένην στόλαν, παρ' ἡμῶν ἐπιτρα-
χήλιον καλούμενον, τῷ τραχήλῳ περιθεὶς, προσκομίσας δὲ καὶ ὕδωρ ἐν ἀγγείῳ,
ἵστατο ἀσκεπὴς, ὑποψιθυρίζων ἐπὶ πολὺ, καὶ τῷ ὕδατι ἐπευχόμενος.
30 τελέσας δὲ τὴν μακρὰν ἐκείνην εὐχὴν, ἀποσκεπάζει τὴν κεφαλὴν τοῦ ἀνθρώπου.
καὶ χέας τὸ ὕδωρ κατὰ τῆς κεφαλῆς αὐτοῦ, ἐποίησε καὶ τὸ πρόσωπον αὐτοῦ λαβόντα
ταῖς χερσὶν ἀπονίψασθαι. χέων δὲ καὶ τὸ ὕδωρ, ὁ φρατοϊερεὺς, ὑποψιθυρί-
ζων αὖθις ἦν, φωνὴ δ' οὐκ ἐξηκούετο. οὕτω δὴ τελέσας αὐτὸν ἀπέλυσεν, εἶναι
τοὐντεῦθεν καθολικόν. εἰ οὖν ἀνεκτὰ ταῦτα λατίνοις, καὶ αὐτῷ τῷ Πάπᾳ,
35 οὐκ οἶδα. ἡμῖν μέντοι τὸ πρᾶγμα, πασῶν παρανομιῶν αὕτη μεγίστη λογί-
ζεται, οἶδα δὲ ὅτι ἔξαρνοι γίνονται μὴ τοιοῦτόν τι παρ' αὐτοῖς τελεσθῆναι διϊσχυ-
ριζόμενοι. ὠνειδίσαμεν γὰρ αὐτοῖς ἡμεῖς τὸ ἐγχείρημα, οἱ δ' ἐπειρῶντο καλύ-
ψαι τὸ τόλμημα τῇ ἀρνήσει, ἀλλ' ἡμεῖς τῷ παθόντι ἐκείνῳ μελχισεδὲκ, ἐν
ταῖς αὐτοῦ ἐσχάταις ἀναπνοαῖς, μετὰ δακρύων καὶ στεναγμῶν, ἐξομολογησα-
40 μένῳ τὴν ἀπάτην ἣν ἔπαθε, μᾶλλον πιστεύομεν. ὅτι οὐδεὶς ὁρῶν ἐγγίζουσαν τὴν
ὥραν τῆς αὐτοῦ τελευτῆς, καὶ πάντα τὰ ἐν τῷ βίῳ αὐτῷ πεπραγμένα ἐξομολο-
γούμενος.

γέμων, δύναται τό τι ψεῦδος λαλεῖν. καὶ μάλιστα καταγινώσκων ἑαυτοῦ, ἐπί τινι μεγάλῳ παραπτώματι. οἷον δὴ καὶ τὸ ῥηθέν. καὶ ταῦτα μὲν τῶν ἐν ταύτῃ φρατόρων, τὰ δυσσεβῆ καὶ παράνομα ἔργα.

Περὶ τῶν ἰησυΐτῶν.

Καιροῦ δὲ δραξάμενος, καὶ τὸ παλαιμοὶ ὀφειλόμενον χρέος τοῖς καλοῖς ἰησυΐταις, δεῖν ἔγνωκα σὺν τόκῳ ἀποδοῦναι. εἰπὼν δὴ πρῶτον συντόμως 5
λίαν, ὁποιοίτινες εἰσὶν οὗτοι, οἷς ὀφειλετάμοι τὸ δάνειον, ἐκθήσω, καὶ οἷον, καὶ ὁπόσον ἦν τὸ καταβληθὲν χρῆμα, ἵνα μήτις ἀγνωμοσύνης ἡμᾶς γράψηται, ἧττονα τοῖς δοθεῖσιν ἀποτινάντας. πολλῶν οὖν ὄντων καὶ διαφόρων ὀνομάτων, δι' ὧν οἱ Χριστιανοὶ κατονομάζονται, δύο μόνα τὰ κυριώτερα, καὶ 10
μᾶλλον τῶν ἄλλων προχείρως λεγόμενα εἰσί. θάτερον μὲν αὐτὸ τοῦτο, Χριστιανοί. θάτερον δὲ ναζωραῖοι, ἀλλὰ τοῦ μὲν δευτέρου τούτου, λόγος οὐδεὶς ἡμῖν ἐπὶ τοῦ παρόντος. ἐπ' ὀνειδισμῷ γὰρ δοκεῖ ἐφευρεθῆναι. ἀρχῆθεν μὲν ὑπ' αὐτοῦ τοῦ βασκάνου δαίμονος, εἰπόντος διὰ στόματος τοῦ δαιμονιζομένου

Μαρκ: α
Λουκ: δ

πρὸς τὸν χριστὸν, ὡς παρὰ τῷ Μάρκῳ, καὶ τῷ Λουκᾷ φέρεται. τί ἡμῖν καὶ σοὶ Ἰησοῦ 15
Ναζαρηνέ. ἐκ τούτου γὰρ καὶ πάντες οἱ ἔξω τῆς Χριστοῦ μάνδρας, καὶ μέχρι τοῦδε, Ναζαρηνοὺς ἡμᾶς καλοῦσι. τὸ δὲ Χριστιανοὺς ἡμᾶς λέγεσθαι, καὶ λίαν ἐπ' ἀγαθῷ καὶ ἐπαίνῳ εἴληπται, καὶ μᾶλλον τῶν ἄλλων ἁπασῶν προσρήσεων χαίρομεν Χριστιανοὺς καλεῖσθαι. τὸ δ' ὄνομα, πρῶτον μὲν, ὡς αἱ Πράξεις φασὶν,

Πράξ: ια

ἐν ἀντιοχείᾳ ἐρρέθη, τοῖς ἐκεῖσε ὑπὸ Βαρνάβα καὶ Παύλου κατηχηθεῖσι μα- 20
„ θηταῖς. ἐγένετο γάρ φησι Παῦλον καὶ Βαρνάβαν, ἐνιαυτὸν ὅλον συναχθῆναι
„ ἐν τῇ ἐκκλησίᾳ (τῇ ἐν ἀντιοχείᾳ δηλονότι) καὶ διδάξαι ὄχλον ἱκανὸν. χρη-
„ ματίσαι τε πρῶτον ἐν ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανοὺς. ἔνθεν τοι καὶ οἱ μάρτυρες ἐταζόμενοι πρὸς τῶν τυράννων, τίνες εἶεν, Χριστιανοὺς χαίροντες ἑαυτοὺς εἶναι, ἀνθωμολόγουν. τὸν τρόπον οὖν τοῦτον, πάντων τῶν εὐαγγελι- 25
κῶν μαθητῶν τοῦ Χριστοῦ χαιρόντων τῷ ἀπὸ τοῦ Χριστοῦ ὀνόματι ὀνομάζεσθαι, οὐκ οἶδα τί παθόντες, οἱ τῶν λατίνων μοναχοὶ, τῷ ἐπισημοτάτῳ, καὶ τιμιωτάτῳ ὀνόματι καλεῖσθαι μὴ βουλόμενοι, ἑτέροις τοῖς ἀπὸ τῶν ἐφευρετῶν τοῦ οἰκείου ἕκαστος τάγματος προείλοντο ἐπισημαίνεσθαι. τούτους γὰρ ἰδόντες οἱ καλοὶ ἰησυΐται, οὕτω μᾶλλον ᾑρετίσαντο ἢ ἀπὸ Χριστοῦ καλεῖσθαι. πλε- 30
ονεκτοῦσι δὲ τοὺς ἄλλους κἀν τῇ τοῦ ὀνόματος ὑπεροχῇ. καὶ ἀπὸ μὲν τοῦ αὐτῶν ταγματάρχου Ἰγνατίου καλεῖσθαι ἀπηνήναντο. ἀπὸ δὲ τοῦ Χριστοῦ ὀνόματος πάντας ὁρῶντες καλουμένους, οὐδ' ἀπὸ τούτου, κοινοῦ πᾶσιν ὄντος, ἤθελον λέγεσθαι. ἴδιον δὲ ζηλοῦντες, ἀφ' οὗ ἄλλος οὐδεὶς κατονομάζεται, τὸ Ἰησοῦς ἐπεσπάσαντο ὄνομα, καὶ ἴδιον αὐτοῖς μόνοις τοῦτο ποιησάμενοι, ἀπὸ τούτου καλεῖσθαι 35
ἀξιοῦσιν ἰησουΐται λεγόμενοι δηλαδή. ὅτι δὲ περιεργοτέρα ἢ εὐλαβεστέρα μᾶλλον ἡ ἐπίνοια, αὐτὰ δηλοῦσι τὰ πράγματα. ὅτι γὰρ ὕπουλος καὶ ὑποκρίσεως πλήρης, οὐδεὶς τῶν καὶ μικρὰν πεῖραν τούτων λαβόντων ἀγνοεῖ. ἐν γὰρ τῷ τοιούτῳ ὀνόματι, τῷ τοῦ Ἰησοῦ καὶ σωτῆρος ἡμῶν Χριστοῦ ὑποκρινόμενοι, ὑπὸ τῷ προβάτου κῳδίῳ, τὴν ἀλωπεκὴν καλύπτουσι. δέδια δὲ 40
μήποτε καὶ οὗτοι τοῦ μέρους ἐκείνου τυγχάνουσι, τῶν παρὰ τοῦ σωτῆρος προ-

ανα-

ἀναφωνηθέντων. ἐρωτώμενος γάρ ποτε παρὰ τῶν μαθητῶν, περὶ τῆς συντελείας
τοῦ αἰῶνος τούτου, ἀπεκρίνατο λέγων· Βλέπετε μήτις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ ” Ματ: κδ
ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες ἐγώ εἰμι ὁ χριστὸς, καὶ πολλοὺς πλανήσου- ”
σιν. εἰ γὰρ καὶ μετάγων φαίνεται τὸ ἑαυτοῦ ὄνομα, εἰς τὸ Χριστὸς, ἀλλὰ τὸ κλη-
5 θὲν αὐτῷ ὄνομα ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι, τὸ Ἰησοῦς ὄνομα. οὕτω ” Λουκ: β
γὰρ φέρεται παρὰ τῷ Λουκᾷ. καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν ”
τὸ παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου, ”
πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ, ὅτε πρὸς τὴν μακαρίαν παρθένον ”
διαπορουμένην ἔλεγεν ὁ ἄγγελος, μὴ φοβοῦ Μαριάμ. εὗρες γὰρ χάριν παρὰ ”
10 τῷ θεῷ. καὶ ἰδοὺ συλλήψει ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ” Λουκ: α
Ἰησοῦν. ἀλλὰ δὴ καὶ τοὺς τοιούτους ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος ἐλθεῖν ἔλεγεν ὁ
σωτήρ. ὅτι δ' οὗτοι ἐγγὺς τῆς τοῦ αἰῶνος συντελείας ἀνεφύησαν, οὐδείς ἐστιν
ὅς τις οὐκ οἶδεν. ἀλλ' ἐπεὶ οὐκ ἀρκεῖν ἐδόκει τούτοις πρὸς μεγαλαυχίαν,
ὀνομάζεσθαι τούτῳ τῷ ὀνόματι, ἀλλὰ τρανώτερον συστῆσαι βουλόμενοι, ὅτι πρὸς
15 τοῦ Ἰησοῦ ὅλως ἐπὶ τὸ κήρυγμα εἰσὶν ἀπεσταλμένοι, ἑταιρείαν τοῦ Ἰησοῦ, ὑψη-
λοτέρῳ δῆθεν ὀνόματι, τὸ ἑαυτῶν σύστημα χαίρουσι καλεῖσθαι. διὰ τοῦτο ἡμεῖς
ἀκριβῶς διερευνῶντες, τὰς πρὸς τοὺς μαθητὰς τοῦ Χριστοῦ παρ' αὐτοῦ ἐκτε-
θείσας προσηγορίας, καὶ τοῦτο αὐτῶν τὸ κέρας, ὡς ἤδη καὶ τὸ πρότερον συνθλᾶν,
ἀπὸ τῶν εὐαγγελικῶν ῥημάτων ἔχομεν. μαθητὰς γὰρ, ἀποστόλους, καὶ φίλους,
20 ἑαυτοῦ λεγομένους εὕρομεν καλεῖν τὸν σωτῆρα τοὺς αὐτῷ ἀκολουθήσαντας. ἑ-
ταῖρον δὲ ἄλλον οὐδένα, ὅτι μὴ τὸν γογγυστὴν ἐργάτην, καὶ τὸν μὴ ἔχοντα ἔνδυμα
γάμου. προσέτι δὲ καὶ τὸν ἑαυτοῦ προδότην ἰούδαν. πρὸς μὲν γὰρ ἐκεῖνον, ἑταῖρε,
φησὶ, οὐκ ἀδικῶ σε. πρὸς δὲ τὸν ἐν τῷ γάμῳ δυσείμονα, πῶς εἰσῆλθες μὴ ” Ματ: κ
ἔχων ἔνδυμα γάμου; πρὸς ἐκεῖνον δὲ, φιλήματι τοῦτον παραδόντα, ἑταῖρε ” Ματ: κβ
25 ἐφ' ᾧ πάρει; καὶ ἡμεῖς οὖν πρὸς ἕκαστον τούτων εἰκότως ἂν εἴποιμεν. εἰ ἑταῖρος ” Ματ: κς
ὑπάρχεις Χριστοῦ, ἀλλ' ἐφ' ᾧ πάρει; ἀμφίβολον ἐπιτυγχάνει, ἢ ἐπ' ἀγαθῷ,
εἴτε καὶ μή, μεταξὺ γὰρ τοῦ ἐπαγγέλματος καὶ τῶν ἔργων, πολλήν τινα δια-
φωνίαν ὁρῶμεν ἀνακύπτουσαν, ὅτι διδασκαλικῷ μὲν σχήματι ἢ ἀποστολικῷ (καθ'
αὐτοὺς εἰπεῖν) πᾶσαν τὴν ὑπ' οὐρανὸν διατρέχουσι δῆλόν ἐστι. τῇ ἀληθείᾳ
30 κατάσκοποι μᾶλλον πολιτικῶν, ἀριστοκρατιῶν, καὶ βασιλειῶν τυγχάνουσι,
καὶ μυρίων ἔσων κακῶν πρόξενοι εἰσί. καὶ τὴν μὲν Ἰησοῦ πτωχίαν ὑποκρί-
νονται, τὴν δὲ Ἰούδα φιλαργυρίαν πραγματεύονται. καὶ ὡς ἔπος εἰπεῖν, οὗτοι
εἰσὶν οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν, ἥν τινα γὰρ οἰκίαν εἰσέλθωσι, τὰ
ὀστέα γυμνώσαντες τῶν σαρκῶν, καὶ αὐτὰ δὴ ταῦτα κατατρώγοντες τὰ ὀ-
35 στᾶ, καὶ τὸν ἐνόντα τούτοις μυελὸν ἐκμυζοῦσιν, ὅθεν καὶ τούτων ἕνεκα, ὡς μὲν
κατάσκοποι, παρὰ πάντων μισοῦνται, ὡς δὲ φῶρες, καὶ ἅρπαγες ἐξεδιώχθη-
σαν, ἐκ ποίων ἀρίστων πολιτειῶν, λέγειν οὐ βούλομαι. ἀνάγραπτοι γὰρ παρ'
αὐταῖς αἱ τούτων πράξεις, εἰς ἔτι καὶ νῦν διασῴζονται. εἰ καὶ ἥλιος αἰδούμενος
ταύτας οὐχ ὁρᾷ. οὗτοι καὶ ὅπου δ' ἂν οἰκήσωσι φροντιστήρια συνιστῶσιν, ἀ-
40 θροίζοντες τὸ πλέον, κακοδαιμόνων πατέρων κακοδαιμονεστέρους παῖδας,
οὐ γὰρ εὐσέβειαν, ἀλλὰ δυσσέβειαν καὶ πιτπισμὸν ἐκδιδάσκουσιν αὐτούς. ἔνιοι
δ' αὐτῶ

δ' αὐτῶν καὶ τὴν ἑλληνίδα φωνὴν ὑποβαρβαρίζοντες, τινὰς τῶν ἡμετέρων τρόπῳ ὑποκριτικῷ, τῷ τούτοις συνήθει, καὶ τῇ τῆς φωνῆς ἡδύτητι, πρὸς ἐξομολόγησιν ἕλκουσι. οἱ δὲ ἀφελότητι ψυχῆς καὶ προσέρχονται, ἐξομολογοῦσι δὲ οὐ πρὸς διόρθωσιν, ἀλλ' ὁτὲ μὲν πρὸς ἐξαπάτην, ὁτὲ δὲ πρὸς τὸ κατηγορῆσαι, καὶ συκοφαντῆσαι τοὺς ἀνατολικοὺς ἡμᾶς.

Περὶ τοῦ καταφλυαρήσαντος, καὶ καταψευσαμένου τῶν ἀνατολικῶν, ἰησουΐτου.

Εἷς γάρ τις τῶν ἐν Γαλατᾷ τοῦ Βυζαντίου, ἐκ τῆς ἑταιρείας τούτων, οἰκούντων, ἀνεφάνη κατὰ τούσδε τοὺς ἡμετέρους καιρούς, ἀνὴρ ὡς δοκεῖ, κατὰ τὸ παρὰ τῷ Δαβὶδ διακωμῳδούμενον. ὅτι καὶ οἱ τούτου λόγοι ἡπαλύνθησαν ὑπὲρ ἔλαιον, βολίδες δ' ἦσαν ὅμως ἐπάγουσαι θανατηφόρον ἰόν. οὗτος τοιγαροῦν ἑλκύσας τινὰς τῶν ἡμετέρων πρὸς ἐξομολόγησιν, ἐθήρευεν ἔθη καὶ τάξεις ἐκκλησιαστικὰς τῶν ἀνατολικῶν μαθεῖν παρ' αὐτῶν. τίνες δ' ἦσαν οὗτοι; ἰδιῶται τὸν τρόπον, ὀψοπῶλαι, κρεοπῶλαι, καὶ βάναυσοι ἕτεροι. παρὰ δὲ τῶν τοιούτων ἐζήτει, ὁ προβατένδυτος ἐκεῖνος λύκος, μαθεῖν τὰ ἡμέτερα ἔθιμα, ἄντικρυς ποιῶν, ὥσπερ εἴ τις παρὰ γεωργοῦ στρατηγικῆς ἀπαιτεῖ τέχνης τὴν πρᾶξιν, ἢ παρὰ ἀνεπιστήμονος μαθηματικήν. ἐκ τοιούτου τοιγαροῦν δολίου φρονήματος ὁρμηθείς, βίβλον ὅλην συνεγράψατο καθ' ἡμῶν, καὶ πάντων τῶν ἀνατολικῶν, ἀπαιδευσίαν καὶ ἀμάθειαν πάντων κατηγορῶν. τὴν δέ γε βίβλον αὐτοῦ ταύτην (ἢ μᾶλλον εἰπεῖν Πιλάτου τίτλον, τὸν ἐπὶ τοῦ δεσποτικοῦ σταυροῦ) καὶ τύπῳ οὐκ ὤκνησεν ὁ γεννάδας ἐκδοῦναι, τῇ ἰδίᾳ διαλέκτῳ. ἐκ γαλλίας γὰρ ὥρμητο τὸ κάθαρμα. κομισθὲν δὲ καὶ ἐν τῷ γαλατᾷ τὸ βιβλίον, καὶ δεικνύμενον ἐπ' ἀγορᾶς, ἐζητήσαμεν ἐπιμελῶς μὲν (ἐκεῖσε τότε διατρίβοντες) ἀνὰ χεῖρας λαβεῖν αὐτό, καὶ δι' ἑρμηνευτοῦ τὰ ἐν αὐτῷ μαθεῖν ἕκαστα κατὰ μέρος, οὐκ ἠδυνήθημεν δέ. ὡς γὰρ ᾔσθοντο οἱ ἔχοντες τοῦτο ἐκεῖσε λατῖνοι, ζητούμενον παρ' ἡμῶν, εὐθὺς ἀπέκρυψαν τοῦτο. ὅσα δὲ συγκεχυμένως, καὶ ὡς ὁ καιρὸς ἐδίδου, παρέργως ἐν αὐτῷ οἱ ἀναγγείλαντες ἴδον, σκώμματά εἰσι, καὶ λοιδορίαι ψευδεπίπλαστοι. ἔθος γὰρ αὐτοῖς, καὶ τοῦτο ὕπουλον, τῇ κατηγορίᾳ καὶ λοιδορίᾳ τῇ καθ' ἡμῶν, δόξαν ἑαυτοῖς θηρᾶσθαι. ὅτι δῆθεν ὀρθῶς πάντα τὰ κατ' αὐτοὺς ὑπὸ κηδεμόνι τῷ Πάπᾳ γίνονταί τε καὶ διεξάγονται, καὶ συνεχῶς ἐπὶ γλώττης ἐστὶν αὐτοῖς ὁ Πάπας. καὶ συντόμως εἰπεῖν, οὐ τοσοῦτον Χριστὸς παρ' αὐτοῖς, ὅσον ὁ Πάπας καταγγέλλεται. καὶ ποικίλοις πως δείκνυται, καὶ σημεῖόν τι ὀρνίου ἀκάκου μὲν δοκοῦσι φέρειν, λαλοῦσι δὲ ὡς δράκων, καὶ προσκυνεῖν ὡς πρῶτον τὸν Πάπαν τοὺς πάντας παρακελεύονται. τῶν δὲ μὴ πειθομένων, μυρίας ὅσας λοιδορίας ἐπιχέουσι. καθὰ δὴ καὶ ὁ τὸ τῶν βλασφημιῶν συντάξας οὑτοσί, Χριστοῦ ἑταῖρος, βιβλίον. ἀπελεγχθείη δ' ἂν ῥᾳδίως ἐν πᾶσι ψευδόμενος, εἴ γε ἓν ἐκ τῶν ὀνειδέων ὧν ἡμῖν ἐπιφορτίζει, ψευδὸς δειχθείη ἀπαρακάλυπτον. ἐν γὰρ τοῖς ἄλλοις αὐτοῦ σκαιωρήμασι, καὶ τοῦτο προσέθηκεν ὁ μάταιος, καὶ τῆς ἀληθείας μακρὰν ἀφιστάμενος, καὶ τῷ ψεύδει μᾶλλον προσκείμενος, τῆς δ' αὐτοαληθείας Ἰησοῦ ὀπαδὸς εἶναι ὑποκρινόμενος, ἐτόλμησε γὰρ εἰπεῖν, ὡς ὁ τῶν Ἱεροσολύμων Πατριάρχης.

χης, νόσῳ συσχεθεὶς ἐν Κωνσταντινουπόλει, καὶ μέλλων τεθνάναι, ἑβραῖον ἑαυτὸν
εἶναι ἀνωμολόγησεν. ὅθεν οἱ χριστιανοὶ ἀκούσαντες, εὐθὺς ᾤχοντο ἀπ' αὐτοῦ,
καὶ ἀποθανόντα οἱ ἑβραῖοι λαβόντες ἔθαψαν. Ταῦτα δὲ πάντα ὅτι ψευδῆ,
οὐκ ἄνθρωποι, ἀλλὰ γῆ, οὐρανὸς, καὶ ἥλιος μαρτυρείτωσαν, καὶ πρὸ πάν-
των, αὐτὸς ὁ τῶν ἁπάντων ἔφορος Θεὸς, ὃς καὶ ἀξίαν αὐτῷ δίκην ἀποτίσει
τῆς βλασφημίας, καὶ πᾶσι τοῖς κατ' αὐτὸν τὰ ἡμέτερα συκοφαντοῦσι καὶ δια-
σύρουσιν, οὕτω γοῦν καταφανοῦς ὄντος τοῦ ψεύδους τούτου, ἐκ τούτου καὶ πρὸς τὰς
λοιπὰς αὐτοῦ φλυαρίας, εἰκάσειεν αὐτὰς τοῦτον ὁμοίως ἐξακολουθοῦντα τῷ
ψεύδει. τοίνυν οὐκ ἐδέησεν ἂν ἡμῖν ἀπολογίας οὐδὲ μιᾶς πρὸς τὰ παρ'
ἐκείνου καθ' ἡμῶν εἰρημένα ὁποῖα ποτ' ἂν ὦσιν, εἰ μὴ βιβλίῳ καὶ τύπῳ οὗτος
τὰ τοιαῦτα αὐτοῦ βωμολοχεύματα ἐξέδοτο διασώζεσθαι δῆθεν ταῦτα καὶ εἰς τοὺς
μεταγενεστέρους. οἵτινες κατὰ τοὺς χρόνους ἐντυγχάνοντες τούτοις μήποτε ὡς
ἀληθῆ παραδέξωνται. λοιδοριῶν γὰρ ἀκούειν χαίρουσι μᾶλλον οἱ ἄνθρωποι, ἢ
σπουδαίων ἄλλων πραγμάτων, τούτου τοιγαροῦν ἕνεκα καὶ ἡμεῖς τὴν πρὸς ἐκεῖνον,
καὶ τὰ παρ' ἐκείνου ἀπάντησιν ἐγγράφως ἐκτιθέμεθα, στηλιτεύοντες αὐτὸν,
οὐ μόνον ψευδόμενον, ἀλλὰ καὶ φύσει μοχθηρᾶς ὄντα φύσεως ἄνθρωπον, κἀκ τῆς
αὐτοῦ μοχθηρίας κινούμενον, δυσμενῶς οὕτω πρὸς ἡμᾶς φερόμενον. Ἄρχομαι δ'
ἐντεῦθεν ἐξελέγχειν αὐτοῦ τὴν πλαστογραφίαν εἴγε ὡς αὐτὸς λέγει, ἐν τῇ Κων-
σταντίνου ταῦτα γεγόνασι, καὶ παρὰ τῶν χριστιανῶν καταληφθεὶς, καὶ δοθεὶς ἑβραί-
οις, τοιοῦτος ὢν αὐτὸς φησὶ Πατριάρχης, πῶς μόνος αὐτὸς οἶδε τοῦτο, τῶν
ἄλλων δ' ἁπάντων οὐδείς; ἀλλ' ὡς ἔοικεν οὐ πάντῃ ψευδὲς τὸ πρᾶγμα τυγχά-
νει, ἀλλ' ἐν μέρει μὲν δοκεῖ ἀληθεύειν, ἐν μέρει δὲ ψεύδεσθαι. ἐνδέχεται γὰρ
μὴ ἐν Κωνσταντινουπόλει, ἀλλ' ἐν ῥώμῃ τοιοῦτόν τι τέρας ἀναφανῆναι, οὔτε μὴν
Πατριάρχην ἕλληνα, τῶν ὧν ἴσμεν τοῦτο παθεῖν, ἀλλ' ἐκ τῶν νόθων ἐκείνων
ψευδολατινοπατριαρχῶν, οὓς καὶ ἀνωτέρω φθάσας ὁ λόγος ἐδήλωσεν, ὁ-
ποῖοί τινες εἰσὶ, καὶ ὅπως σκηνικῶς μᾶλλον ἢ νομίμως παρεβέβληνται τῇ ἐκκλησίᾳ
λατίνων. ἐκ τούτων γὰρ εἴτις ἑβραῖος ὢν μετήρχετο τὰ χριστιανῶν ὑποκριτικῶς,
καὶ τῆς ὀνοματώδους ταύτης Πατριαρχικῆς τιμῆς τοῦτον ἀξιωθῆναι παρὰ τοῦ
Πάπα, οὐ πάνυ ἔοικεν ὁ λόγος ἀπίθανος. πολλοὶ γὰρ παρὰ λατίνοις τοιοῦτοι
Μοναχοὶ, καὶ ἱερεῖς ἑβραῖοι μὲν ὄντες τὰ χριστιανῶν ὑποκρίνονται. καὶ γὰρ τοι-
ούτοις τισὶν ἐν πελοποννήσῳ καὶ ἀλλαχοῦ ἐντετύχομεν. οἵτινες ἀπειπόντες τῇ
ὑποκρίσει, ἐκεῖθεν ἀποδράντες ὡς εἶχον, πρὸς τὴν οἰκείαν αἵρεσιν ἀνέδρα-
μον, μείναντες παρ' ὅλον τὸν βίον παρ' ἑβραίοις. ἐξ ὧν τινὲς μὲν καὶ ἀνα-
γνώστου, ἢ διακόνου, ἕτεροι δὲ καὶ ἱερέως σφραγῖδα λαβεῖν ἔλεγον, ἐμαρτύρει
δ' αὐτοῖς τοῦτο, καὶ ἡ περὶ τὴν νέαν γραφὴν, καὶ τὰς τοῦ Παύλου ἐπιστολὰς, ἐπι-
στήμην, καὶ ἡ τῶν παρὰ λατίνοις θεολόγων ἀκριβὴς μελέτη. διαλεγόμενοι γὰρ
μετὰ χριστιανῶν, ῥήσεις μὲν ἀπὸ τῆς νέας γραφῆς, γνώμας δὲ θεολόγων λα-
τίνων προὐβάλλοντο. καὶ ἀτεχνῶς πᾶσαν τὴν παρὰ λατίνων διδασκομένην χρι-
στιανικὴν ἦσαν ἐκμεμελετηκότες διδασκαλίαν. ἐπανέκαμψαν δ' ὅμως πρὸς
τὴν ἰουδαίων, ὅθεν καὶ ὥρμηντο λατρείαν. Προσθήσω καὶ τοῦτο τοῦ λόγου κατα-
ναγκάζοντος, πρὸς ἀκριβεστέραν παράστασιν τοῦ πράγματος. τὰς διατρι-

βὰς συνέβη μοι ποιῆσαι ποτὲ ἐν αἰγύπτῳ, παρὰ τῷ τῶν σιναϊτῶν ἐκεῖσε ὄντι μοναστηρίῳ, λείπει τὸ, εἰκοστὸν ὄγδοον, ἢ τριακοστὸν πρὸς τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἔτος τὸ σωτήριον, ὅτι φράτορ τις τῶν ἀπὸ τοῦ τάγματος τῶν ἐνταῦθα φραγγισκανῶν, ἀνὴρ ὡς ἔλεγον, οὐκ ἀδόκιμος, ἀλλὰ καὶ θεολόγος, ἐπιδημήσας χάριν δῆθεν προσκυνήσεως τῇ ἁγίᾳ ταύτῃ πόλει. ἐντεῦθεν δ᾽ ἐπαναστὰς, ἐπιδημεῖ τὴν αἴγυπτον, καὶ παρὰ τοῖς ἐκεῖσε Ἰουδαίοις αὐθὺς καταλύει, καὶ τὰ Χριστιανῶν ἀπωσάμενος, Ἰουδαῖος ἀνεφάνη ἐξάπινα. ἦν δὲ ἐκεῖσε τότε ἰατρὸς τις παρὰ τῷ τῶν βενετικῶν πρέσβει ἰταλὸς, ἀπὸ μελίτης ὡς ἔλεγον, ἀνὴρ σοφὸς ὡς ἐδόκει, καὶ ἐπιστήμων, οὗτος ἐπὶ πολλὰς ἡμέρας τῷ καλῷ ἐκείνῳ ἑβραιοφράτορι προσήρχετο, λογικῶς καὶ διαλεκτικῶς συγγινόμενος, ἀλλ᾽ οὐδ᾽ ὅλως ἠδυνήθη τοῦ ἰουδαϊκοῦ τούτου φρονήματος ἀποσπάσαι, ἀλλ᾽ ἔμεινεν οὕτω παρὰ τοῖς ἰουδαίοις τὰ ἐκείνων μέχρι τέλους θρησκεύων. εἰ τοιγαροῦν καὶ ὃν ὁ καλὸς οὗτος ἑταῖρος Χριστοῦ, ὁ καὶ ἰησουΐτης λεγόμενος, τοιοῦτόν τινα Πατριάρχην φησὶν ἰταλὸν Ἱεροσολύμων, ἐν ῥώμῃ παρὰ τοῦ Πάπα ἀναδειχθέντα, καὶ τὸν τρόπον τοῦτον ἀποθανόντα, εἰκὸς ἐστὶν ἐν τῷ μέρει τούτῳ ἀληθεύειν, ψεύδεται δὲ τὸν τόπον ἐναλλάττων, καὶ τὰ ἐν ῥώμῃ συμβάντα, πανούργως ἄγαν ἐν τῇ Κωνσταντίνου γενέσθαι ἀποφαινόμενος. τοῦτο δὲ τὸ ἐφεύρεμα καινὸν παρὰ λατίνοις οὐκ ἔστι, καὶ ἐν ἄλλοις γὰρ πολλοῖς εὑρίσκομεν τούτους τὰ παρ᾽ αὐτοῖς γινόμενα ἀτοπήματα μέγιστά τε ὄντα, καὶ πολλοῖς ὄνειδος πρὸς ἑαυτὰ ἐπισπώμενα, τοῖς ἀνατολικοῖς ἡμῖν ταῦτα ἐπιφορτίζειν πειρωμένους, τὴν γὰρ ἐγκυμονήσασαν πάπισσαν, ἀνερυθριάστως ἀπαυθαδιαζόμενοί τινες αὐτῶν ἐν Κωνσταντινουπόλει τοιοῦτόν τι τέρας φανῆναι εἰπεῖν ἐτόλμησαν, καίπερ τῶν ἰδίων ἱστορικῶν, οὐκ οἶδα εἰ καὶ ἐν ἄλλοις, ὡς ἐν τούτῳ συμφώνως ἐχόντων, τόπον, πρόσωπον, καὶ χρόνον, καθ᾽ ὃν ἐγεγόνει ἐξηκριβωμένως ὁμοῦ γράψαντες, καὶ τόπον μὲν τὴν ῥώμην, πρόσωπον δ᾽ Ἰωάνναν. τὸν δέ γε χρόνον αὐτοὶ λεγέτωσαν, οἱ τὰς ἱστορίας ἀνελίττοντες. δηλοῖ δὲ τοῦτο, καὶ ἡ κοινῶς ᾀδομένη παροιμία.

Πάπας τις ἐγκυμονήσας, τίκτειν ἔμελλεν ὡς θῆλυ.
τοὔνομα δ᾽ ὢν Ἰωάννης, Ἰωάννα μετεκλήθη.
καὶ γυνὴ σαφῶς γνωσθεῖσα, τὸ παιδίον θηλάζει.

Ἀλλὰ καὶ τὸ σχισματικοὺς λέγεσθαι μᾶλλον ἐκείνοις δικαίως ἁρμόζον, ἡμῖν καὶ τοῦτο δίδοασι, μὴ συνιέντες τὸ σχιζόμενον καὶ τὸ ἀφ᾽ οὗ σχίζεται, ὁποῖον ἐστὶν ἑκάτερον. τοῦτον οὖν τὸν τρόπον, καὶ ὁ τὸν Ἰησοῦν ὑποκρινόμενος οὗτος ἐφ᾽ ἡμῖν Πατριάρχην Ἱεροσολύμων ἑβραῖον ἀναφανῆναι τερατεύεται. ἐν ῥώμῃ τυχὸν φανέντα. Τέσσαρας γὰρ ἴσμεν ἡμεῖς καὶ πάντες, πρὸ ἡμῶν Πατριάρχας ἕλληνας ἐν Ἱεροσολύμοις, ἐπὶ τῶν ἡμετέρων ἡμερῶν, καὶ τῶν πατέρων ἡμῶν γεγονότας, Γερμανὸν, Σωφρόνιον, Θεοφάνην, καὶ Παΐσιον. οὗ τὴν διαδοχὴν ἡμεῖς ἐδεξάμεθα. καὶ οἱ μὲν δύο πρῶτοι Γερμανὸς φημὶ, καὶ Σωφρόνιος, ἐνταῦθα τὸ τοῦ βίου πέρας ὁσίως ἐδέξαντο, καὶ τὸ ποίμνιον τοὺς ποιμένας, καὶ τοὺς Πατέρας τὰ τέκνα ἐνεταφίασαν, ὥσπερ τὸν Ἰακὼβ οἱ τούτου παῖδες, καὶ τὰ τούτων λείψανα παρ᾽ ἡμῶν εὐλαβῶς τιμᾶται. τῶν δὲ λοι-

πῶν

τῶν δύο ὁμοῦ Θεοφάνης ἐν Κωνσταντινουπόλει ἐτεθνήκει, ἐν ἰδίῳ καταλύματι,
τῷ παρὰ τῇ ἐκεῖσε ἡμετέρᾳ ἐκκλησίᾳ τοῦ ἁγίου Γεωργίου, ἔνδον τοῦ λεγομένου Φανα-
ρίου, Πελοποννήσιος ἀνὴρ, Ἕλλην τὸ γένος, χριστιανῶν γεννητόρων βλάστη-
μα, σώζονται δ' ἔτι καὶ οἱ τούτου προσγενεῖς, χριστιανοὶ ὄντες, κἂν διαῤῥαγῇ
5 ψευδόμενος ὁ Ἰησοῦ ἐχθρός. ᾧ καὶ τὰ ἔσχατα πνέοντι παρεστήκεισαν ἅπαν-
τες οἱ μετ' αὐτοῦ ὄντες, οὐ μόνον δὲ ἀλλὰ πλῆθος πολὺ λαοῦ συνέτρεχον μετὰ
δακρύων τὰς ἐσχάτας εὐλογίας κομίσασθαι παρ' αὐτοῦ αἰτοῦντες. τὴν δὲ τού-
του κηδείαν οἱ τῶν ἐκλαμπροτάτων αὐθεντῶν Μολδοβίας, καὶ Οὐγκροβλαχίας,
ἐν Κωνσταντινουπόλει ὄντες πρέσβεις, πολυτελέσι δαπάναις ἐτέλεσαν, συγκα-
10 λέσαντες Πατριάρχην οἰκουμενικὸν (Παρθένιος δ' ἦν ἐκεῖνος ὁ πάνυ) καὶ
τὴν ἱερὰν αὐτοῦ σύνοδον τῶν παρατυχόντων ἀρχιερέων, καὶ λοιπῶν τῆς πόλεως
ἱερέων, ἀλλὰ καὶ τῶν ἐπιφανῶν οὐδεὶς ἦν ὁ τῆς κηδείας ἀπολειπόμενος. λαμ-
πρῶς οὖν μετὰ ψαλμῳδιῶν, ὕμνων τε καὶ φωταγωγιῶν, τὰ ὅσια τῷ νεκρῷ
ποιήσαντες ἐν τῇ νήσῳ τῆς Πρώτης ἀποκομίσαντες κατέθεντο παρὰ τῇ ἐκεῖσε
15 ἱερᾷ μονῇ τῆς ἁγίας Τριάδος. ἔνθα τοὺς Πατριάρχας ἔθος ἄνωθεν ἐπι-
κεκράτηκεν ἐνταφιάζεσθαι. καὶ τοιαύτης κηδείας, οὐ μόνον ὡς χριστιανὸς τετύχη-
κεν, ἀλλ' ὅτι καὶ χριστιανῶν ὀρθοδόξων, εὐσεβὴς καὶ ὀρθόδοξος ἐχρημάτισε
Πατριάρχης. καὶ πολλοὺς ἀνέτλη ἱδρῶτάς τε καὶ καμάτους, παρὰ τῶν ἑτερο-
δοξούντων ὑπὲρ συστάσεως τοῦ ἰδίου θρόνου. Ὁ δέ γε πρὸ ἡμῶν ἀοίδιμος
20 κὺρ Παΐσιος, ἀπάρας τῆς Κωνσταντινουπόλεως, καὶ τὸν ἴδιον σπεύδων καταλα-
βεῖν θρόνον. ᾔσθετο περὶ ἑαυτοῦ, ἀσθενὴς ὄντος καὶ πρὸς θάνατον ἐγγίζοντος.
παραμείψας οὖν Καλλιούπολιν, καὶ Μιτυλήνην, ἐλθὼν εἰς Χῖον διέθετο τὰ ἑ-
αυτοῦ. ἐπιτεινομένην δ' ὁρῶν τὴν νόσον, ἔσπευδεν ὅσον τάχος ἐν Ἱεροσολύμοις
δέξασθαι τὸ τοῦ βίου πέρας εἰ δυνατὸν. παραλλάξας οὖν τὴν Ῥόδον, καὶ τὴν νῆσον
25 τὴν λεγομένην Καστελλόῤῥιζον ἐγγύς που τῶν Μύρων τῆς Λυκίας, ἐν ἐρήμῳ τό-
πῳ τελευτᾷ, παρῆσαν δ' αὐτῷ συμπλεόντες, ἀρχιερεὺς Δωρόθεος, ὁ Λύδδης,
ἱερομόναχοι δύο, καὶ δύο διάκονοι (ἐξ ὧν εἷς ἦν ὁ νῦν τῆς ἁγίας πόλεως Ἱε-
ρουσαλὴμ σὺν Θεῷ πατριαρχεύων κὺρ Δοσίθεος) καὶ μοναχοὶ ἕτεροι, σὺν
οἷς καὶ προσκυνηταί τινες οἳ καὶ τὰ νενομισμένα, ἐπὶ τῷ τούτου νεκρῷ, ὡς καιρὸς
30 ἐδίδου ποιήσαντες, τῇ γῇ καλύπτουσι τὸ τούτου μακάριον λείψανον, μετὰ δὲ
παραδρομὴν ἐνιαυσιαίου χρόνου, μετεκομίσθησαν τὰ τούτου ὀστᾶ ἐντίμως ἐν
τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ, συνδρομῇ καὶ ἐπιμελείᾳ τοῦ εἰρημένου νῦν μα-
καριωτάτου Ἱεροσολύμων Πατριάρχου, ἀρχιδιακόνου ἡμετέρου χρηματίζον-
τος τότε, καὶ ἀπεδόθη ὁ ποιμὴν τῇ ποίμνῃ, ὑπὲρ ἧς καὶ τὰς μακρὰς ἦν
35 ἀποδημίας ποιούμενος. Τοιοῦτοι εἰσὶν οἱ πρὸ ἡμῶν Πατριάρχαι, καὶ τοιούτου
βίου πέρας ἐδέξαντο, ὁσίως καὶ εὐλαβῶς τῶν τῇδε ἀπαναστάντες, καὶ πρὸς
τὰ τούτοις ἐν οὐρανοῖς ποθούμενα ἀγαθὰ μεταφοιτήσαντες, καὶ οὕτως ἡμῖν συν-
τόμως ἄγαν ἑκάστου τούτων τὸ τέλος ἐξήλθομεν. λοιπὸν οὖν ἐστὶ τῷ καλῷ μυ-
θοπλάστῃ Ἰησουΐτῃ δεικνύειν ἡμῖν Ἱεροσολύμων Πατριάρχην, τῇ λατρείᾳ τοῦ
40 ἰουδαϊκοῦ νόμου ἐναποψύξαντα, εἰ δ' οὐκ ἔχει, ἐμφραγείη στόμα, τὸ λαλῆ-
σαν κατὰ τῶν δικαίων εἰς τὸ ὕψος ἄδικα, τοιούτου γὰρ στόματος ὁ λάρυγξ, τάφος

ἀνε-

ἀνεωγμένος, καὶ βαρείας ἀπόζων δυσωδίας. Ἀλλ' οὐκ ἐξαρκεῖν δοκεῖ-
μοι δεῖξαι μόνον Ἰησουΐτας ἀεὶ ψευδομένους, ἐν οἷς καθ' ἡμῶν τερατεύονται,
ἂν μὴ καὶ βέβηλόν τινα, καὶ ἀσεβεστάτην αὐτῶν διηγήσομαι πρᾶξιν, τὸ μὲν
ἵνα μὴ πάνυ χαίρειν αὐτοὺς ἐάσωμεν, νομίζοντας ἡμᾶς λανθάνειν τὰ καθ'
αὐτούς. ἃ καὶ αὐτῷ τῷ Πάπᾳ μαθόντι ἀπαίσια κριθήσονται. τὸ δὲ ἵνα τὰ τού-
των ἀποβήματα, μνήμης διηνεκοῦς ἕνεκα, καὶ πρὸς τοὺς ὀψιγόνους ἔχωσι με-
ταβαίνειν. οὐ γὰρ δὴ μόνον αἱ πράξεις τῶν ἀγαθῶν ἀνδρῶν πρὸς μίμησιν ἀρε-
τῆς, ἀλλὰ καὶ αἱ τῶν μοχθηρῶν πρὸς ἀποτροπὴν κακίας, ταῖς ἱστορίαις παρα-
δίδονται. Πανταχοῦ μὲν οὖν γῆς διεσπαρμένους οἴδαμεν Ἰησουΐτας, ὡς δῆθεν
κήρυκας εὐαγγελικοὺς καὶ διδασκάλους, κηρύττουσι δὲ οὐ Χριστὸν, ἀλλὰ πάπαν,
ὃν τρόπον ἀνωτέρω ἡμῖν εἴρηται. οὐ γὰρ ἂν πρὸς τοὺς μὴ σεβομένους τὸν Χριστὸν ἀ-
πίστους, νῦν δὲ ἐκείνων, μηδένα λόγον ποιούμενοι, τοὺς ὄντως Χριστιανοὺς
ἡμᾶς τῆς πατροπαραδότου ὀρθοδόξου ἡμῶν πίστεως ἀποκινεῖν πειρῶνται, διδά-
σκοντες καὶ οὕτω πιστεύειν εἰς πάπαν, ὡς ἔφημεν. εἶτα δυσχεραίνουσιν ἄν τις αὐ-
τοὺς καλέσῃ Παπιστὰς, καὶ μὴ Ἰησουΐτας. πλεονάζει δ' ὅμως ἡ ἐπηρεία τού-
των ἐν Σαρματίᾳ τῇ νῦν Λεχίᾳ λεγομένῃ, παρ' αὐτῶν δὲ Πολωνίᾳ, καὶ
σχεδὸν εἰπεῖν τὴν ἡγεμονίαν ἐκείνην ἅπασαν, ἰδίαν ἑαυτῶν ἡγοῦνται φυτεί-
αν. ὅσα δ' ἐν αὐτῇ κακὰ διεπράξαντο, εἰς ἔτι δὲ καὶ νῦν διαπράττουσιν, ἅ-
τις ἀκριβῶς ἐξιστορῆσαι θελήσειε, μακροτέρων ἂν ἐδεήθη λόγων. τῶν γὰρ ἐν
αὐτῇ πρὸ ὀλίγων χρόνων ἀρξαμένων πολέμων μεγίστων, μετὰ τῶν Ῥώσων
καὶ μὴ παυσαμένων, ἀλλ' ἔτι καὶ πολλῷ μειζόνων ἀπειλουμένων, οἱ καλοὶ Ἰ-
ησουΐται παραίτιοι γνωρίζονται. ἀναμὶξ γὰρ ἐκεῖσε τυγχανόντων, τῶν ἀπὸ τοῦ
ἡμετέρου σεβάσματος μετὰ τῶν τοῦ Πάπα θρησκευμάτων, τέως μὲν εἰρήνην
εἶχον, ἐξὸν ἑκάστῳ τῶν μερῶν θρησκεύειν ὡς ἐκ προγόνων παρείληφε. τῶν δὲ
Ἰησουϊτῶν ἐπιπολασάντων τῷ τόπῳ, ἅπαντας ὑφ' ἓν τῇ Παπικῇ ἐξουσίᾳ, με-
γίστην ὅσην σπουδὴν ἔθεντο συνελάσαι. καὶ τοῖς μὲν πεισθεῖσι τἄλλα πάντα τε-
λεῖν ἐφιᾶσιν, ὡς ἂν ἐθέλοιεν, μόνον δὲ μνημονεύειν ἐπ' ἐκκλησίας τοῦ Πα-
πικοῦ ὀνόματος, καὶ τοῦτον (ὅπερ αὐτοῖς τὸ περισπούδαστον) ἄκρον ἀρχιε-
ρέα, καὶ αὐτοκράτορα, καὶ κεφαλὴν τῆς καθόλου ἐκκλησίας ἀνακηρύττειν,
τούτους καὶ οὐνιάτας, τῇ Λατίνων γλώττῃ καλοῦσιν. ὅπερ ἐστὶν ἡνωμένους,
ταυτὸν εἰπεῖν διῃρημένους, ὁ γὰρ παπισμὸς, ἀπὸ Θεοῦ ἐστὶ χωρισμός. Τοῖς
δ' αὖ μὴ πειθομένοις, ταῖς αὐτῶν πρὸς τοὺς κρατοῦντας μεμηχανευμέ-
ναις ὑποβολαῖς μεγίστην ἐπῆγον βίαν καὶ ἀνάγκην καὶ ὡς ἔπος εἰπεῖν, οὐχ
ὡς ἐλευθέροις, ἀλλ' ὡς δούλοις πικρῶς ἄγαν ἐχρῶντο, ὑστερήσαντες τούτους,
πρῶτον μὲν τῶν πολιτικῶν πραγμάτων ὅπως μὴ τοῖς ἄλλοις ἐξίσου ἔχοι-
εν πολιτεύεσθαι. εἶτα ἑβραίοις ἄρχουσι παρεδίδουν αὐτοὺς, ὑφ' ὧν οἷα
εἰκὸς ἑβραίων ὄντων (ὅσα ὑπὸ τῶν αἰγυπτίων οἱ πάλαι Ἰσραηλῖται) πο-
λλῶν κακῶν ἀπήλαυον. καὶ ταῦτα ὡς εἴπομεν τοῖς Ἰησουΐταις μεμηχάνηται
κατὰ τῶν μὴ πειθομένων αὐτοῖς Ῥώσων. ἕως ὅτου σπινθήρ τις ἀναῤῥιπισθεὶς
ζήλου θείου Αἰχμίλης ἐκεῖνος φημὶ, δέδρακεν αὐτοῖς, ἐκεῖν' ἅπερ καὶ μέχρι τοῦδε
χρόνου, διαβεβοημένα πανταχοῦ τυγχάνει. καὶ ἱστορίας δοθέντα εἰς τοὺς
μετέ-

μετέπειτα διαβέσονται), μνήμης αἰδίου ἕνεκα τῆς ἰησουϊτῶν κακουργίας, καὶ
ὧν περ κακῶν τοῖς ἐκεῖσε χριστιανοῖς τὰς ἀφορμὰς παρέχον. ὃ δὲ ἐξ ἀρ-
χῆς παντελμον αὐτῶν, καὶ πάντων ἀσεβημάτων χείριστον, διηγήσασθαι προῄ-
χθην, καὶ δι' ὃ ταῦτα πάντα διεξῆλθον, λέξων ἤδη ἔρχομαι, ὃ καὶ φρίττω δι-
5 ηγούμενος. δέδια γὰρ μὴ γῆ, καὶ ἀὴρ, καὶ καθαραὶ ἀνθρώπων ἀκοαὶ μολυνθῶσι
τοῖς λεγομένοις. πόλις τίς ἐστιν ἐν αὐτῇ τῇ γερμανίᾳ, νῦν δὲ λεχία λεγομένη,
μεγίστη καὶ περιφανὴς ὥς φασιν, ὀσρόβη καλουμένη. ᾤκει δὲ τὴν πόλιν ἀνὴρ
τις τῶν οὐκ ἀσήμων, Βασίλειος τοὔνομα, κνέζης δὲ τὴν ἀξίαν. τούτου θυ-
γάτηρ μονογενὴς θανόντος κληρονόμος τῆς Πατρικῆς οὐσίας ἐναπελήφθη,
10 Μαρία δὲ καὶ ταύτῃ τὸ προσηγορικόν. ἦν δ' ὁ Βασίλειος οὗτος ἄνωθεν ἐκ προγό-
νων τῇ τῆς ἀνατολικῆς ἐκκλησίας δόξῃ προσκείμενος. καὶ ὁμοῦ τῇ καλῇ ταύτῃ
ὁμολογίᾳ τῆς πίστεως συναπῆλθε τῶν τῇδε. ἡ δὲ τρισκακοδαίμων τούτου θυ-
γάτηρ μαρία, ἀπορφανισθεῖσα, παρ' ἀμφοτέρων τῶν γεννητόρων, ἐμπέ-
πτωκε ταῖς παγίσιν ἰησουΐτου τινός. πρὸς ἣν καθ' ἑκάστην παραβάλλων τὸν πα-
15 πισμὸν (οὐδὲν γὰρ ἕτερον εἶχε διδάξαι) εἰσηγεῖτο ταύτῃ. εἶξεν οὖν διὰ μικροῦ
χρόνου τῇ ἀπάτῃ, τὸ τρισάθλιον ἐκεῖνο γύναιον. πῶς γὰρ οὐκ ἔμελλεν ἀσθενοῦς
καὶ φύσεως καὶ διανοίας, οἷα γυνὴ, τυγχάνουσα, ὅπουγε ὥς φασι, καὶ ῥανὶς ἐν
δελεχίζουσα πέτραν κοιλαίνει. ἀλλ' οὔπω τοῦτο δεινὸν, πρὸς τὸ μετέπειτα δυ-
σσεβὲς ἔργον τοῦ τοῦ Ἰησοῦ ὑπάρχει. συνεχῶς οὖν πρὸς αὐτὴν πνευματικῆς
20 νουθεσίας χάριν ἐρχόμενος. τὸν παπισμὸν, καὶ ὅσ' ἄλλα παρακολουθήματα
τυγχάνει ὄντα τοῦ παπισμοῦ νουθετῶν ἐδίδασκε τὴν δυστυχῆ. προτείνων δ' ἀεὶ
ὡς τοῦ λόγου δῆθεν θεμέλιον, ὑπεύθυνον λέγων, ὡς οὐδεὶς ἄλλος σωτηρίας τυχεῖν
δύναται, ὅτι μὴ οἱ τῷ Πάπᾳ προσκείμενοι καὶ πιστεύοντες εἰς αὐτόν. πυνθα-
νομένης δὲ τῆς γυναικὸς, τί δὲ οἱ λοιποὶ χριστιανοί; πάντες ἔφη, οὐκ ἐν τῇ μοίρᾳ
25 τῶν σωζομένων εἰσὶν, ἀλλ' ἐν τῇ τῶν κολασθησομένων οἷάπερ ἀπειθεῖς τῷ Πά-
πᾳ. Ταῖς οὖν τοιαύταις τοῦ πνευματικοῦ δῆθεν ἀνδρὸς διδασκαλίαις καὶ ἀπο-
φάσεσι συναρπασθεῖσα ἡ γυνὴ, εἰς μνήμην ἦλθε τῶν γεννητόρων, ὡς δῆθεν
σωτηρίας ἐλπίδα μὴ ἐχόντων, ἤρξατο οὖν θρήνοις κόπτειν, καὶ ὀδυρμοῖς δα-
κρύων ἑαυτὴν κατατρύχειν. φύσει γὰρ εὐσυμπάθητον τὸ γυναικεῖον φῦλον,
30 καὶ μάλιστα ὅτε περὶ ψυχῆς, καὶ ταύτης τῶν γεννητόρων, ὁ ὑφορώμενος κίνδυνος.
οὐαίμοι λέγουσα τῇ ἀθλίᾳ, τίμοι τὸ κέρδος, ἐκ τοῦ σωθῆναί με, τῶν ἐμῶν
γονέων ἀπολεσθέντων. καὶ ἦν τοῖς τοιούτοις λογισμοῖς ἀσχάλλουσα καὶ δυσφοροῦσα,
καὶ οἷα πολλάκις ἀφόρητος ἐμποιεῖ λύπη, τοιαῦτα δὲ συνέβη, καὶ τῷδε τῷ
γυναίῳ. ἡ γὰρ ξένη ἢ μᾶλλον ἐξάγιστος αὕτη, τοῦ ἰησουΐτου διδασκαλία, ἀ-
35 μηχανίαν ἐπεποιήκατο τῷ γυναίῳ, καὶ τοῖς πᾶσιν ἀπειπεῖν παρεσκεύασεν,
ὡς καὶ τῆς ἰδίας καταγνῶναι σωτηρίας. εἴθε κἀγὼ γὰρ ἦν λέγουσα, συνοδυνώ-
μην καὶ συναπολώμην τοῖς γεννήτορσιν, ἐν τῇ μελλούσῃ τοῦ πυρὸς γεέννῃ, οὐδένα
γὰρ λόγον ποιοῦμαι τῆς ἐμῆς ψυχῆς, ἐκείνων μὴ σωθέντων, ταῦτα τοι καὶ τούτων
οἰκτρότερα, πρὸς τὸν ἰησουΐτην, ἑκάστοτε ἀποδυρομένη, καὶ προσανακλαίουσα,
40 λόγοις παντοίοις καὶ ποικίλοις ἐκεῖνος, ἀνακτήσασθαι ταύτην, καὶ τοῦ λογισμοῦ
ἐκείνου ἀπαλλάττειν ἐπειρᾶτο. μηδόλως δὲ τοῖς λόγοις πείθειν δυνάμενος,

ἔργῳ

ἔργῳ βεβήλῳ καὶ ἀνοσίῳ μεμηχάνηται, τὸ ἀφόρητον ἀφελεῖν τῆς λύπης. καὶ κακῷ χείρονι τὸ ἔλαττον θεραπεῦσαι. μὴ ἀθύμει λέγει, ἐλθὼν πρὸς αὐτήν. ἔστι γὰρ τρόπος καινὸς, ὡς καὶ σὲ αὐτὴν, σωτηρίας τυχεῖν. ὅτι τῇ μητρὶ καθολικῇ ῥωμαϊκῇ ἐκκλησίᾳ, τρόποι πολλοὶ σωτηρίας τυγχάνουσι, δεδειγμένοι καὶ τῶν ἐν ᾅδου κολαζομέναις ψυχαῖς. ἀκούσασα τοίνυν ἡ δύστηνος, καὶ ὑπὸ περιχαρείας ἔνδακρυς γινομένη, οὐκ ἂν φθάνοις πρὸς τοῦτον ἔφη τὸν τρόπον διερμηνεύων μοι. ὁ δὲ, εἴγε ἀνορυχθῶσιν εἶπε τὰ τούτων ὀστᾶ, καὶ βαπτισθῶσιν ὑπὸ καθολικοῦ ἱερέως, καθολικοὶ καὶ οὗτοι ἀθρέως δειχθήσονται. πείθεται τῇ ἀπάτῃ τὸ γύναιον, καὶ δὴ ἐλθόντες (φρῖξον ἥλιε, καὶ οἱ τοῦ οὐρανοῦ ἀστέρες, οἱ καὶ ἰδόντες τὸ τόλμημα, νυκτὸς γὰρ ἐγεγόνει) ἀνορύττουσι τοὺς τάφους τῶν νεκρῶν, παρεστωμένης καὶ ὁρώσης τῆς θυγατρὸς αὐτῶν, ἐξάγουσί τε τὰ ὀστᾶ καὶ ἐπιδεξάμενος ὁ ἰησουΐτης τῷ προσκομισθέντι ὕδατι, ἐπέῤῥανεν αὐτὸ τοῖς ὀστέοις, διὰ τῆς συνήθους λεγομένης ἐπικλήσεως τοῖς βαπτιζομένοις, μετονομάσας τὸν μὲν Βασίλειον, Ἰωάννην. τὴν δὲ σύζυγον τούτου (μετονόμασε γὰρ καὶ αὐτὴν) οὐκ εἶχον ἀκριβῶς οἱ ἀπαγγείλαντες, εἰπεῖν τοὔνομα. οὐ γὰρ ἔλεγον σώζεσθαι τῇ τούτων μνήμῃ, καίπερ ἀκηκοότες ἦσαν. εἶτ' αὖθις τῷ τάφῳ δόντες τὰ λείψανα, καλύπτουσιν, ἅπτε εἰπόντος τοῦ ἰησουΐτου, εἰς παράδοξον, ἰδοὺ καθολικοὶ γεγόνατε. Τοῦτο χεῖρον καὶ μεῖζον ἀσέβημα, τοῦ παρὰ τῶν Φρατόρων ἐνταῦθα γινομένου. ἔστι γὰρ κακοῦ κακὸν χεῖρον ἄλλο, καὶ δυσσεβείας δυσσέβεια ἐλαφροτέρα. καὶ εἰ πᾶσα δυσσέβεια πόῤῥω Θεοῦ ἀποτειχίζει τὸν ἔχοντα, ἀλλ' οὖν ἡ μᾶλλον ἰάσιμος τῆς ἀνιάτου κρείττων δοκεῖ. τὸ μὲν δὴ τῶν Φρατόρων, ἐπαχθὲς ὡς παράνομον. τὸ δέγε ἰησουϊτῶν ἐπαχθέστερον, καὶ ἥκιστα φορητὸν ὡς μηδέποτε τετολμημένον. καὶ ὅτι ἀναβαπτισμοὺς ζώντων ἀνδρῶν γινομένους ἴσμεν, διά τινων αἱρετικῶν (εἰ καὶ λίαν δυσσεβῶς οἱ Φράτορες ὀρθῶς καὶ ἀληθῶς βαπτισθεῖσιν, ἡμῖν ἐφαρμόζειν οἴονται) γυμνοῖς δ' ὀστέοις νεκρῶν βάπτισμα ἐπάγειν, οὐχ ἡμέτερον ἐστὶ δικάζειν. παραγράφεται παρὰ τοῖς δυτικοῖς (τόγε νῦν ἔχον) οὐ μόνοις ψῆφος καὶ κρίσις, ἀλλὰ καὶ μαρτυρία. ἐπιτρεπτέον οὖν τὴν δίκην, τῷ Κορυφαίῳ πάντων τῶν δυτικῶν, καὶ αὐτῶν ἰησουϊτῶν Πάπᾳ. ὅσγε εἰ βουλητὸν ἐστὶν αὐτῷ, δύναται ἀκριβῆ τοῦ πράγματος ἔρευναν ποιήσασθαι. ἡμεῖς γὰρ τόπον μόνον καὶ πρόσωπα εἰρήκαμεν. εἰ δ' ἐθέλεται σιγῇ τὸ πρᾶγμα παρελθέτω, δέει τυχὸν τῆς ἰσχύος τοῦ τῶν ἰησουϊτῶν τάγματος, ἡμεῖς δὲ καθ' ἑαυτοὺς ἀναλογιζόμενοι τοῦτο, πάντων δυσσεβημάτων δυσσεβέστατον ἡγούμεθα, οὐ μόνον δὲ, ἀλλὰ γελοῖον ὅτι μάλιστα, τῷ τρόπῳ γὰρ τούτῳ τοῦ βαπτίσματος, δύνανται πάντες οἱ νεκροὶ, ὁποίου ἂν ὦσι θρησκεύματος βαπτισθῆναί τε καὶ σωθῆναι. Τοῦτό σοι, ὦ Χριστοῦ ἑταῖρε, τὸ παρ' ἡμῶν ὀφειλόμενον, ἀνθ' ὧν πολλῶν καθ' ἡμῶν κατέβαλλες βλασφημιῶν. καὶ ἀντὶ τοῦ πλαστογραφομένου σου Πατριάρχου Ἱεροσολύμων, καὶ εἰ μὲν ἄρτιον, καὶ σὺν τόκῳ, ὡς ὑπεσχέθημεν ἀποδέδοταί σοι, χάριτας τῆς εὐγνωμοσύνης ἡμῖν ὀφείλεις ὁμολογεῖν. εἰ δ' οὐ, αὐτὸς ὁ τὰ ἐλλείποντα ἀναπληρῶν Θεὸς, ἑπταπλασίονα εἰς τὸν κόλπον ἀποδώσει σοι.

ἵνα

ἵνα δὲ καὶ ὁμηρικῶς τι προσφθέγξωμαι. τοῦτό σοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτε
δῶκας Πατριάρχῃ εὐσεβεῖ. καὶ εἰ μὲν βαρυστενάχεις, ἀλγῶν τῇ βολῇ τοῦ το-
ξεύματος, ἀλλὰ μάθε μὴ τοὺς γάμους τῆς σώφρονος πηνελόπης ἐπιβουλεύ-
ων, ἔτι ζῶντος ὀδυσσέως, εἰ καὶ δυσείμονος, καὶ τῷ δοκεῖν ἀγνώστου ἀλλὰ πα-
5 ρόντος. Παραπλήσια ἄττα καὶ πρὸς τοὺς ἐξ ἀρχῆς ὁ λόγος ὥρμητο φρά-
τορας, εἰπεῖν εἴχομεν, καὶ ὡς ἐπιλόγῳ βραχεῖ, τέλος τοῖς ῥηθεῖσιν ἐπι-
θεῖναι, εἰ μὴ αὐτοὶ οὔπω μεταξὺ λεγόντων ἡμῶν προλαβόντες ἔργοις χειρίστοις
ὅτι μάλιστα, τοὺς ἡμετέρους προσεπιβεβαίωσαν λόγους. ἡμῖν μὲν γὰρ σκοπὸς,
τὰ τούτων καινοτομήματα διελέγξαι, ὅσα περὶ ἐκκλησιαστικῶν πραγμάτων
10 κεκαινοτομήκασιν οὐ καλῶς. οὗτοι δὲ καινότερα, καὶ ἥκιστα φορητὰ διαπρα-
ξάμενοι ἔναγχος, ἔνδον τοῦ δεσποτικοῦ καὶ ζωοδόχου τάφου Χριστοῦ, οὐ μόνον
ὡς ἐφάνη καινοτόμους, ἀλλὰ καὶ ἐργάτας λῃστρικῆς ἐφόδου, καὶ ἀνδροφόνους
ἑαυτοὺς ἀριδήλως ἀπέδειξαν. ταῦτά με ὥσπερ ἵππον δρομάδα, πλήκτρῳ
κεντοῦντα ἵστασθαι οὐκ ἐᾷ, ἀλλὰ τὸν διορισθέντα ποιεῖ καταλαβεῖν. οὕτω δὴ
15 ξυνέβημεν, ἑκόντι ἀέκοντί γε θυμῷ, ἕτερα τοῖς προτέροις καινοῖς χείρονα προ-
στεθῆναι. Τίνα δὴ ταῦτα; τὰ δυσσεβῶς ἄγαν, ὡς εἴπομεν, ἐχθὲς ὑπὸ τοῖς
χριστοῖς φράτορσιν, ἔνδον τοῦ ἁγίου τάφου, τολμηθέντα καθ' ἡμῶν. ἃ οὐδ'
ὡράθησαν, οὔτ' ἠκούσθησαν ἐνταυθοῖ περὶ πολλοῦ πάνυ τοῦ χρόνου γινόμενα. μαν-
θάνομεν γὰρ ἐκ τῶν ἱστοριῶν μόνον, παρὰ τῶν αἱρετικῶν λῃστρικὰς, κατὰ τῶν ὀρ-
20 θοδόξων ἐφόδους βαρείας γενομένας ἀρειανῶν, Μακεδονιανῶν, Νεστοριανῶν
καὶ ἄλλων οὐκ ὀλίγων, ταύτας δὲ ἀκοῇ φημὶ παρεδεξάμεθα. νῦν δὲ καὶ ὀφ-
θαλμοῖς αὐτοῖς γινομένας ἑωράκαμεν, παρὰ τῶν τὰ τραχέα καὶ εὐτελῆ ῥά-
κη, περικειμένων φρατόρων, καὶ τῶν τὰς βαθείας καλύπτρας κατὰ κεφαλῆς
ἐπιφερομένων. οἱ καὶ τῶν ἰδίων φωλεῶν (οὐ γὰρ ἔχω λέγειν οἰκιῶν. αὕτη γὰρ
25 ἀνθρώπων) προκύπτοντες, κάτω πρὸς γῆν νεύουσι τοὺς ὀφθαλμοὺς. οἱ δὲ πόδες
αὐτῶν ταχινοὶ εἰς τὸ ἐκχέαι αἷμα. Ὁπόθεν δ' ἄρξασθαι διαπορῶ τοῦ πικροῦ
τούτου διηγήματος, ἐκ τῆς ἄνωθεν, πρὸς ἡμᾶς τῶν φρατόρων ἀδίκου δυσμενεί-
ας; ἢ ἐκ τῶν ὁσημέραι, καθ' ἡμῶν ἐπιβουλῶν καὶ ἐνέδρων τούτων; ἢ τῆς ἀμό-
τητος, καὶ τῆς γνώμης σκαιότητος, τῆς τῷ ὑποκριτικῷ ἤθει κρυπτομένης;
30 ἀλλ' ἔμπης καὶ οὕτω διακείμενος, τῶν ἄλλων ἁπάντων ἀφέμενος (ἵνα μὴ
ἐκτραγῳδίας δικανικοὺς λόγους ἐνστήσωμαι, κατηγορῶν ἅμα κἀνταῦθα, καὶ
ὑπεραπολογούμενος) λέξων μόνον ἔρχομαι γυμνὰ τὰ παρόντα δεινὰ,
καὶ ταῦτα οὐκ ἀδακρυτί, οὐ κατεσπάδην δὲ ὡς ἐγεγόνει, μακροτέρων γὰρ δεη-
θήσομαι θρήνων, ὑφ' ὧν πολλάκις, καὶ νοῦν συγχεῖσθαι, καὶ γλῶτταν τῇ πολλῇ
35 ἀθυμίᾳ συμβαίνει δεσμεῖσθαι. ἔχει τοίνυν οὕτω τὰ γεγονότα, συντόμως
φάναι. Κατὰ γὰρ τὸ ἐνεστὸς ἔτος: αχοδ. μηνὸς ἀρχομένου μαρτίου, ἑβδομὰς
αὕτη παρ' ἡμῶν ἄγεται τῶν ἁγίων νηστειῶν ἡ πρώτη. ἐν ᾗ οἱ πλείους τῶν ἡμε-
τέρων χριστιανῶν, μάλιστα δ' οἱ μονάζοντες, ἀσιτίαν παντελῆ τριήμερον,
νυξὶν αὐταῖς, διατελοῦσι, κἂν γοῦν ὕδατος μὴ μεταλαμβάνοντες. Συνέβη
40 δὲ κατὰ τὸ γρηγοριανὸν ἐκεῖνο καλενδάριον τὸ νέον, παρὰ λατίνοις ἑβδομάδα
εἶναι τὴν τῶν βαΐων. εἰσήγαγον οὖν οἱ φράτορες, ἀπὸ τῆς: β: τῆς ἑβδομάδος, ἔνδον

Παροιμ: ί.

τοῦ ναοῦ τοῦ ἁγίου τάφου, ἄνδρας ἐπιλέκτους ἐκ τῶν ἰδίων, εἴκοσι τὸν ἀριθμὸν
ῥώμῃ σώματος, καὶ ψυχῆς θηριωδίᾳ τῶν ἄλλων ὑπερέχοντας, οὕτω τὴν γα-
ροῦν σχῆμα μὲν ἦσαν περικείμενοι φρατορικὸν, εἰ δ' ἀληθῶς καὶ φράτορες ἐ-
τύγχανον, οὔπω καὶ νῦν σαφῶς εἰπεῖν ἔχομεν, εἰσῆλθον ὅμως κοσμήσοντες
δῆθεν τὸ ἴδιον ἀλτάριον διὰ τὴν αὐτῶν ἑορτήν. ἐφάνησαν δὲ πάντες μετὰ 5
ῥοπάλων αἴφνης ἔνοπλοι. προϋπῆρχον καὶ ἡμέτεροι ἅπαντες ἑπτὰ, μηδὲν
οὐδέποτε, οἷον πεπόνθασιν ἐλπίζοντες παρ' αὐτῶν παθεῖν, ἀλλ' ἔμενον ἔνδον
σὺν αὐτοῖς, ὡς ἔθος, κλεισὶν ἐναποκεκλεισμένοι. καὶ τῇ πρώτῃ ἡμέρᾳ, ἥ-
τις ἦν, ὡς ἔφημεν δευτέρα τῆς ἑβδομάδος, κοσμεῖν ἤρξαντο. τῇ δ' ἐπιού-
σῃ, ἢ καὶ τρίτῃ ἐξώπου τῶν συγκεχωρημένων αὐτοῖς παρ' ἡμῶν ὁρίων βαίνειν 10
ἤρξαντο καὶ κοσμεῖν, ἰδιοποιούμενοι δῆθεν τῇ ἑαυτῶν αὐθαδείᾳ, καὶ τὸν ἡμέ-
τερον χῶρον. ἦν δ' οὗτος περὶ οὗ καὶ ἡ διαμάχη, καὶ οἱ φόνοι, τὸ ἄνω τοῦ κου-
βουκλίου τοῦ ἁγίου τάφου μέρος. ᾧ καὶ κανδῆλαι ἡμέτεραι ἐπικρέμανται. ἀ-
νελθόντες δὲ τῶν φρατόρων ἐκεῖσε ἕξ, σαροῦν καὶ κοσμεῖν ἐπεχείρουν. ἀνελ-
θὼν οὖν καί τις τῶν ἡμετέρων προσηνῶς ἄγαν, λόγοις μετὰ πρᾳότητος ἐπει- 15
ρᾶτο κωλύειν. οἱ δὲ κάτω ῥίπτειν αὐτὸν ἐπεχείρουν, τοῦ σφῶν ἐκεῖσε προεστῶ-
τος, πρίορου λατίνων γλώττῃ λεγομένου κάτωθεν ἱσταμένου λόγοις καὶ σχή-
ματι διακελευομένου. καὶ δῆλον ἐκ τούτου, προπαρασκευασμὸν εἶναι, τὸ
ληστρικῶς ἐπιπεσεῖν, τοῖς ὅπως δήποτε ὑπαντιάσασιν, ὡς δ' ᾔσθετο ὁ μονα-
χὸς, ὡς εἶχε τάχους κατελθὼν, φυγῇ τὴν σωτηρίαν ἐπραγματεύσατο. 20
προσελθὼν δ' ἕτερος ἵνα μεταθείη τὴν κλίμακα, τρεῖς ἐκ τῶν κάτω με-
τὰ ῥοπάλων ἐπέπεσον αὐτῷ, καὶ κατὰ τοῦ τένοντος βαρεῖαν δεξάμενος, πρη-
νὴς ἐκτετάνυσο. οὕτω δὲ κειμένου, οἱ τρεῖς ἀπὸ τοῦ τραχήλου ἄχρι τῶν ποδῶν
ἀφειδῶς ἐμάστιζον, ἕως οὗ ὁλόσωμον συντρίψαντες ἀνεχώρησαν, ὃς καὶ
μετὰ τρίτην ἡμέραν ἐτεθνήκει. τούτου δὲ οὕτω κειμένου ἀφώνου, ἑτερός τις ἱερο- 25
μόναχος τῶν ἐκεῖσε, περιαλγὴς γενόμενος ἔδραμε τὸν κείμενον ὑφελκύσαι
καὶ τῶν τυπτόντων ἐξελέσθαι. προὔλαβε δὲ τὴν ὁρμὴν τούτου, εἷς τῶν ἄνω τοῦ
κουβουκλίου ἑστώτων φρατόρων, πλάκα κατὰ τῆς κεφαλῆς αὐτοῦ ῥίψας. καὶ βα-
λὼν οὐ μόνον τῆς ὁρμῆς ἔστησεν, ἀλλὰ καὶ περὶ γῆν πεσεῖν ἐποίησε. καὶ κρουνηδὸν
εὐθὺς ῥεῦσαν τὸ αἷμα, τὸ ἱερὸν ἔδαφος ἐφοίνισε. δραμὼν δὲ καὶ ἕτερος 30
κἂν γοῦν ἕνα τῶν κειμένων ὑφελεῖν (τύπτοντες γὰρ ἦσαν ἔτι) καὶ αὖ ἄλλος,
κακῶς καὶ οὗτοι τυπτόμενοι καὶ βαλλόμενοι, ἀπηλλάγησαν, ἕως ἀποκαμόντες
τύπτοντες, καὶ ἤδη τεθνηκότας νομίσαντες εἴασαν αὐτούς. καὶ ὁ μὲν ἱερομό-
ναχος μικρὸν ἀνενεγκὼν, ἕρπων ταῖς χερσὶ καὶ τοῖς γόνασιν, ὅπου ἵσταντο
μακρόθεν οἱ ἡμέτεροι ἦλθε. τοῦτο μόνον εἰπὼν, συγχωρεῖτε ἀδελφοὶ καὶ Πατέρες, 35
ἤδη γὰρ ἐπείγομαι τὴν πρὸς θάνατον. ἔκτοτε δὲ καὶ μέχρι τῆσδε πέμπτην ἡμέραν
διατελῶν, ἄφωνος κεῖται, μᾶλλον πρὸς θάνατον, ἢ πρὸς ζωὴν ἀφορῶν. Τοιαύτας
ἑορτὰς, οἱ εὐλαβέστατοι, καὶ χριστιανικώτατοι φράτορες ἐπιτελοῦσιν ἐνταῦθα
μακρὰ πελάγη, δυσμόθεν ὁρμώμενοι, διαπερῶντες. οὕτως ἐδωροφόρη-
σαν τὴν αὐτῶν ἑορτὴν τῶν βαΐων. ἐμιμήθησαν ὄντως τοὺς ὑπαντήσαντας 40
Χριστῷ. ἐκείνων μὲν οἱ πλεῖστοι παῖδες ἦσαν ἀπειρόκακοι, οὗτοι δὲ πάσῃ

κακίᾳ

κακίᾳ συντεθραμμένοι, ἐκεῖνοι μετὰ κλάδων καὶ βαΐων, οὗτοι μετὰ λίθων
καὶ ῥοπάλων. κἀκεῖνοι ἐστρώννυον ἐν τῇ ὁδῷ τὰ ἱμάτια, οἱ δὲ φράτορες ἐφοί-
νισσον τὸ ἱερὸν τοῦ ἁγίου τάφου ἔδαφος, ἀδελφῶν αἵμασιν. ἐκεῖνοι κλάδους
βαΐων, καὶ οὗτοι αἵματα ἀθῴων ἐν ταῖς χερσίν. ἐκ τῶν ἐκείνων στομάτων φωνὴ
5 αἴνου πρὸς Θεὸν κατηρτίζετο, ταῖς δὲ τῶν φρατόρων καρδίαις, ἐνηχεῖται φω-
ναῖς ἀλαλήτοις τὸ τοῦ ἀδελφοκτόνου Κάϊν. φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ   Γένεσ: δ.
πρός με ἐκ τῆς ἁγίας μου ταύτης γῆς. καὶ νῦν δ' ἐπιστᾶσα, ἡ κατ' αὐτοὺς τῶν
τοῦ σωτῆρος παθῶν ἑβδομὰς, τῇ τῶν Ἰουδαίων, τὴν ἑαυτῶν συνανακιρνᾶσι μι-
αιφονίαν, μέλλουσι καὶ ἀνάστασιν ἐκτελέσαι καὶ πάσχα, οὐκ οἶδα δὲ εἰ καὶ ἀθῷοι
10 ἀφεθήσονται ἀπὸ δικαίου αἵματος, ὅπου γε μονονουχὶ ταῖς αὐταῖς φωναῖς τῶν
χριστοκτόνων Ἰουδαίων ἐχρῶντο, λέγοντες τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς. ἀλλήλους
γὰρ παρώτρυνον, μᾶλλον δὲ πάντων ὁ ἐκείνων αὐτῶν πρόεδρος. ὃν καὶ φθάσαν-
τες εἴπομεν. ὃς φωναῖς ἀτάκτοις, σχήμασί τε καὶ κινήμασιν ἑωρᾶτο βοῶν,
βάλλε, πλῆττε λέγων, κἀγὼ λόγον ὑφέξω· προῄδει γὰρ τὸν ἀθῳώσοντα χρυ-
15 σὸν, ἐξ Ἱσπανίας πολυτάλαντον, διακομιζόμενον, χρυσὸν τὸν δεινὸν κακίας
ὑπασπιστὴν, τὸν τολμητίαν, τὸν ὑβριστὴν τὸν παντὸς ὀλεθρίου πάθους συνήγο-
ρον. δι' οὗ τοῖς φράτορσι πᾶν τὸ βουλητὸν ἐξανύεται, ὡς καὶ ἀνωτέρω ἀρχόμενοι
ἔφημεν. προέφθασαν γὰρ καὶ ταῦτα νυκτὸς δι' ὅλης ἐκείνης προνοστοῦντες,
κλείσαντες καθ' ἡμῶν τὰς τῶν πολλῶν ἀκοὰς, καὶ μάλιστα τῶν προὐχόντων,
20 καὶ προκαθεζομένων τῆς πόλεως. συνείργει δὲ πρὸς ἅπαντα ταῦτα, ἐπιδημή-
σας ὧδε (ὡς μὴ ὤφειλεν) ὁ τῶν γάλλων πρέσβυς Δεουτελ ὀνόματι. ἀπὸ
γὰρ Κωνσταντινουπόλεως, μετὰ πλείστης ἔσης οὗτος σοβαρότητος ἀπάρας, σὺν οὐκ
ὀλίγῃ τῇ ἀλαζονίᾳ. καὶ δι' ἑτέρας ἄλλας, ὥς φασιν, αὐτοῦ χρείας, ἀλλ' ὡς
δῆθεν καὶ τῇ ἁγίᾳ ταύτῃ ἐπιδημῆσαι γῇ προσκυνήσεως χάριν, πρεσβεύσεως δὲ
25 καὶ ἱστορίας τὸ πλέον. τὰς οὖν κυκλάδας τῶν νήσων παραπλεύσας, καὶ τὴν
ῥόδον παραμείψας, διὰ παμφυλίας, καὶ τοῦ ἰσσικοῦ λεγομένου κόλπου, εἰς
τὰς τῆς φοινίκης κατήντησε πόλεις. ἐκεῖθεν δὲ ταχυδρόμῳ χρησάμενος γρά-
φει πρὸς τοὺς ἐν ταῦθα φράτορας τὴν αὐτοῦ δηλῶν ἄφιξιν. οἱ δὲ τὴν ἀγγελίαν
ἀσμένως ὡς ἑρμαῖόν τι δεξάμενοι. τί οὐκ ἔπραττον, τί δὲ οὐκ ἔλεγον; ἐκρό-
30 τουν, ἐσκίρτων, καὶ κορύβαντες ὥσπερ ἄλλοι, καὶ μαινόμενοι ὑφ' ἡδονῆς ἦσαν.
ἐνόμιζον γὰρ μέγα τι ἡμῖν πῆμα ἔσεσθαι τὴν ἐκείνου ἐπιδημίαν. θάρσους οὖν
πλησθέντες πολλοῦ ὁρμῇ ἀσχέτῳ καὶ τῶν πραγμάτων ἐχρῶντο. ἐκείνου γὰρ
ἔπειτα τῷ τῆς Ἰόππης λιμένι προσορμισθέντος, κἀκεῖσε διακαρτεροῦντος οἱ φρά-
τορες ἐν ταῦθα τὰ δοκοῦντα σφίσι διέπραττον ἀδεῶς, ἐλπίζοντες τῇ ἐκείνου
35 ὑπεροχικῇ ἀξίᾳ πάντα κατὰ σκοπὸν αὐτοῖς γενήσεσθαι. καὶ τὰ δυσσεβῆ τούτων
ἔργα ὡς ὅσια καὶ δίκαια ἀποδέξεσθαι. καὶ τοὺς ὑπαιτίους, ἀναιτίους, ὑπευθύνους
δὲ τοὺς ἀθῴους ἡμᾶς ἀποφανεῖσθαι καίγε τῆς ἐλπίδος οὐ διήμαρτον. τριταῖος γὰρ
οὗτος ἀπὸ ἰόππης, εἰς Ἱερουσαλὴμ ἀνελθὼν, πρὸς τοὺς φονευτὰς, καὶ φο-
νῶντας ἔτι γενομένους παρ' αὐτοῖς καταλύσας, διετέθη, σὺν οἷς ἅπασι, μεθ'
40 ἑαυτοῦ ἐπαγόμενος εἶχεν, ὄντας ὑπὲρ τοὺς ὀγδοήκοντα, μεθ' ὧν δορυφο-
ρούμενος, εἰσῆλθε καὶ προσκυνήσων, τὸν ἁγιώτατον ναὸν τοῦ Χριστοῦ Ἀναστά-
σεως,

σεως, ὅτε καὶ τοῖς ἔτι ἀτμίζουσιν αἵμασι τῶν φονευθέντων ἀπέβη, μηδὲν γὰρ τὸ πρᾶγμα λογισάμενος ἢ ζητῶν τὰς ἑαυτοῦ φανταστώδεις φιλοτιμίας, δυσφορῶν καὶ ὀργιζόμενος, καὶ τὰ μέγιστα ἡμῖν ἀπειλῶν, μὴ ἐξελθοῦσι τῆς πόλεως, εἰς προϋπάντησιν, εἰσιόντι αὐτῷ, καὶ προπεμπομένῳ ὑπὸ τῶν φρατόρων. μετὰ γὰρ σαλπίγγων εἰσίῃ, ὡς βασιλικοὺς φασὶ πρέσβεις. Ταῦτα ὁ ἐξοχώτατος καὶ μεγαλοπρεπέστατος ἐπανατείνεται πρέσβις, αἰτιώμενος ἡμᾶς, μὴ προσήνεγκεν αὐτῷ τιμὴν ἀπονείμαντας. προστάσσων ὅτι, εἰ καὶ εἰσιόντι, οὐ προσυπαντήσαιμεν, ἀλλὰ εἰσελθόντι ἔδει προσελθεῖν, καὶ ὑποκύψαντας προσκυνῆσαι, εἰ δ᾽ οὐδὲ τοῦτο ἠξιώσαμεν, ἀλλὰ κἂν γοῦν εἰσοικισθέντι τινὰς ἐχρῆν ἐκ τῶν ἡμετέρων, καὶ εἰ μὴ ἐκ τῶν ἐγκρίτων, ἀλλ᾽ ἀρκετὸν ἂν εἴη ἐκ τῶν ὑποδεεστέρων. καὶ ὡς παρ᾽ ἡμῶν προσπτύξαντες προσκυνῆσαι τὸ κράτος τῆς ἐξουσίας αὐτοῦ.

Τοιαῦτα τοιγαροῦν μεγαλορρημονῶν ὁ βασιλικώτατος, δοκεῖ πως ἀναισθητεῖν τοῖς πράγμασιν. ὅθεν οὐδὲν λογίζεται τὰ ἅπερ ἡμεῖς οὔπω χθὲς πεπόνθαμεν ὑπὸ τῶν ἑαυτοῦ κολάκων, τῶν φρατόρων φημὶ οἵτινες ἥττονα κολακείας ὦτα τὰ τούτου λαβόντες, καταψεύδονται ἡμῶν τὰ μέγιστα. ἀλλ᾽ οὗτοι μὲν ἐρρέτωσαν αὐτῶν αὐτῶν γλωσσαλγίαις.

Ἡμεῖς γὰρ ἓν ἴσμεν, καὶ ὡς λίαν ἀληθὲς καὶ κατάδηλον. ὅτι εἰ προσίοιμεν αὐτῷ, ἐφώρμησεν ἂν ὁ τῆς πόλεως δημώδης ὄχλος τῶν ἐνταῦθα Χριστιανῶν, διαρρήξαιτε ἡμᾶς καὶ διαχειρίσαιτο. εἰ γὰρ μὴ προσελθοῦσι, μήτε διαλεχθεῖσι καθ᾽ ἡμῶν τοὺς ὀδόντας ἔβρυχον, σπαραττόντων δῆθεν ἐπὶ τοῖς συμβᾶσι, τί ἂν οὐκ εἶχον δράσειν ἡμᾶς κακὸν, προσδραμόντας αὐτῷ. Ἀλλὰ φησὶν, εἴγε δικαστῇ τῶν πραγμάτων ἐχρησάμεθα τούτῳ, συμβιβάσειν εἶχε τὰ πράγματα, καὶ τίς ἂν οὕτω μανείη, ὥστε τὸν ἀντίδικον καὶ δικαστὴν ἑλέσθαι, εἰ οὐκ ἔστιν αὐτὸς οὗτος, ὁ πολλάκις ἐν τῇ Κωνσταντίνου, προσελθὼν τῇ βασιλικῇ αὐλῇ ταῖς τῶν φρατόρων ὑποβολαῖς, δεόμενος καὶ πολλὰ ὑπισχνούμενος εἰς τὸ ἀφελεῖν παρ᾽ ἡμῶν τοὺς σεβασμίους καὶ προσκυνητοὺς ἁγίους τόπους, καὶ παραδοῦναι τοῖς φράτορσιν, ἢ οὐκ ἐπιτελεῖ τοῦτ᾽ αὐτὸ ἔτι ἡμῖν, γράμματα πανταχοῦ καθ᾽ ἡμῶν καὶ τῆς ἡμῶν ἐλευθερίας ἐνταῦθα ἐπιστέλλων.

Ταῦτα συντόμως διεξήλθομεν, τοῖς παλαιοῖς τὰ νέα, καὶ τοῖς ἀρχαίοις τὰ πρόσφατα προσεπιτιθέντες, καὶ οἷον ἄνθος παρ᾽ ὁποίου κλάδους, καὶ καρπὸν ὥριμον ἐξ οἵου ἄνθους, καὶ ταῦτα ἐκ ποίας τῆς ῥίζης, ἀνεβλάστησάν τε καὶ ὁσημέραι ὑπαναφύονται, τοῖς πᾶσιν ἐς προὖπτον δεῖξαι ἔγνωμεν καὶ τοῦτο ὡς ἔνι συντόμως. ἐβλάστησε μὲν γὰρ, ἐκ παλαιᾶς ῥίζης καὶ πονηρᾶς, ἀνθοφορεῖ δ᾽ ἀεὶ κακῶς, καὶ δυσῶδές τι ἀποπνέον, καρπόν τε προβάλλεται θανατηφόρον, ὡς ὁρᾶται καὶ ὀλέθριον.

Ὁρῶ γὰρ ἄνωθεν, τὴν Ῥώμης ἐκείνην καθέδραν, ὁποιανδήποτε δυναστείαν ἀνειλημμένην, ἀλαζονευομένην κατὰ Χριστοῦ, καὶ τῆς αὐτοῦ ἁγίας ἐκκλησίας. καί μοι συγγινωσκέτωσαν, Παῦλος καὶ Πέτρος, καὶ οἱ μετ᾽ αὐτοὺς καλῶς καὶ εὐσεβῶς ταύτης προεδρεύσαντες, ἐκείνους γὰρ καὶ τιμῶ, καὶ ἀσπάζομαι προσκυνῶ, καὶ πρὸς Θεὸν αὐτοὺς πρέσβεις προβάλλομαι, ἀλλ᾽ ἐκ τοῦ πλεονάζοντος.

ζοντος, τὴν ἐπαγωγὴν ποιοῦμαι.

Τίνες οἱ Χριστοῦ φονευθέντες διῶκται; ἢ οὐχὶ ἡρῶδαι, ἀπὸ τῆς ῥωμαϊκῆς αὐτοκρατορικῆς ἰσχύος τὸ ἐνδόσιμον κτησάμενοι; τίνες δὲ καὶ οἱ κρίναντες τὴν ἐπιθανάτειον αὐτῷ ἄδικον δίκην; οὐχ ὁ ῥωμαῖος ἡγεμὼν ὁ Πιλάτος, σὺν ἅπαντι τῷ ῥωμαϊκῷ αὐτοῦ στρατῷ παροινοῦντι, καὶ ἐμπαίζοντι αὐτῷ; ἀλλὰ τούτους μὲν αὖτις, τῷ τῶν ἰουδαίων θυμῷ καὶ φθόνῳ φήσειεν ἐξηπατημένους. τοὺς δέ γε μετὰ ταῦτα τῆς ἐκκλησίας διώκτας, οὐδεὶς ἂν εἰπεῖν ἔχοιεν μὴ εἶναι τυράννους τῆς καθέδρας ἐκείνης, εἰ καὶ ἄλλοτε ἀλλαχοῦ ὡς τὰ πράγματα ἀπήτει, διέτριβον στρατοπεδεύοντες. τοιοῦτοι γὰρ ἅπαντες ἦσαν οἱ ἀπὸ νέρωνος, ἄχρι τοῦ ἰσαποστόλου μεγάλου Κωνσταντίνου, οἱ γοῦν ἅπασαν μαρτυρικοῖς φοινίξαντες αἵμασι, καὶ ὑπὸ τίσιν αἰτίαις; ὅτι τὸν υἱὸν τοῦ Θεοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, Θεὸν ἀνωμολόγουν, μὴ πρότερον ὑπὸ τῆς καθέδρας ἐκείνης ψηφισθέντα, εἶναί τε καὶ λέγεσθαι Θεόν. νόμον γὰρ ἔθετο ἡ σύγκλητος, μηδένα Θεὸν ἄλλον ἡγεῖσθαί τε καὶ προσκυνεῖν παρ' ὃν ἐκείνη οὐκ ἐψηφίσατο. Τί οὖν ἐκ τούτου μαθεῖν ἔνεστι; τὴν ἄνωθεν ἐκείνης τῆς καθέδρας ἐπαιρομένην ὀφρῦν, καὶ ὁ πάπας κακὰ τῇ ἐκκλησίᾳ ἐπήγαγε, καὶ ὅτι ταύτῃ ἑπόμενοι, καὶ οἱ ἐκκλησιαστικῶς ἐκείνης προϊστάμενοι, οἱ καὶ οὐ πάντες, ἀλλ' οἱ πλείονες τὴν ἐκκλησίαν ταῖς καινοτομίαις ἀδικοῦντες, μεγίστους καὶ πολυειδεῖς πολέμους ἐξεγείρουσι. Τὸ δὲ μέγιστον καὶ παρεμφερὲς αὐτῇ, πρὸς ἐκείνους τοὺς τότε τῆς ἐκκλησίας διώκτας τοῦτό ἐστιν. ὥσπερ γὰρ ἐκεῖνοι τὰ τῇ παρ' αὐτοῖς συγκλήτῳ ψηφισθέντα ὁποῖα ποτ' αὖ ἦσαν, εἴτ' εὐσεβῆ, εἴτε καὶ ἄλλως πως ἔχοντα, αἵματα πολλὰ δικαίων ἀνδρῶν, καὶ εὐσεβούντων ἀφειδῶς ἐξέχεον. εἰς τὸ ταῦτα κυροῦσαί τε καὶ κρατῦναι, οὕτω δὴ καὶ μέχρι τοῦδε, πλεῖστα τὰ δεινὰ ἐπάγεται, εἱρκταὶ φημὶ δεσμὰ καὶ αἰκίαι, αἵματα καὶ θάνατοι ἄδικοι, τοῖς μὴ τοῖς παρὰ τοῦ Πάπα ἀποφαινομένοις νόμοις, ὁποῖοι ποτ' αὖ ὦσι καθυπαχθεῖσι, δίχα τινὸς ἄλλης ἐπικρίσεως.

ΤΕ'ΛΟΣ ΚΑΙ' ΤΩ͂ ΘΕΩ͂ ΧΑ'ΡΙΣ

Ἐτυπώθη παρὰ τοῦ ἐν ἱερομονάχοις Μητροφάνους.

ΠΤΑΙΣΜΑΤΩΝ ἘΠΑΝΟΡΘΩΣΙΣ. ὁ μὲν πρότερος ἀριθμὸς τὴν σελίδα, ὁ δὲ δεύτερος τὸν στίχον δείκνυσι.

1:3	δεχερὲς,	δυσχερὲς.
1:6	δεμηνύθη,	διεμηνύθη.
2:5	λεγομένων· καὶ ὅτι,	λεγομένων τε καὶ ἀκουομένων· καὶ ὅτι.
2:18	αὐτοὺς	πρόσθ: λογομαχῶν
3:33	εἶναι,	καὶ.
11:33	πρέσβυν,	πρέσβιν.
13:39	σαυελεύσεσι,	συνελεύσεσι.
17:21	ἐλγχόμε,	ἐλεγχόμε.
18:17	ἡμετέρων,	ὑμετέρων.
19:35	τούτου,	τοῦτο.
19:41	συβαλλομένην,	συμβαλλομένην.
21:9	πειθοῦς,	πυθοῦς.
21:41	ἔλω,	ἔχω.
26:29	νόμιμον,	ἴσ: μόνιμον.
26:38	δηγούμενος,	διηγούμενος.
27:14	Εχολὴ,	σχολή.
29:21	Πὸ,	Τὸ
33:10	μεος,	μένος.
33:43	ἀρελνῆσαι,	ἀκρελνῆσαι.
35:2	δεμηχανᾶτο,	διεμηχανᾶτο.
40:25	τῆς τῇ,	τοῖς τῇ.
40:30	κοινωνοῖ,	κοινωνεῖ.
43:13	ἀποσχίσαι,	ἀπόσχισμα.
47:6	κανόνι,	κανόσι.
47:29	οἰκονομικῶς οἱ,	οἰκονομικῶς οἱ.
56:39	ἄλυρον,	γρ: ἄλυρος.
60:18	ἀναλλαγῆς,	ἐναλλαγῆς.
64:33	καὶ ὑπερούσια,	τὰ ὑπερούσια.
65:16	φυλαγχθῶσι,	φυλαχθῶσιν.
67:39	ἵλαρον,	ἱλάρειον.
70:2	Φλαυνιανὸς,	Φλαβιανὸς.
76:29	Κωνσταντίνου πόλις,	Κωνσταντινούπολις.
77:27	καθολικοὶ,	καθολικοὶ.
78:39	τηρήσει,	γρ: τηρήσει.
79:41	ἀντέτεινον τότε,	ἀφελεῖ τότε.
86:20	σελανᾶς,	σιλανᾶς.
92:13	προσκυνήσαι,	προσκυνήσαι.
93:27	πρὸ,	πρὸς.
97:5	καὶ αὖθις,	καὶ νῦν αὖθις
97:41	κατὰ τὸ,	γρ: καὶ τό.
98:6	πειθεῖς,	γρ: παθεῖς.
98:9	λόγου,	ἴσ: ὅλου.
98:20	ἐγὼ ἡ,	ἐγώ εἰμι ἡ.
99:21	πρὸ,	πρὸς.
99:32	τοιοῦτο τοῦτόγε,	τοιοῦτόγε.
101:13	ἡμᾶς περιβολ,	ἡμῶν συνόδων περιβολ.
102:2	πρότη,	τρίτη.
102:32	μόνον,	μόνην.
108:13	πρωτείων,	προτείνων.
108:21	χρίσματι,	γρ: χαρίσματι.
115:23	τοῖς,	τῆς.
119:39	πρὸς,	ἴσ: πρὸ.
125:28	διὰ τῆς	διὰ τὰς.
131:18	ζωίσασθαι,	ζωίσας.
131:21	ὁ,	γρ: ὅς.
135:17	πρώτη,	πρώτῳ.
143:14	πατέρα,	ἴσ: πέτρον.
145:25	ταῦτα,	ταυτὸν.
145:29	πατριάρχην,	πατριάρχαις.
148:21	ἱερωσύνης,	ἱερωσύνην.

* * * * * * * * *

150:34	ἐπιστολῆς ξν,	ἐπιστολῇ: ξγ.
151:3	Κωνσταντινου-πόως,	Κωνσταντινουπόλεως.
151:7	προκατειλη-μμένοις,	προκατειλημμένους.
151:10	ἐξαμαρτῆσαι,	ἐξαμαρτήσας.
151:16	ὑμῖν,	ὑμεῖς.
151:34	ῥωμαϊκῆ,	ῥωμαϊκὴ.
151:35	ἠβούλητο,	ἐβούλετο.
151:37	πράξις πρώτη,	πρᾶξις πρώτη.
152:15	οἰκίαν,	οἰκείαν.
153:7	προσβεύοντες,	πρεσβεύοντας.
153:27	ἀναγκαίου,	ἀναγκαῖον.
154:8	οἰκουμένας,	οἰκουμένης.
155:28	ἐκεῖ,	κἀκεῖ.

ἑτέρα

155:39 ἑτέρα, τῇ ἑτέρα.
156:25 ὁ σωτὴρ, ὡς σωτὴρ.
156:27 σωτηρία, σωτῆρα.
156:28 εἶα, ἔα.
156:39 ἀνθρωπίνοις, ἀνθρώποις.
157:18 ἔρυθμον, εὔρυθμον.
157:26 τετρατλῆ, τετρατλῆ.
157:38 οἷς, οἷον.
158:4 ἠδέ, ἴσ: εἰδέ.
158:12 προβαίνειν, ἴσ: προβαίνει.
158:37 κεφαλὴν, κεφαλῆς.
159:18 ἀνέλο- ἀνάλο-
159:30 ἣ, ἦ.
160:24 τόσην, τόσην.
160:22 καλεθέλγετε, καλαθέλγετε.
160:34 ῥοπολίας, ῥοπολήσας.
162:15 ὀνομάζεται, ὀνομάζετε.
162:16 ἐπιπαλαιωθὲν, ἐστὶ παλαιωθὲν.
162:17 ναυτικοὶ, ναυαγικοὶ.
162:19 μάταια, ματαία.
163:6 λαπεράνε, λαπεράνον.
163:10 καθέδαις, καθέδραις.
163:11 φιλαυτίας, φιλαυτίας.
163:11 ἀληθείας, ἀληθείας.
163:28 παριάρχας, πατριάρχας.
163:39 κατὰ, μετὰ.
165:18 σπλάχων, σπλάγχνων.
165:18 ἀνερμηνευθὲν των πάντων, γρ: ἀνερμηνεύτως.
165:19 θέλοντι, θέλοντες.
165:30 μεγάλη, πρόσθ: ἀθανασίας.
166:2 συνέδρ οἰκου μενικῆς, συνέδρον οἰκουμενικήν.
166:36 κεκοινωμένων, κοινωνικῶν.
167:7 ἡμᾶς αὐτὸς, ἡμεῖς αὐτὸς.
167:19 τοῦτο, τούτου.
167:23 λέγειν, λέγεις.
167:9 κρεῖττον, κρείττων.
170:7 πατρεῖον, πάτριον.
171:3 ἀρόδων, ἐξόδων.
172:25 ἄλλον, ἄλλα.
172:26 ἄξιος, ἄξιον.
173:5 διισχυρίζονται, διισχυρίζεται.
173:7 συβόλῳ, συμβόλῳ.
173:13 ἀγγηλίας, ἐγκλίας.
173:13 ἐνίοις, ἔτιον.
173:30 πολλὴν, πολλὴν.
174:19 ζωσιν, ζῶσιν.
174:37 ἠσέρχθη, εἰσέρχθη.
175:25 γίμων, γίμων.
175:27 κατηγγέλλ, ἴσ: καταγγέλλειν.
176:24 ἐξελέξομεν, ἐξελεξάμην.
177:18 ἀναξιώτατος, ἀναξιώτατον.
177:26 καμεαραρίῃ, καμεραρίῳ.
177:29 ἐρίπτας, ἔρριπται.
177:29 ἄρα, ὅρα.
177:32 ἐφέσῳ, ἐφέσου.
177:34 διδομένην, διδομένοις.
177:39 σύμφωνες, σύμφρονες.
177:41 ἴσχαρ: ἴσκαρ:
178:27 ἐνταῦτα, ἐνταῦθα.
179:4 συμφηνάντων, συμφωνησάντων.
179:4 μεταγνούντων, μεταγνόντων.
179:18 ἀμφότερα, ἀμφότερα.
179:37 ἐκβληθέντες, ἐκβληθέντας.
180:7 οἱ, οἷον.
180:12 ἄλις, ἄλλοις.
181:26 σχήματι, σχίσματι.
181:34 ἐπιχθείας, ἐπιχθείας.
182:15 ἀθεοὶ, ἄθεοι.
182:19 βλασφημίαν, βλασφημίας.
182:35 ἐνεχυμένοις, ἐνεχομένοις.
183:19 ἡμῶν, ὑμῶν.
183:31 θεῖον διὰ: θεῖον καὶ διά:
183:35 ἐνάρμοσιν, ἀνάρμοστον.
183:36 ᾧ κτήσαιτο ἐστι, τῷ κτήσαιτο ἐστι.
183:40 διαλάζειν, γρ: διαλέξεσι.
185:41 τὸ ἐφ', τὸ περ'.
186:32 πρώτην, πρώην.
187:12 προσκτίσει, προσκτήσει.
187:12 λυθηριακῆς, λυθηριακῆς.
187:15 ἐπλάτισε, ἴσ: ἐπιστεύσατο.

187:28 ἢ, ἤ.
187:30 ἰωαννης, ἰωάννην.
187:34 πλάσιν, πλείστους.
187:39 οἵας, οἷα.
188:3 φυγὼν, φυγεῖν.
188:32 τὴν φιλαν, τὴν θείαν φιλαν.
189:5 ἀπολογούμεθα, ἀπολογησόμεθα.
189:12 δόσις, δύσις.
190:3 διδασκάλων, πρόσθ. καὶ διδασκαλείων.
190:40 περιστρέψας, περιτρίψας.
191:17 ἁπλότητος, ἁπλότητα.
194:3 καλόγεροι, καλόμβροι.
194:16 ἐπαξη, ἐπαυξη.
194:31 ἐξουσίαν, ἐξουσίας.
195:3 πιτυρήνων, πιτυρηίνων.
195:7 ἐπαύσαντο, ἐπαύσαντο.
195:21 περιεργασάμεθα, περιεργασόμεθα.
195:28 περιαλλοῦσαν, περιειλοῦσαν.
196:1 γνώσει, γνῶσιν.
195:37 ὁμογήσετε, ὁμολογήσετε.
196:39 ἐν αὐτῇ, ἐπ' αὐτῇ.
197:8 ἐπάμβωσιν, ἐπ' ἄμβωσιν.
197:8 ἐξακεῖσθε, ἐξασκεῖσθε.
197:16 τοῦ, τοῦ τ.
197:23 τιμισκῆ, τζιμισκῆ.
197:27 μέχρι τῆς, μέχρι τῆς τῆς.
198:10 πατέρας, πατρὸς.
198:34 τὸ χειρο, καὶ τὰς χειρο.
198:38 ὑπερίσχυσεν, ὑπερίσχυσαν.
199:4 πατέρος, πατρὸς.
199:7 μάχαιρα, μαχαίρα.
199:20 ποιμένων, ποιμαινομένων.
199:21 ἀντεξέωσιν, ἀντεξέωσαν.
200:4 στοιχεῖ, στοιχεῖ.
200:31 ἀκαιρεότης, ἀκεραιότης.
201:40 ἀποκαλύψας, ἀποκαλύψεως.
203:16 ἐκαλεῖτο, ἐκαλεῖτο.
203:21 κλίβανον, πρόσθ. καιόμενον.
203:36 αὐτοῦ, αὐτὸν.
204:3 σίδηροι, σιδηροῖ.
204:22 δοκεῖ τὸν, δοκητὸν.
204:36 ἐπαχθῶς, ἀπεχθῶς.
105:12 τῷ, τῷ.
205:13 φείρεσθαι, φθείρεσθαι.
205:15 ἐναλωθείσης, ἀναλωθείσης.
205:23 ἐπισημανθὲν, ἐπισημανθεὶς.
206:15 σατανικῆς, πρόσθ. ἐπηρείας.
209:1 χολῆς, χολῆς.
209:34 συγάζοντες, συγνάζοντες.
210:13 νοθεσία, γρ. νομοθεσία.
210:24 τῇ τε, τότε.
210:29 κή, κθ'.
211:1 ἀνανδάλου, βανδάλου.
211:2 τριακοσιοστὸν, γρ. τετρακοσιοστὸν.
211:3 ἀμαλασουίντου, γρ. ἀμαλασούντας.
211:8 πεντακοσιοστὸν, πρόσθ. ἑξηκοστὸν.
211:12 ἱσπίας, ἱσπανίας.
211:40 κωνσταντῖνος, κωνστάντιος.
211:41 ἀνάσιος, Ἀναστάσιος.
212:40 χρηστολογήσασαι, χρησμολογήσασαι.
212:41 ὧ, ᾧ.
213:40 δείκνυται, δείκνυνται.
214:10 λίβαν, λίβων.
215:4 ἐπεφήνεσθε, ἐπεφύεσθε.
216:16 ὄντες, πρόσθ. τῆ ἡμετέρων ὁρίων καὶ ἐξ ἀλλοδαπῆς ἐνδημοῦντες.
216:19 καὶ λόγοις ὅτι, ὅτι καὶ λόγοις.
216:32 ἡμεῖς, ἡμᾶς.
217:2 ὡς καταγορούντων, ὡς κατηγορήσων.
217:16 εὐθημερίσιν, ἐφημερίσιν.
217:36 τὸ κυκλοῦσι, καὶ κυγκλίσιν.
218:4 πολλάπλει, πολλάπλειν.
218:6 ποσοῦτον, οὐ τόσω.
219:6 κατὰ τοῦτον, μετὰ τοῦτον.
219:11 καὶ ἦν, ἀλλ' ἦν.
219:14 ὁμιλήσας, μελλήσας.

τὰς

219:35 τοὺς, τοῖς.
219:38 ἄλλος ἄλλου, ἄλλος παρ' ἄλλου.
219:40 διεγείρει, διεγείρειν.
220:17 συζῶντος, συζῶντες.
220:38 τοῖσι, τίσι.
221:16 ἡσύχον, ἡσύχιον.
221:21 οὐκ ὀρέννυσθε, οὐ κορέννυσθε.
221:23 εἰ δὲ καὶ μὴ πάντες, εἰ καὶ μὴ πέντη.
221:37 πλεονσαύτας, πλεονάζοντας.
222:22 χοινίκων, χοινίον.
222:13 νήμφοντι, νήφοντι.
223:19 λυτερχάνῳ, λατεράνῳ.
223:32 κινήματα, κυνήματα.
224:27 ὑπόρροιαν, ὑπώρειαν.
225:1 τὸ ὅλον ἀπὸ τοῦ τὸ μέρος ἀπὸ τοῦ μέρους, ὅλου.
225:32 ἡμετέρων, ὑμετέρων.
226:2 λέγετε, γρ. λέγοντες.
226:12 παρασυλλογισμοὺς, παραλογισμοὺς.
226:39 ἐγγεγραφότες, συγγεγραφότες.
227:6 στραφιμικοὺς, στραφικοὺς.
227:20 τοιαύτης, τοιαύτη.
227:29 ἡμεῖς, ὑμεῖς.
227:34 ἡμεῖς, ἡμᾶς.
228:29 Οὔτω, Οὔπω.
228:31 διδάσκει, διδάσκειν.
229:2 φαεινότερον, φανώτερον.
230:1 Λέβυτας, Λέοντας.
241:4 Ἱεροσολύμ, Ἱερουσαλήμ.
241:13 διεξιουμβύουμοι, ἴσ. διεξιουμβίῳ μοι.
242:9 ἀποκιναύτας, ἴσ. ἀποκιννυώτας.
243:30 πολιτικῶν, πολιτειῶν.
244:2 τῷ, ἴσ. τό.

Χριστὲ δίδου πονέοντι τεὴν πολύολβον ἀρωγήν.

VAH 1533372

161
C
~~20~~
19